Μ Α Ξ Ι Μ Ο Σ

Ο

Ο Μ Ο Λ Ο Γ Η Τ Η Σ

1. ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ
2. ΠΡΟΣ ΘΕΟΠΕΜΠΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ
3. ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΝΘ΄ ΨΑΛΜΟΝ

Ε Π Ε

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ
Ἀπὸ τὸν

ΙΓΝΑΤΙΟ Μ. ΣΑΚΑΛΗ
Φιλολογο

Φ Ι Λ Ο Κ Α Λ Ι Α
Τ Ω Ν
ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ
14Α

Ἐπόπτης Ἐκδόσεως

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1992

Μ Α Ξ Ι Μ Ο Σ
Ο
Ο Μ Ο Λ Ο Γ Η Τ Η Σ

ΕΙΣΑΓΩΓΗ

Στὸν παρόντα τόμο περιλαμβάνονται τρία κείμενα τοῦ ἱεροῦ Μαξίμου, ἑρμηνευτικοῦ χαρακτῆρος.

Τὸ πρῶτο ἀπὸ αὐτὰ εἶναι οἱ *Ἐρωταποκρίσεις* ἢ ἀλλιῶς *Πεύσεις καὶ ἀποκρίσεις*[1], ποὺ ἀνέρχονται συνολικὰ σὲ 239. Οἱ ἐρωτήσεις λαμβάνονται ἀπὸ ἀξιόλογα βιβλικὰ χωρία, μερικὲς ὅμως φορὲς καὶ ἀπὸ πατερικὲς διατυπώσεις, ἢ καὶ δογματικές. Οἱ ἀπαντήσεις διακρίνονται γιὰ τὴ συντομία, τὴ σαφήνεια καὶ τὴν ἀκρίβεια.

Ἕως πρὸ δεκαετίας ἦταν γνωστὴ μόνο μιὰ ἐκλογὴ αὐτῶν τῶν ἐρωταποκρίσεων, καὶ ἀποτελοῦνταν ἀπὸ 79 μόνο τεμάχια. Εἶχε ἐκδοθῆ τὸ 1657 ἀπὸ τὸν Fr. Combefis καὶ συμπεριελήφθηκε στὴν Patrologia Graeca τοῦ Migne. Νεώτερες ἔρευνες ἔδειξαν ὅτι ἡ συλλογὴ ἦταν πολὺ εὐρύτερη, ὅπως ἀποτυπώνεται στὴν ἔκδοση τοῦ J. H. Declerck, 1982. Φαίνεται ὅτι ὁ κώδικας Vaticanus Graecus 1703, ποὺ εἶναι ἀκέφαλος καὶ κολοβός, εἶναι ἀντίγραφο ἑνὸς παλαιοτέρου, ποὺ συμπεριελάμβανε τὸ σύνολο τῆς συλλογῆς. Στὴ σημερινή του κατάσταση περιέχει 195 ἐρωταποκρίσεις.

Ἀπὸ τὸν κύριο κορμὸ τῆς συλλογῆς ἔχουν ἐπιλεγῆ κατὰ καιροὺς τεμάχια, τὰ ὁποῖα ἀπετέλεσαν νέες ἀποσπασματικὲς συλλογές. Ἡ συλλογὴ Α εἶναι αὐτὴ ποὺ συμπεριελήφθηκε στὴν Patrologia Graeca, ἀλλὰ ἔχει συνολικῶς 83 τεμάχια καὶ ὄχι 79, ὅπως στὴν Patrologia. Ἀπὸ αὐτὰ μόνο τὰ 36 δὲν συμπεριλαμβάνονται στὴν κυρία συλλογή. Ἡ συλλογὴ Β περιέχει 27 τεμάχια, ἀπὸ τὰ ὁποῖα τὰ 7 δὲν συμπεριλαμβάνονται στὴν κυρία συλλογή. Ἡ συλλογὴ Γ περιέχει 26 τεμάχια, ἀπὸ τὰ ὁποῖα μόνο ἕνα

1. Στὴ λατινικὴ ὁρολογία φέρεται μὲ τὸν τίτλο Quaestiones et Dybia.

δὲν συμπεριλαμβάνεται στὴν κυρία συλλογή, κι' εἶναι μάλιστα αὐτὸ πολὺ ἀξιόλογο, ἐπὶ τοῦ θέματος τοῦ κατ' εἰκόνα.

Τὸ κείμενο αὐτὸ ἐθεωρήθηκε ἀμφιβαλλόμενο, γι' αὐτὸ μάλιστα στὸν λατινικό του τίτλο περιλαμβάνεται καὶ ἡ λεξις Dubia–ἀμφιβαλλόμενα. Δὲν ὑπάρχει τώρα καμμιὰ ἀμφιβολία ὅτι εἶναι τοῦ Μαξίμου, ὁ ὁποῖος συγκέντρωσε τὶς ἀπαντήσεις σὲ ἐρωτήματα ποὺ εἶχε κατὰ καιροὺς δεχθεῖ γύρω στὸ 626.

Τὸ δεύτερο κείμενο περιέχει ἀπαντήσεις τοῦ Μαξίμου σὲ τρία ἐρωτήματα Θεοπέμπτου τοῦ Σχολαστικοῦ· δηλαδὴ περὶ τοῦ κριτοῦ τῆς ἀδικίας[2], περὶ τοῦ «ἐάν τίς σε ραπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα»[3] καὶ περὶ τοῦ «μή μοῦ ἅπτου»[4]. Στὶς ἀπαντήσεις αὐτές, ποὺ εἶναι κάπως ἐκτενέστερες ἀπὸ τὶς τοῦ προηγουμένου κειμένου, χρησιμοποιεῖ τυπολογικὴ διατύπωση.

Τὸ τρίτο κείμενο εἶναι ἡ ἑρμηνεία στὸν ψαλμὸ 59, μιὰ κλασικοῦ χαρακτῆρος ἀναγωγικὴ καὶ τοπολογικὴ ἐξήγησις, ὅπως τὸ συνηθίζει ὁ Μάξιμος. Τὴν ἐπιγραφὴ τοῦ ψαλμοῦ «Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις» ὀφείλει ὁ ψαλμός, ὅπως ἐκθέτει ὁ Μάξιμος «διά τε τὴν ἐπὶ τέλει τῶν χρόνων διὰ τῆς ἐπιδημίας τοῦ Χριστοῦ γενομένην τοῖς ἀνθρώποις ἐξ ἀπιστίας εἰς πίστιν καὶ ἀπὸ κακίας εἰς ἀρετὴν καὶ ἀγνοίας εἰς γνῶσιν Θεοῦ γνωμικήν τε καὶ προαιρετικὴν μεταβολὴν καὶ ἀλλοίωσιν· διά τε τὴν εἰς ὕστερον ἐπὶ τέλει τῶν αἰώνων γενησομένην δι' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ καθολικὴν τοῦ παντὸς γένους τῶν ἀνθρώπων ἐν χάριτι φυσικὴν ἐκ θανάτου καὶ φθορᾶς εἰς ζωὴν ἀθάνατον καὶ ἀφθαρσίαν, διὰ τῆς προσδοκωμένης ἀναστάσεως ἀλλοίωσίν τε καὶ ἀνανέωσιν».

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

PG 90,856–872, *Ἑρμηνεία εἰς τὸν ψαλμόν 59.*

PG 90,1393–1400, *Πρὸς Θεόμπεμπτον Σχολαστικὸν ἀπαντήσεις.*

PG 91,1032–1417, *Ἐρωταποκρίσεις, ἡ συλλογὴ Α (1–79).*

J. H. Declerck, *Maximus Confessor, Quaestiones et Dubia,* Corpus Christianorum, Gr. 10, Turnhout 1982.

2. Λουκᾶ 18,6. 3. Λουκᾶ 6,29. 4. Ἰω. 20,27.

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

1 – 195

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ Α'

ΕΡΩΤΗΣΙΣ 1

ΑΠΟΚΡΙΣΙΣ

*** *** πάθεσιν καὶ τὴν προσβολὴν μειοῖ τὴν κακίαν καὶ πάλιν εἰς τὸ πρότερον ἀποκαθίσταται σχῆμα, τουτέστιν εἰς τὴν κατὰ φύσιν ἐπιθυμίαν εἴ τινες *** ἔφεσις καὶ πόθος Θεοῦ. Τὸ δὲ τὴν χεῖρα βαλεῖν «εἰς τὸν κόλπον» σημαίνει τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν τοῦ Πατρὸς Λόγον, ἐν τῷ ἡμετέρῳ τῇ φύσεως ἐργαστηρίῳ σαρκούμενον· τοῦτο γὰρ ὁ κόλπος καὶ ἡ λευκὴ χεὶρ σημαίνει· καὶ πάλιν ἐν τῷ προτέρῳ σχήματι τῆς χειρὸς ἀποκαθισταμένης δηλοῦται ὡς μετὰ τὴν ἀνάστασιν ὁ Κύριος ἀναλαμφθεὶς ἐν τῷ πατρικῷ κόλπῳ ἀπεκατέστη. Μωυσῆς γὰρ ὡς μεσίτης τοῦ Θεοῦ καὶ τοῦ λαοῦ γεγονώς, ποτὲ μὲν τοῦ Θεοῦ καὶ Πατρὸς πρόσωπον ἐπέχει, ποτὲ δὲ τῆς ἡμετέρας φύσεως.

ΕΡΩΤΗΣΙΣ 2

Τί σημαίνει ὁ ἐν γῇ Σενναὰρ οἰκοδομούμενος πύργος;

ΑΠΟΚΡΙΣΙΣ

Οἰκοδομοῦμεν καὶ ἡμεῖς πύργον ὅτ' ἂν ἐξ ἀνατολῶν κινηθῶμεν, τουτέστιν ὅτ' ἂν ἀποκινηθῶμεν τῆς γνώσεως· ἐρχόμεθα δὲ εἰς γῆν Σενναάρ, τουτέστιν εἰς τὸ τῆς γαστριμαργίας πά-

1. Λείπει ἡ ἐρώτηση καὶ ἡ ἀρχὴ τῆς ἀπάντησης. Ἡ ἀπορία σχετίζεται μὲ τὴν ἀρχὴ τοῦ κεφ. 4 τῆς Ἐξόδου.

2. Ἐξ. 4,15. 3. Εἴ τινες – ἥτις ἐστίν.

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

ΕΡΩΤΗΣΗ 1[1]

ΑΠΟΚΡΙΣΗ

*** *** μὲ τὰ πάθη καὶ τὴν προσβολὴ ἐλαττώνει τὴν κακία κι ἐπανέρχεται πάλι στὸ προηγούμενο σχῆμα[2], στὴ φυσικὴ δηλαδὴ ἐπιθυμία *** ποὺ εἶναι[3] ἔφεση καὶ πόθος τοῦ Θεοῦ. Τὸ ὅτι ἔβαλε τὸ χέρι του στὸν κόλπο του[4] σημαίνει τὸν Κύριο μας Ἰησοῦ Χριστό, τὸ Λόγο τοῦ Πατέρα ποὺ σαρκώθηκε μέσα στὸ ἐργαστήριο τῆς φύσης μας· αὐτὸ σημαίνει ἡ λέξη κόλπος καὶ λευκὸ χέρι[5]. Καὶ μὲ τὴν ἀποκατάσταση πάλι τοῦ χεριοῦ στὸ προηγούμενο σχῆμα δηλώνει ὅτι ὁ Κύριος μετὰ τὴν ἀνάσταση ἀναλήφθηκε καὶ ἀποκαταστάθηκε στοὺς πατρικοὺς κόλπους. Γιατὶ ὁ Μωυσῆς, ἐπειδὴ ἔγινε μεσίτης τοῦ Θεοῦ καὶ τοῦ λαοῦ[6], ἄλλοτε ἔχει τὴ θέση τοῦ Θεοῦ–Πατέρα καὶ ἄλλοτε ἀντιπροσωπεύει τὴ δική μας φύση.

ΕΡΩΤΗΣΗ 2

Τί σημαίνει ὁ πύργος ποὺ οἰκοδομεῖται στὴ γῆ Σενναάρ;

ΑΠΟΚΡΙΣΗ

Οἰκοδομοῦμε κι ἐμεῖς πύργο[7], ὅταν μετακινηθοῦμε ἀπὸ τὴν ἀνατολή, ὅταν δηλαδὴ ἀπομακρυνθοῦμε ἀπὸ τὴ γνώση, καὶ ἐρχόμαστε στὴ γῆ Σενναάρ[8], στὸ πάθος δηλαδὴ τῆς γαστριμαρ-

4. Ἔξ. 4,6. 5 Ἔξ. 4,7.
6. Ἐφ. 5,20. 7. Γεν. 11,1–9.
8. Γεν. 11,2.

θος· Σενναὰρ γὰρ 'γρηγόρησις ὀδόντων' ἑρμηνεύεται· εἶτα καὶ οἰκοδομοῦμεν πύργον, τουτέστι τὰ σαρκικὰ πάθη περὶ πολλοῦ ποιούμεθα καὶ οἰκοδομοῦμεν πάθος πάθει συνάπτοντες. «Ἕως δὲ τοῦ οὐρανοῦ»· οὐ γάρ ποτε παύσασθαι βούλονται οἱ περὶ τὰ μάταια τὴν σπουδὴν ἔχοντες, ἀλλ' ἀπλήρωτον τὴν περὶ αὐτὰ ὄρεξιν ἔχουσιν. Παύει δὲ ὁ Θεὸς τὴν τοῦ πύργου οἰκοδομὴν καὶ «συγχεῖ τὰς γλώσσας» ὅτ' ἂν πρὸς τὸ συμφέρον παιδεύων ἐγκόπτει τὴν ἡμετέραν κακίαν· ὅτ' ἂν γὰρ τὸν ἐπὶ τῇ ἀκαθαρσίᾳ τῆς πορνείας ἡττημένον νόσῳ παιδεύει ἢ τὸν τῇ γαστριμαργίᾳ δεδουλωμένον πενίᾳ σωφρονίζει, οἱονεὶ ἐγκοπὴν τοῦ τῶν παθῶν πύργου ποιεῖται, «συγχέων» ἅμα καὶ τὰς γλώσσας· τὸν γὰρ πόρνον πάντοτε περὶ πορνείας μελετῶντα καταστείλας τῇ νόσῳ, εἰς τὴν περὶ τοῦ σώματος ὑγείαν ἀπασχολεῖσθαι ποιήσας, οἱονεὶ τὴν φωνὴν συγχέας τῆς συνεχοῦς μελέτης τοῦ πάθους.

ΕΡΩΤΗΣΙΣ 3

Τί σημαίνει «Δαυῒδ ψάλλων καὶ τὸ πονηρὸν πνεῦμα τοῦ Σαοὺλ καταπαύων»;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς ὁ κατὰ τὸν μακάριον Δαυῒδ ποιμαίνων τὰ πρόβατα, τουτέστι τὸ λογιστικὸν τῆς ψυχῆς, καὶ νικῶν θυμὸν καὶ ἐπιθυμίαν, καθάπερ ἐκεῖνος τὸν λέοντα καὶ τὴν ἄρκτον, οὗτος τῷ λόγῳ τῆς διδασκαλίας χρώμενος μετά τινος ὑψηλῆς θεωρίας ἡδύνει τὸν ἀκούοντα καὶ τὰ ἐν αὐτῷ τῆς κακίας πάθη κατευνάζει.

ΕΡΩΤΗΣΙΣ 4

Ἐπειδὴ γέγραπται ἐν τῷ Εὐαγγελίῳ ὅτι «ἐάν τις μὴ

---

9. Γεν. 11,4.
10. Γεν. 11,7.

γίας. Γιατὶ Σενναάρ ἐξηγεῖται 'ἑτοιμότητα τῶν δοντιῶν'. Ἔπειτα οἰκοδομοῦμε καὶ πύργο, δηλαδὴ φροντίζομε πολὺ τὰ σαρκικὰ πάθη καὶ τὰ τρέφομε συνδέοντας πάθος μὲ πάθος. Καὶ «μέχρι τὸν οὐρανό»[9]. Γιατὶ αὐτοὶ ποὺ ἐπιδιώκουν μάταια πράγματα δὲ θέλουν νὰ σταματήσουν ποτέ, ἀλλὰ ἡ ὄρεξή τους γι' αὐτὰ δὲν ἔχει κορεσμό. Ὁ Θεὸς ὅμως σταματᾶ τὴν οἰκοδόμηση τοῦ πύργου καὶ «συγχέει τὶς γλῶσσες»[10], ὅταν παιδεύοντάς μας γιὰ τὸ συμφέρον μας διακόπτει τὴν κακία μας. Ὅταν δηλαδὴ τὸν αἰχμάλωτο ἀπὸ τὴν ἀκαθαρσία τῆς πορνείας τὸν παιδεύει μὲ νόσο, ἢ τὸν ὑποδουλωμένο στὴ γαστριμαργία τὸν σωφρονίζει μὲ τὴν πείνα, διακόπτοντας τὸν πύργο τῶν παθῶν καὶ συγχέοντας συγχρόνως καὶ τὶς γλῶσσες. Γιατί, καταστέλλοντας τὴ νόσο τοῦ πόρνου ποὺ μελετᾶ ἀδιάκοπα τὴν πορνεία καὶ κάνοντάς τὸν νὰ ἀσχολεῖται μὲ τὴν ὑγεία τοῦ σώματος, εἶναι σὰ νὰ συγχέει τὴ φωνή του, ἀπομακρύνοντάς τον ἀπὸ τὴν ἀδιάκοπη μελέτη τοῦ πάθους.

ΕΡΩΤΗΣΗ 3

Τί σημαίνει «ψάλλοντας ὁ Δαβὶδ καὶ καταπραΰνοντας τὸ πονηρὸ πνεῦμα[11] τοῦ Σαούλ;

ΑΠΟΚΡΙΣΗ

Ὁ καθένας πού, σύμφωνα μὲ τὸν μακάριο Δαβίδ, ποιμαίνει τὰ πρόβατα[12], δηλαδὴ τὸ λογιστικὸ τῆς ψυχῆς, καὶ νικᾶ τὸ θυμὸ καὶ τὴν ἐπιθυμία, ὅπως ἐκεῖνος τὸ λιοντάρι καὶ τὴν ἀρκούδα, αὐτός, χρησιμοποιώντας τὸ λόγο τῆς διδασκαλίας μὲ κάποια ὑψηλὴ θεωρία, γλυκαίνει αὐτὸν ποὺ τὸν ἀκούει καὶ κατακοιμίζει μέσα του τὰ πάθη τῆς κακίας.

ΕΡΩΤΗΣΗ 4

Ἐπειδὴ ἔχει γραφεῖ στὸ Εὐαγγέλιο, «ἂν δὲ γεννηθεῖ

11. Α' Βασ. 16,23. 12. Α' Βασ. 13,14-16.

γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος», καὶ ἐν ἄλλῳ τόπῳ πάλιν «αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί», παρακαλῶ μαθεῖν τίς ἡ διαφορά.

ΑΠΟΚΡΙΣΙΣ

Ἐν ἑκάστῳ τὸ ἅγιον Πνεῦμα γινόμενον, ὡς μὲν ὕδωρ τὸν τῆς σαρκὸς μολυσμὸν καθαίρει, ὡς δὲ Πνεῦμα τὰς τῆς ψυχῆς κηλῖδας ἐκπλύνει, ὡς δὲ Πνεῦμα ἅγιον ὑποτίθεται τοὺς τρόπους τῶν ἀρετῶν, ὡς δὲ πῦρ Θεὸν κατὰ χάριν ἀποτελεῖ, τὰ θεῖα τῆς ἀρετῆς γνωρίσματα ἐπιλάμπον αὐτῷ.

ΕΡΩΤΗΣΙΣ 5

Ἐπειδὴ κατὰ τὸν Θεολόγον Γρηγόριον λέγοντα ἐν τῷ τῆς Πεντηκοστῆς λόγῳ, 'οἱ ἀπόστολοι διὰ τριῶν χαρισμάτων εἰλήφασιν τὸ τέλειον, πρῶτον μὲν νόσους ἰώμενοι καὶ δαίμονας ἀπελαύνοντες, δεύτερον δὲ τὸ μετὰ τὴν ἀνάστασιν ἐμφύσημα, τρίτον δὲ αὐτὸ οὐσιωδῶς τὸ Πνεῦμα ἐν εἴδει γλωσσῶν πυρίνων', πῶς τις, εἴπερ τοῖς ἀποστόλοις γένηται κατ' ἀρετὴν ἰσοστάσιος, δύναται λαβεῖν τὰ εἰρημένα χαρίσματα καὶ πῶς χρὴ νοεῖν τὸ «οὐσιωδῶς», ὡς ἐν ὑποδείγματι ἑρμηνευθῆναι παρακαλῶ.

ΑΠΟΚΡΙΣΙΣ

Δυνατὸν καὶ ἡμᾶς, εἴπερ μιμηταὶ τῶν ἀποστόλων σπεύσωμεν γενέσθαι, πρῶτον μὲν διὰ τῆς πρακτικῆς ἐπιτάσσειν τοῖς πάθεσι καὶ τὰς τῆς ψυχῆς ἐξιᾶσθαι νόσους, δεύτερον δὲ διὰ τῆς φυσικῆς θεωρίας τὴν φύσιν ἐφ' ἑαυτὴν ἀποκαθιστάνειν, τρίτον διὰ τῆς τοῦ λόγου διδασκαλίας –τοῦτο γὰρ αἱ γλῶσσαι– πῦρ γί-

---

13. Ἰω. 3,5.
14. Ματθ. 3,11. Λουκᾶ 3,16.
15. Γρηγορίου Θεολόγου. *Ὁμιλία 41, εἰς τὴν Πεντηκοστὴν* 11 (PG

κάποιος ἀπὸ νερὸ καὶ Πνεῦμα»[13], καὶ σὲ ἄλλο σημεῖο πάλι «αὐτὸς θὰ σᾶς βαπτίσει μὲ τὸ ἅγιο Πνεῦμα καὶ φωτιά»[14], παρακαλῶ νὰ μάθω ποιά εἶναι ἡ διαφορά.

ΑΠΟΚΡΙΣΗ

Ἐρχόμενο στὸν καθένα μας τὸ ἅγιο Πνεῦμα σὰν νερὸ καθαρίζει τὴ μόλυνση τῆς σάρκας, σὰν ἅγιο Πνεῦμα προτείνει τοὺς τρόπους τῶν ἀρετῶν, καὶ σὰν φωτιὰ δίνει κατὰ χάρη τὸ Θεό, κάνοντας νὰ λάμπουν ἐπάνω του τὰ θεῖα γνωρίσματα τῆς ἀρετῆς.

ΕΡΩΤΗΣΗ 5

Ὁ Γρηγόριος ὁ Θεολόγος ἀναφέρει στὸ λόγο του γιὰ τὴν Πεντηκοστὴ ὅτι οἱ ἀπόστολοι ἔχουν λάβει τὴν τελειότητα μὲ τρία πρὸς αὐτοὺς χαρίσματα· πρῶτον, μὲ τὴ θεραπεία τῶν ἀσθενειῶν καὶ τὴν φυγάδευση τῶν δαιμόνων· δεύτερον, μὲ τὸ ἐμφύσημα σ' αὐτοὺς μετὰ τὴν ἀνάσταση, καὶ τρίτον, μὲ τὸ ἴδιο τὸ Πνεῦμα ποὺ ἦρθε οὐσιωδῶς μὲ τὴ μορφὴ πύρινων γλωσσῶν[15]. Γι' αὐτὸ ἐρωτῶ, πῶς, ἂν γίνει κανένας ἰσόβαθμος στὴν ἀρετὴ μὲ τοὺς ἀποστόλους, μπορεῖ νὰ λάβει τὰ χαρίσματα ποὺ προαναφέρθηκαν καὶ πῶς πρέπει νὰ ἐννοήσομε τὸ 'οὐσιωδῶς'. Παρακαλῶ νὰ ἑρμηνευθοῦν ὑπὸ μορφὴ παραδειγμάτων.

ΑΠΟΚΡΙΣΗ

Εἶναι δυνατὸ κι ἐμεῖς, ἂν σπεύσομε νὰ γίνομε μιμητὲς τῶν ἀποστόλων, πρῶτον, μὲ τὴν πρακτική μας νὰ προστάζομε τὰ πάθη καὶ νὰ θεραπεύομε τὶς ἀσθένειες τῆς ψυχῆς· δεύτερον, μὲ τὴ φυσικὴ θεωρία ν' ἀποκαθιστοῦμε τὴ φύση στὸν ἑαυτό της· τρίτον, μὲ τὴ διδασκαλία τοῦ λόγου –γιατὶ αὐτὸ εἶναι οἱ

36,444B10–C3) καὶ Γρηγορίου Θεολόγου, Ἅπαντα τὰ ἔργα, Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, τόμ. 5, σ. 136.

νεσθαι τοῖς ἀκούουσιν, ἅμα μὲν τὰ πάθη αὐτῶν πυρὸς δίκην ἀναλίσκοντας, ἅμα δὲ καὶ φωτίζοντας. Πῶς δὲ ἐνήργει τὸ πρότερον τὸ ἅγιον Πνεῦμα καὶ πῶς οὐσιωδῶς τελευταῖον ἐν τοῖς ἀποστόλοις ἐπεφοίτησεν, ἀναγκαῖον ὡς ἐν ὑποδείματι διερμηνεῦσαι. Καθάπερ ξύλον ἐπιτιθέμενον τηγάνῳ, εἶτα, τοῦ πυρὸς ὑφαπτομένου, διὰ μέσου τοῦ τηγάνου τῆς θέρμης τοῦ πυρὸς μεταλαμβάνει τὸ ξύλον, οὕτω τὸ πρότερον ἀμυδρῶς ἐνήργει τὸ Πνεῦμα ἐν τοῖς ἁγίοις· εἰ δέ τις κατὰ τὸ αὐτὸ ὑπόδειγμα ἐπαρεῖ τὸ διὰ μέσου τήγανον καὶ τὸ πῦρ ἀμέσως τοῦ ξύλου περιδράξεται, εὐθέως πρὸς τὴν οἰκείαν φύσιν ἀφομοιοῖ τὸ ξύλον. Οὕτως ὡς ἐν αἰσθητοῖς ὑποδείγμασιν εἰκάζειν ἔστιν τὸ «οὐσιωδῶς».

ΕΡΩΤΗΣΙΣ 6

Ἐπειδὴ ἡ Γραφὴ τρανῶς οὐ λέγει ὅτι δέδωκε δεκάτας ὁ Ἀβραὰμ τῷ Μελχισεδέκ, ἄλλως τε δὲ καὶ εἰ πάντα ἀπέδωκεν, καθὼς αὐτὸς λέγει ὅτι «ἕως σφαιρωτῆρος ὑποδήματος» οὐκ ἔλαβεν, πόθεν δέδωκε δεκάτας; Οὐδὲ γὰρ αὐτὸς ἴδιόν τι ἐπεφέρετο εἰς πόλεμον ἔκπληκτος ἀπερχόμενος.

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ἡ θεία Γραφὴ «ἱερέα τοῦ Θεοῦ» τὸν Μελχισεδὲκ λέγει εἶναι, προσηκόντως ἄρα ὁ Ἀβραὰμ ὡς λαϊκοῦ τάξιν ἐπέχων δεδωκέναι τῷ ἱερεῖ τὰς δεκάτας πιστευθήσεται. Ὅτι δὲ καὶ εἶχε πόθεν παρασχεῖν, ἐκεῖθεν δῆλον· οἱ γὰρ ἐπιστρατεύσαντες βασιλεῖς ἐπὶ Σόδομα οὐ μόνον τὰ Σοδόμων εἶχον λαβόντες, ἀλλὰ καὶ ἄλλων χώρων εἶχον μεθ' ἑαυτῶν λάφυρα, ἅπερ ἦσαν προαιχμαλωτεύσαντες, ἅπερ πάντα κατακόψας αὐτοὺς ὁ Ἀβραὰμ καὶ λαβών, τὰ μὲν τῶν Σοδομιτῶν ἀπέδωκε, τὰ δὲ

16. Γεν. 14,20. 17. Γεν. 14,23.

γλῶσσες- νὰ γίνομε φωτιὰ γι' αὐτοὺς ποὺ ἀκοῦνε, ἐξαλείφοντας τὰ πάθη τους ὅμοια μὲ φωτιὰ καὶ συγχρόνως φωτίζοντάς τους. Πῶς ὅμως ἐνεργοῦσε τὸ ἅγιο Πνεῦμα προηγουμένως καὶ πῶς ἐπιφοίτησε 'οὐσιωδῶς' τελευταῖα στοὺς ἀποστόλους, εἶναι ἀνάγκη νὰ τὰ ἑρμηνεύσομε ὑπὸ μορφὴ παραδείγματος. Ὅπως ἕνα ξύλο ποὺ τοποθετεῖται σὲ τηγάνι κι ἔπειτα ἀγγίζοντας ἡ φωτιὰ τὸ τηγάνι μέσω αὐτοῦ παίρνει τὸ ξύλο τὴ θερμότητα τῆς φωτιᾶς, ἔτσι προηγουμένως τὸ Πνεῦμα ἐνεργοῦσε ἀμυδρὰ στοὺς ἁγίους. Κι ἂν κάποιος στὸ παράδειγμά μας ἀφαιρέσει ἀπὸ τὴ μέση τὸ τηγάνι καὶ τυλίξει ἡ φωτιὰ κατ' εὐθείαν τὸ ξύλο, ἀφομοιώνει τὸ ξύλο μὲ τὴν δική της φύση. Ἔτσι μποροῦμε νὰ φανταστοῦμε τὸ 'οὐσιωδῶς' ἀνάλογα μὲ τὰ αἰσθητὰ ὑποδείγματα.

ΕΡΩΤΗΣΗ 6

Ἐπειδὴ ἡ Γραφὴ δὲ λέει καθαρὰ[16] ὅτι ὁ Ἀβραὰμ ἔδωσε δεικάτες στὸ Μελχισεδέκ, ἐξάλλου κι ἂν ὅλα τὰ εἶχε ἀποδώσει, ὅπως αὐτὸς λέει ὅτι «δὲν ἔλαβε οὔτε ἀκόμα καὶ ἕνα κορδόνι ὑποδήματος»[17], ἀπὸ ποῦ ἔδωσε δεκάτες; Γιατὶ κι ὁ ἴδιος μεταβαίνοντας τρομαγμένος στὸν πόλεμο δὲν εἶχε τίποτα δικό του μαζί του.

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ἡ θεία Γραφὴ λέει ὅτι ὁ Μελχισεδὲκ ἦταν ἱερέας τοῦ Θεοῦ[18], θὰ πιστέψομε ὅτι ὁ Ἀβραάμ, ἐπειδὴ ἀνῆκε στὴν κατηγορία τῶν λαϊκῶν, πρόσφερε στὸν ἱερέα δεκάτες ἀπὸ καθῆκον. Καὶ ὅτι εἶχε ἀπὸ κάπου νὰ τὶς προσφέρει, εἶναι φανερὸ ἀπὸ αὐτό· οἱ βασιλιάδες δηλαδὴ ποὺ ἐξεστράτευσαν ἐναντίον τῶν Σοδόμων δὲν κατέλαβαν μόνο τὰ Σόδομα, ἀλλὰ πῆραν μαζί τους καὶ λάφυρα ἀπὸ ἄλλα μέρη ποὺ εἶχαν καταλάβει προηγουμένως. Αὐτά, ἀφοῦ τοὺς συνέτριψε ὁ Ἀβραὰμ καὶ τὰ πῆρε ὅλα, ἐπέστρεψε στοὺς Σοδομίτες ὅσα ἀνῆκαν σ' αὐτοὺς καὶ τὰ ἄλλα

18. Γεν. 14,18.

ἄλλα παρ' ἑαυτῷ κατέσχεν, ἐξ ὧν καὶ τὰς δεκάτας τῷ Μελχισεδὲκ παρέσχετο.

ΕΡΩΤΗΣΙΣ 7

Τίνος χάριν οἱ μὲν κατὰ νόμον ἱερεῖς γυναῖκας ἔχειν οὐκ ἐκωλύοντο, οἱ δὲ κατὰ Χριστὸν ἱερεῖς κωλύονται ὅσον ἀπὸ τῆς συνηθείας;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ μὲν πρόχειρον, ὡς τοῦ Εὐαγγελίου ὑψηλοτέρου ὄντος καὶ ὡς πολλοῖς γέγονεν ἡ παρθενία βατὴ ἐξότου διὰ παρθενίας τεχθῆναι ὁ πάντων Δεσπότης ηὐδόκησεν, ὅπερ τοῖς ἀρχαίοις σπάνιον ἦν. Ἐπειδὴ δὲ ἡ τοῦ Εὐαγγελίου ἱερωσύνη κατὰ τὴν τάξιν Μελχισεδὲκ γενέσθαι πιστεύεται καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρών, Μελχισεδὲκ δὲ γυναῖκα ἐσχηκέναι οὐκ ἀναγέγραπται, ἀναγκαίως ἄρα καὶ οἱ κατὰ τὴν αὐτοῦ τάξιν ἱερατεύοντες ἐπίσκοποι γυναῖκας οὐ προσίενται.

ΕΡΩΤΗΣΙΣ 8

Ἐπειδὴ γέγραπται ὅτι ὁ προφήτης Ἀμὼς «αἰπόλος ἦν κνίζων συκάμινα», τί ἐστιν «αἰπόλος» καὶ τί «τὸ κνίζειν»;

ΑΠΟΚΡΙΣΙΣ

«Αἰπόλος» ἐστὶν ποιμὴν αἰγῶν, τὸ δὲ «κνίζειν» ἐστὶν τὸ τεμεῖν. Ἐπειδὴ οὖν ὁ ὀπὸς τοῦ συκαμίνου ὠμός ἐστιν καὶ παχὺς καὶ βλαβερός, οἱ κνίζοντες τέμνουσιν μετὰ μαχαιρίων τὸ συκάμινον καὶ ποιοῦσιν ἀπορρεῦσαι τὸν ὀπόν. Ζωΰφια δὲ εἰσέρπουσιν ἔσωθεν καὶ τῆς ἀκτῖνος τοῦ ἡλίου εἰσβαλλούσης, γλυκαίνουσι καὶ ἀπαλύνουσιν αὐτό. Καὶ ταῦτα μὲν κατὰ τὸ γράμμα· κατὰ δὲ τὸν τῆς ἀναγωγῆς τρόπον, ποιμήν ἐστιν αἰγῶν ὁ ποι-

19. Ἑβρ. 5,6,10. Ψαλμ. 109,4.
20. Γεν. 14,18.

τὰ κράτησε γιὰ τὸν ἑαυτό του. Ἀπὸ αὐτὰ ἔδωσε καὶ τὶς δεκάτες στὸ Μελχισεδέκ.

ΕΡΩΤΗΣΗ 7

Γιὰ ποιό λόγο οἱ ἱερεῖς τοῦ (μωσαϊκοῦ) νόμου δὲν ἐμποδίζονταν νὰ ἔχουν γυναῖκες, ἐνῶ οἱ ἱερεῖς τοῦ Χριστοῦ, σύμφωνα μὲ τὴ συνήθεια ἐμποδίζονται;

ΑΠΟΚΡΙΣΗ

Ἡ πρόχειρη ἐξήγηση εἶναι, ὅτι τὸ Εὐαγγέλιο εἶναι ὑψηλότερο καὶ ὅτι ἡ παρθενία ἔγινε προσιτὴ σὲ ὅλους, ἀφότου θέλησε ὁ Κύριος τῶν ὅλων νὰ γεννηθεῖ ἀπὸ παρθένο, πράγμα ποὺ ἦταν σπάνιο στοὺς ἀρχαίους. Ἐπειδὴ ὅμως πιστεύομε ὅτι ἡ ἱερωσύνη τοῦ Εὐαγγελίου ἔγινε κατὰ τὴν τάξη Μελχισεδέκ[19] καὶ ὄχι κατὰ τὴν τάξη Ἀαρὼν καὶ ὁ Μελχισεδὲκ δὲν ἀναγράφει ὅτι εἶχε γυναίκα[20], κατ' ἀνάγκη ἄρα καὶ οἱ ἐπίσκοποι ποὺ ἀσκοῦν τὴν ἱερατεία τους κατὰ τὴν τάξη τοῦ Μελχισεδὲκ δὲν παίρνουν γυναῖκες.

ΕΡΩΤΗΣΗ 8

Ἐπειδὴ ἔχει γράφει ὅτι ὁ προφήτης Ἀμὼς[21] ἦταν «αἰπόλος» καὶ «ἔκαιγε συκάμινα», ἐρωτῶ τί σημαίνει 'αἰπόλος' καὶ τί τὸ 'κνίζω';

ΑΠΟΚΡΙΣΗ

Αἰπόλος εἶναι ὁ γιδοβοσκὸς καὶ τὸ κνίζω σημαίνει 'κάνω τομή'. Ἐπειδὴ λοιπὸν ὁ χυμὸς τοῦ συκάμινου εἶναι τραχὺς καὶ παχὺς καὶ βλαβερὸς κάνουν μὲ μαχαίρι τομὴ στὸ συκάμινο καὶ κάνουν νὰ χαθεῖ ὁ χυμός. Τρυπώνουν τότε μέσα ζωύφια καὶ μαζὶ μπαίνουν καὶ οἱ ἀκτίνες τοῦ ἥλιου, ποὺ γλυκαίνουν κι ἀπαλύνουν τὴ γεύση αὐτοῦ. Αὐτὰ γιὰ μιὰ καταγράμμα ἐξήγηση.

21. Ἀμὼς 7,14. Ἄλλες ἀπὸ τὶς συκαμινὲς κάνουν μοῦρα κι ἄλλες καρπὸ 'τοῖς σύκοις ἐμφερῆ'· ἐδῶ πρόκειται μᾶλλον γιὰ τὶς δεύτερες. Ἀμὼς 7,14.

μαίνων τῷ λόγῳ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς μέρος. Κνίζει δὲ συκάμινα ὁ τὸ σῶμα δι' ἐγκρατείας ὑποπιάζων καὶ τὴν ὑγρότητα τῶν παθῶν ἀπορρέων· οὗτος γὰρ δίκην ζῳυφίων δέχεται θείους λογισμοὺς καὶ «ἡλίῳ τῆς δικαιοσύνης» γλυκαίνεται καὶ ἀπαλύνεται τὴν ψυχὴν καὶ προφήτης ἀπὸ Θεοῦ καὶ διδάσκαλος ἑτέροις καθίσταται.

ΕΡΩΤΗΣΙΣ 9

Τί σημαίνει ὁ χαλκοῦς ὄφις ὁ κατὰ πρόσταξιν Θεοῦ ὑπὸ Μωυσέως ἐφ' ὑψηλοῦ κρεμασθεὶς ἐν τῇ ἐρήμῳ;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ ἐξαρχῆς ἀπατήσας τὸν ἄνθρωπον ὁ νοητὸς ὄφις διὰ τῆς παρακοῆς ἐν τῇ σαρκὶ τὸν τῆς ἁμαρτίας νόμον ἡμῖν ἐγκατέμιξεν, ὄφεως δίκην ἕρπων ἐν ἡμῖν διὰ τῆς ἡδονῆς, διὰ τοῦτο ὁ τὴν ἔρημον παθῶν ἀρετὴν βαδίζων ἐὰν στραφῇ εἰς Αἴγυπτον, τουτέστιν εἰς τὸν τῆς ἁμαρτίας σκοτασμόν, ὑπὸ τῶν νοητῶν ὄφεων πλήττεται· ἐὰν δὲ εἰς τὸν σταυρωθέντα Κύριον ἀτενίσῃ, οὗτινος ἡ σὰρξ ἐφ' ὕψους κρεμασθεῖσα νεκρὸν εἶχεν τὸν ἐν τῇ ἡμετέρᾳ σαρκὶ τοῦ ὄφεως τῆς ἁμαρτίας νόμον καὶ ἀνενέργητον, σῴζεται. Χαλκοῦς δὲ ὁ ὄφις, ἐπειδὴ οὔτε μείωσιν οὔτε ἰὸν ἐπιδέχεται ἡ τοῦ χαλκοῦ φύσις, ὥσπερ οὐδὲ ὁ Κύριος προσήκατο ἰὸν ἁμαρτίας «οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδεν διαφθοράν».

Ἐπειδὴ δὲ ὁ Θεολόγος Γρηγόριος μέμνηται λέγων «ὁ δὲ χαλκοῦς ὄφις κρεμνᾶται μὲν κατὰ τῶν δακνόντων ὄφεων, οὐχ ὡς δὲ τύπος τούτου τοῦ ὑπὲρ ἡμῶν παθόντος, ἀλλ' ὡς ἀντίτυπος» καὶ ὅτι «ὁ πιστεύων συννεκροῖ τὰς ὑπ' αὐτὸν δυνάμεις», ἀναγκαῖον καὶ ταῦτα διασαφῆσαι. Ὁ δι' ἀρετῆς καὶ γνώσεως τὸ

---

22. Μαλ. 4,2. 23. Ἀριθμ. 21,8–9.
24. Πράξ. 7,9. 25. Πράξ. 2,31.
26. Γρηγορίου Θεολόγου, *Λόγος 45. Εἰς τὸ Πάσχα*, 22(PG 36,653B12-15).

Μεταφορικὰ τώρα, βοσκὸς κατσικιῶν εἶναι αὐτὸς ποὺ βόσκει μὲ τὸ λόγο τὸ ἐπιθυμητικὸ μέρος τῆς ψυχῆς. Κάνει τομὴ στὰ συκάμινα αὐτὸς ποὺ ταλαιπωρεῖ τὸ σῶμα καὶ κάνει νὰ χυθεῖ ἡ ὑγρότητα τῶν παθῶν. Αὐτὸς καθὼς τὸ ζωύφιο δέχεται λογισμοὺς θεϊκοὺς καὶ ὁ ἥλιος τῆς δικαιοσύνης γλυκαίνει κι ἁπαλύνει τὴν ψυχή του[22] καὶ γίνεται γιὰ τοὺς ἄλλους προφήτης καὶ δάσκαλος ἀπὸ μέρος τοῦ Θεοῦ.

ΕΡΩΤΗΣΗ 9

Τί σημαίνει τὸ χάλκινο φίδι πού, κατὰ προσταγὴ τοῦ Θεοῦ, κρέμασε ψηλὰ στὴν ἔρημο ὁ Μωυσῆς[23];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ τὸ νοητὸ φίδι, ποὺ ἐξαπάτησε τὸν ἄνθρωπο ἀπὸ τὴν ἀρχή, ἐγκατέμιξε στὴ σάρκα μὲ τὴν παρακοὴ τὸ νόμο τῆς ἁμαρτίας, ἕρποντας μέσα μας μὲ τὴν ἡδονή· γι' αὐτὸ ὅποιος βαδίζει στὴν ἔρημο ἀπὸ πάθη ἀρετὴ ἂν κατευθυνθεῖ στὴν Αἴγυπτο[24], δηλαδὴ στὸ σκοτισμὸ τῆς ἁμαρτίας, δέχεται τὰ χτυπήματα τῶν νοητῶν φιδιῶν· σώζεται ὅμως ἂν ἀτενίσει τὸν Κύριο ἐπάνω στὸ σταυρό, ποὺ ἡ σάρκα του κρεμασμένη ψηλὰ εἶχε νεκρὸ κι ἀνενέργητο τὸν ἁμαρτωλὸ νόμο τοῦ φιδιοῦ ποὺ ἐνεργεῖ μέσα στὴ σάρκα μας. Τὸ φίδι ἦταν χάλκινο, ἐπειδὴ ἡ φύση τοῦ χαλκοῦ δὲν ἐπιδέχεται οὔτε μείωση οὔτε σκουριά, ὅπως ὁ Κύριος οὔτε τὴν σκουριὰ τῆς ἁμαρτίας δέχτηκε οὔτε ἡ σάρκα του γνώρισε τὴν ἀποσύνθεση[25].

Ἐπειδὴ ὁ Θεολόγος Γρηγόριος κάνει ἀναφορὰ καὶ λέει ὅτι «τὸ χάλκινο φίδι κρεμιέται ἐναντίον τῶν φιδιῶν ποὺ δαγκώνουν, ὄχι ὡς τύπος ἐκείνου ποὺ ἔπαθε γιὰ χάρη μας, ἀλλὰ ὡς ἀντίτυπός του»[26] καὶ ὅτι «ὅποιος πιστεύει νεκρώνει ὅλες μαζὶ τὶς δυνάμεις ποὺ αὐτὸς ἐξουσιάζει» εἶναι ἀνάγκη νὰ τὰ διασαφηνίσομε κι αὐτά. Ὅποιος καθάρισε τὴν ὀπτικὴ δύναμη τῆς

καὶ Γρηγορίου Θεολόγου, Ἅπαντα τὰ ἔργα, Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, τόμ. 5, σ. 200,13-15.

τῆς ψυχῆς ὀπτικὸν ἀνακαθήρας γινώσκει σαφῶς ὅτι ἡ κακία ἀνυπόστατός ἐστι καὶ ἐν οὐδενὶ τῶν ὄντων ὑπάρχουσα, εἰ μὴ μόνον ἐν τῷ πράττεσθαι. Ἐπεὶ οὖν ὁ ἀρχέκακος ὄφις τὴν σκολιότητα τῆς ἁμαρτίας ἐν τῷ ἀνθρώπῳ διὰ τῆς παρακοῆς ἐνεκέρασεν, ἐγκελεύεται Μωυσῆς κρεμάσαι τὸν χαλκοῦν ὄφιν, παραδηλῶν τὸ μέλλον ἐπὶ τοῦ Κυρίου γενήσεσθαι· αὐτὸς γὰρ καὶ μόνος διὰ τοῦ πάθους τοῦ σταυροῦ ἐστηλίτευσεν τὴν ἁμαρτίαν καὶ ἔδειξεν ἀνενέργητον καὶ νεκράν. Ὅστις οὖν ἀτενίζει ἐν αὐτῷ καὶ πιστεύει νενεκρῶσθαι καὶ ἀνενέργητον γενέσθαι τὸν ἐχθρόν, οὗτος καὶ «συννεκροῖ τὰς υπ' αὐτὸν δυνάμεις»· οὐκέτι γὰρ οὔτε διὰ τῶν αἰσθήσεων οὔτε διὰ τῶν αἰσθητῶν, δι' ὧν εἶχεν τὸ κράτος, καταβλάψαι δύναται· διὰ τοῦτο οὖν εἴρηται τῷ πατρὶ «οὐχ ὡς τύπος, ἀλλ' ὡς ἀντίτυπος», ὡς παραδηλοῦντος τὴν τοῦ διαβόλου νέκρωσιν.

ΕΡΩΤΗΣΙΣ 10

Πῶς χρὴ καὶ ἡμᾶς, εἴπερ «ὁ νόμος πνευματικός ἐστιν», ἑορτάζειν τὸ σάββατον τῶν ἡμερῶν καὶ τὸ σάββατον τῶν ἑβδομάδων, ὅπερ ἐστὶν ἡ Πεντηκοστή, καὶ τὸ σάββατον τῶν ἐνιαυτῶν τὴν ἑπταετερίδα, καὶ τὸ σάββατον τῆς ἑπταετερίδος, ὅπερ ἐστὶν ὁ Ἰωβηλαῖος;

ΑΠΟΚΡΙΣΙΣ

Ἑορτάζομεν τὴν ἑβδομάδα τῶν ἡμερῶν ὅτ' ἂν τὴν τῶν κακῶν ἐνέργειαν παύσωμεν, ἢ ἑορτάζομεν δὲ καὶ τὸ σάββατον τῶν ἑβδομάδων ὅτε τὰ συγκαταθέσεις τῶν πονηρῶν λογισμῶν παύσωμεν. Ἑορτάζομεν δὲ καὶ τὸ σάββατον τῶν ἐνιαυτῶν ὅτε τὴν προσβολὴν τῆς ἐπιθυμίας μὴ παραδεξώμεθα, ἐπειδὴ ὁ ἐνιαυτὸς ἔχει τῶν καρπῶν τὴν ἀναβλάστησιν καὶ τὴν ἐπιθυμίαν ἐν τούτοις διεγείρουσαν. Ἑορτάζομεν δὲ καὶ τὸν ἰωβηλαῖον ὅτε τὰς μνήμας τῶν κακῶν καὶ φαντασίας τὰς ἐκ προλήψεως ἡμῖν ἐπισυμβαινούσας τέλεον καταπαύσωμεν· τὸ γὰρ ἰωβη-

27. Ρωμ. 7,14. 28. Λευιτ. 23,3.

ψυχῆς μὲ τὴν ἀρετὴ καὶ τὴ γνώση, γνωρίζει σαφῶς ὅτι ἡ κακία δὲν ἔχει ὑπόσταση καὶ δὲν ὑπάρχει σὲ κανένα ἀπὸ τὰ ὄντα, παρὰ μόνο κατὰ τὴν πράξη. Ἐπειδὴ λοιπὸν τὸ ἀρχέκακο φίδι μὲ τὴν παρακοὴ ἀνέμιξε μέσα στὸν ἄνθρωπο τὴ σκολιότητα τῆς ἁμαρτίας, δέχεται διαταγὴ ὁ Μωυσῆς νὰ κρεμάσει τὸ χάλκινο φίδι, δηλώνοντας μὲ αὐτὸ ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ συμβεῖ στὸν Κύριο. Γιατὶ ὁ Κύριος καὶ μόνος μὲ τὸ πάθος τοῦ σταυροῦ στηλίτευσε τὴν ἁμαρτία καὶ τὴν ἔδειξε ἀνενεργὸ καὶ νεκρή. Ὅποιος λοιπὸν ἀτενίζει σ' αὐτὸν καὶ πιστεύει ὅτι ὁ ἐχθρὸς ἔχει νεκρωθεῖ κι ἔγινε ἀνενεργός, αὐτὸς 'νεκρώνει ὅλες τὶς δυνάμεις ποὺ αὐτὸς ἐξουσιάζει'. Γιατὶ δὲν μπορεῖ πιὰ νὰ τὸν βλάψει οὔτε μὲ τὶς αἰσθήσεις οὔτε μὲ τὰ αἰσθητὰ ἀπὸ τὰ ὁποῖα ἀντλοῦσε τὴ δύναμή του.

ΕΡΩΤΗΣΗ 10

«Ἂν ὁ νόμος εἶναι πνευματικός»[27], πῶς πρέπει κι ἐμεῖς νὰ ἑορτάζομε τὸ σάββατο τῶν ἡμερῶν καὶ τὸ σάββατο τῶν ἑβδομάδων[28], ποὺ εἶναι ἡ Πεντηκοστή, καὶ τὸ σάββατο τῶν ἐτῶν[29], τὴν ἑπταετηρίδα, καὶ τὸ σάββατο τῆς ἑπταετηρίδας ποὺ εἶναι τὸ ἰωβηλαῖο[30];

ΑΠΟΚΡΙΣΗ

Ἑορτάζομε τὴν ἑβδομάδα τῶν ἡμερῶν, ὅταν σταματήσομε τὴν διάπραξη τῶν κακῶν καὶ ἑορτάζομε καὶ τὸ σάββατο τῶν ἑβδομάδων ὅταν σταματήσομε νὰ δίνομε τὴ συγκατάθεσή μας στοὺς πονηροὺς λογισμούς. Τὸ σάββατο τῶν ἐτῶν τὸ ἑορτάζομε, ὅταν ἀπορρίπτομε τὴν προσβολὴ τῆς ἐπιθυμίας, ἐπειδὴ τὸ ἔτος ἔχει τὴν ἀναπαραγωγὴ τῶν καρπῶν καὶ τὴν ἐπιθυμία ποὺ διεγείρει γι' αὐτούς. Ἑορτάζομε τέλος καὶ τὸ ἰωβηλαῖο, ὅταν ἐξαλείψομε τελείως τὴ μνήμη καὶ τὶς φαντασίες τῶν κακῶν ποὺ μᾶς συμβαίνουν ἐξαιτίας τῆς προηγούμενης συμμετοχῆς μας σ' αὐτές. Γιατὶ τὸ ἰωβηλαῖο ἑρμηνεύεται 'λύση δεσμῶν ζῶντος' ἢ

29. Λευιτ. 23,4. 30. Λευιτ. 25,4· 26,10.

λαῖον ἑρμηνεύεται 'ζῶντος λύσις δεσμῶν' ἢ 'ζῶντος ἀπαλλαγὴ πένθους'· ὅτε γάρ τις τὴν ἀπάθειαν τελείαν κτήσηται, τότε λύεται τῶν δεσμῶν τῆς ἁμαρτίας καί, τοῦ πένθους ἀπαλλαγείς, χαρὰν τῇ ψυχῇ εἰσοικίζεται.

ΕΡΩΤΗΣΙΣ 11

Τί σημαίνει Ἐλισσαῖος ἀναστήσας τὸν υἱὸν τῆς Σουμανίτιδος;

ΑΠΟΚΡΙΣΙΣ

Ἐλισσαῖος ὁ προφήτης δηλοῖ τὸν Κύριον, ὁ δὲ τῆς Σουμανίτιδος παῖς τὴν ἀνθρωπείαν φύσιν. Ἐπειδὴ γὰρ ἠσθένησεν αὐτὴ διὰ τῆς παραβάσεως καὶ τῷ διαβολικῷ καύσωνι ἐθανατώθη, ἀπέστειλεν ὁ Κύριος τὸν Μωυσῆν διὰ ῥάβδου θαυματουργοῦντα, καθάπερ καὶ Ἐλισσαῖος τὸν Γιεζεί, καὶ οὐκ ἀνέστησε τὸν ἄνθρωπον, οὔτε δὲ οἱ προφῆται τοῦτο ἴσχυσαν. Αὐτὸς οὖν διὰ φιλανθρωπίαν ὁ Κύριος τὴν ἡμετέραν σάρκα ἀναλαβών, διὰ τῶν ταύτης παθημάτων τὴν νεκρωθεῖσαν ἡμῶν φύσιν ἐζωοποίησεν.

ΕΡΩΤΗΣΙΣ 12

Τί δήποτε ὁ μὲν εἷς τῶν εὐαγγελιστῶν τὴν γενεαλογίαν ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ποιεῖται, ὁ δὲ ἕτερος τὸ ἐναντίον;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι ὅτι οὐκ ἀσκόπως, μᾶλλον δὲ καὶ λίαν μυστικῶς τοῦτο πεποιήκασιν· ἐπειδὴ γὰρ οἱ μὲν τῶν πιστῶν ἀπὸ τῶν ἐπαγγελιῶν ἐπὶ τὴν πρᾶξιν τῶν ἐντολῶν κατάγονται, οἱ δὲ ἀπὸ

---

31. Α' Βασ. 4,32–33. 32. Ἐξ. 7,9–8,13.
33. Δ' Βασ. 4,29–33.

'ἀπαλλαγὴ πένθους ἑνὸς ζωντανοῦ'. Γιατὶ ὅταν κάποιος ἀποκτήσει τέλεια ἀπάθεια, τότε λυτρώνεται ἀπὸ τὰ δεσμὰ τῆς ἁμαρτίας καὶ ἀπαλλαγμένος ἀπὸ τὸ πένθος ἐγκαθιστᾶ μέσα στὴν ψυχή του τὴ χάρη.

ΕΡΩΤΗΣΗ 11

Τί σημαίνει τὸ ὅτι ὁ Ἐλισσαῖος ἀνάστησε τὸ γιὸ τῆς Σουμανίτιδας[31];

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἐλισσαῖος ὁ προφήτης δηλώνει τὸν Κύριο, ἐνῶ ὁ γιὸς τῆς Σουμανίτιδας τὴν ἀνθρώπινη φύση. Ἐπειδὴ αὐτὴ μὲ τὴν παράβαση ἀσθένησε καὶ μὲ τὸν διαβολικὸ καύσωνα παραδόθηκε στὸ θάνατο, ἔστειλε ὁ Κύριος τὸν Μωυσῆ νὰ κάνει θαύματα μὲ τὸ ραβδί του[32] ὅπως καὶ ὁ Ἐλισσαῖος τὸν Γιεζεὶ[33] καὶ δὲν ἀνάστησε τὸν ἄνθρωπο, πράγμα ποὺ δὲν τὸ κατόρθωσαν οὔτε οἱ προφῆτες. Ὁ ἴδιος λοιπὸν ὁ Κύριός μας ἔλαβε ἀπὸ φιλανθρωπία τὴ δική μας σάρκα, καὶ μὲ τὰ παθήματά της ζωοποίησε τὴ φύση μας ποὺ εἶχε νεκρωθεῖ.

ΕΡΩΤΗΣΗ 12

Γιὰ ποιό λόγο ὁ ἕνας ἀπὸ τοὺς Εὐαγγελιστὲς[34] ἀρχίζει τὴ γενεαλογία τοῦ Χριστοῦ ἀπὸ κάτω πρὸς τὰ ἄνω καὶ ὁ ἄλλος[35] ἀντίθετα;

ΑΠΟΚΡΙΣΗ

Δὲν τὸ κάνουν, νομίζω, αὐτὸ ἄσκοπα, ἀλλὰ μᾶλλον τὸ ἔχουν κάνει καὶ μὲ πολὺ μυστικὸ νόημα. Ἐπειδὴ δηλαδὴ ἄλλοι πιστοὶ ὁδηγοῦνται ἀπὸ τὶς ἐπαγγελίες στὴ διάπραξη τῶν ἐντολῶν καὶ ἄλλοι ὁδηγοῦνται στὶς ἐπαγγελίες ἀρχίζοντας ἀπὸ τὴ διάπραξη τῶν ἐντολῶν, ἐξαιτίας αὐτοῦ ὁ ἕνας περιγράφει τὴ γε-

34. Ματθ. 1,2–16. 35. Λουκᾶ 3,23–38.

τῆς πράξεως τῶν ἐντολῶν ἀρχόμενοι ἐπὶ τὰς ἐπαγγελίας ἀνάγονται, τούτου χάριν ὁ μὲν κατάγει, ὁ δὲ ἀνάγει τὴν γενεαλογίαν.

ΕΡΩΤΗΣΙΣ 13

Τίνος χάριν ἐν τῇ προθέσει τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Κυρίου τοὺς ἄρτους καὶ τὰ ποτήρια ἄνισα προτίθειν ἔθος ἐστὶν τῇ Ἐκκλησίᾳ;

ΑΠΟΚΡΙΣΙΣ

Πάντα ὑπερφυῆ λόγον ἔχουσι τὰ ἐν τῇ Ἐκκλησίᾳ τελούμενα. Ἐπειδὴ δὲ κατ' ἐξαίρετον τὰ σύμβολα ταῦτα τῆς θείας οὐσίας εἰσὶν μυστήρια καὶ ἀπεικονίσματα, ἔστι δὲ αὕτη ἀσύνθετος –πᾶσα δὲ κτίσις σύνθετός ἐστιν, μόνη δέ, ὡς εἴρηται, ἡ ἁγία Τριὰς ἁπλῆ καὶ ἀσύθετος– διὰ τοῦτο οὖν ἄνισα προτίθησιν ἡ Ἐκκλησία τοὺς ἄρτους καὶ τὰ ποτήρια, τὸ Θεῖον ἐν τούτοις χαρακτηρίζουσα.

ΕΡΩΤΗΣΙΣ 14

Ἐπειδή τινες ἀποροῦσιν ὅτι 'Πῶς λαθεῖν λέγεται πάσας τὰς οὐρανίους δυνάμεις ἡ τοῦ Κυρίου ἐνανθρώπησις, ὁπόταν εὑρίσκωμεν ὅτι καὶ αἱ προφητεῖαι αἱ περὶ τοῦ Κυρίου δι' ἀγγέλων γεγόνασι καὶ τὴν σύλληψιν τῆς Παρθένου ὁ Γαβριὴλ εὐαγγελίζεται καὶ τοὺς ποιμένας ἄγγελοι μυσταγωγοῦσιν'; Τί οὖν ἐστι τὸ λαθὸν τοὺς ἀγγέλους;

ΑΠΟΚΡΙΣΙΣ

Ὅτι μὲν ᾔδεισαν οἱ ἄγγελοι τὴν μέλλουσαν ἔσεσθαι ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τοῦ Κυρίου ἐνανθρώπησιν, οὐ δεῖ ἀμφιβάλλειν. Ἐκεῖνο δὲ ἔλαθεν αὐτούς, ἡ ἀκατάληπτος τοῦ Κυ-

---

36. Λουκᾶ 1,26–38.

νεαλογία ἀρχίζοντας ἀπὸ πάνω πρὸς τὰ κάτω καὶ ὁ ἄλλος ἀπὸ κάτω πρὸς τὰ ἐπάνω.

ΕΡΩΤΗΣΗ 13

Γιὰ ποιό σκοπὸ κατὰ τὴν πρόθεση τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Κυρίου ἐπικράτησε ἡ συνήθεια στὴν Ἐκκλησία νὰ εἶναι οἱ ἄρτοι καὶ τὰ ποτήρια ἄνισα;

ΑΠΟΚΡΙΣΗ

Ὅλα ὅσα τελοῦνται στὴν Ἐκκλησία ἔχουν κάποιο λόγο ὑπερφυσικό. Ἐπειδὴ ὅμως κατ' ἐξαίρεση αὐτὰ τὰ σύμβολα τῆς θείας οὐσίας εἶναι μυστήρια κι ἀπεικονίσματα καὶ ἡ θεία οὐσία εἶναι ἀσύνθετη –ἐνῶ κάθε κτίσμα εἶναι σύνθετο καὶ μόνο ἡ ἁγία Τριάδα εἶναι, ὅπως εἴπαμε, ἁπλὴ κι ἀσύνθετη– γι' αὐτὸ τὸ λόγο λοιπὸν ἡ Ἐκκλησία προσφέρει τοὺς ἄρτους καὶ τὰ ποτήρια ἄνισα, δείχνοντας μὲ αὐτὸ τὸν θεῖο χαρακτήρα τους.

ΕΡΩΤΗΣΗ 14

Ἐπειδὴ μερικοὶ ἀποροῦν καὶ λένε, 'Πῶς λέγεται ὅτι ὅλες οἱ οὐράνιες δυνάμεις δὲν γνώριζαν τὴν ἐνανθρώπηση τοῦ Κυρίου, τὴ στιγμὴ ποὺ βρίσκομε ὅτι καὶ οἱ σχετικὲς μὲ τὸν Κύριο προφητεῖες ἔχουν γίνει μέσω ἀγγέλων καὶ τὴ σύλληψη τῆς Παρθένου τὴν εὐαγγελίζεται ὁ Γαβριὴλ[36] καὶ ἄγγελοι γνωστοποιοῦν τὸ μυστήριο στοὺς ποιμένες[37]; Ποιό εἶναι λοιπὸν αὐτὸ ποὺ δὲν τὸ γνώριζαν οἱ ἄγγελοι;

ΑΠΟΚΡΙΣΗ

Ὅτι γνώριζαν οἱ ἄγγελοι τὴν ἐνανθρώπηση τοῦ Κυρίου ποὺ ἔμελλε νὰ γίνει γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων, δὲν πρέπει ν' ἀμφιβάλλομε. Ἐκεῖνο ποὺ δὲν γνώριζαν εἶναι ἡ ἀκατανόητη σύλληψη τοῦ Κυρίου καὶ ὁ τρόπος, πῶς δηλαδή, ἐνῶ ἦταν ὁλό-

37. Λουκᾶ 2,9–14.

ρίου σύλληψις καὶ ὁ τρόπος, πῶς ὅλος ἐν τῷ Πατρὶ καὶ ὅλος ὢν ἐν πᾶσιν καὶ πάντα πληρῶν, ὅλος ἦν ἐν τῇ γαστρὶ τῆς Παρθένου.

ΕΡΩΤΗΣΙΣ 15

Τί δήποτε ἐν τῷ ὄρει Γεβάλ, ἐν ᾧ αἱ κατάραι ἐδόθησαν, προστάσσεται ὁ τοῦ Ναυὴ Ἰησοῦς θυσιαστήριον οἰκοδομῆσαι καὶ γράψαι τὸν νόμον;

ΑΠΟΚΡΙΣΙΣ

'Γαριζίν' ἑρμηνεύεται 'περιτομή', 'Γεβὰλ' δὲ 'φύραμα'· ἐν τῷ φυράματι οὖν τῆς ἐθνικῆς μερίδος τῆς κατηραμένης πήγνυσι θυσιαστήριον ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, τουτέστι τὴν Ἐκκλησίαν, ἐγγράφων τὸν νόμον οὐκ ἐν πλαξὶ 'λιθίναις, ἀλλ' ἐν πλαξὶ' «καρδίαις σαρκίναις». Ἐκ λίθων δὲ τελείων, «ἐφ' οὓς οὐκ ἐπεβλήθη σίδηρος», τὸ θυσιαστήριον οἰκοδομηθῆναι λέγει, δηλῶν τοὺς νοητοὺς λίθους τοὺς ἀποστόλους, ἀπελεκήτους διὰ τὸ ἁπλοῦν τῶν τρόπων καὶ ἀπέριττον γενομένους, ἐξ ὧν ἡ τῶν ἐθνῶν Ἐκκλησία συνέστη.

ΕΡΩΤΗΣΙΣ 16

Τί σημαίνει ὅπερ ἀπειλεῖ ὁ προφήτης τοὺς ποιοῦντας «χαύωνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ» παραδίδοσθαι τῷ Ναβουχοδονόσορ, ὥστε ἐν τῇ πύλῃ Ἱερουσαλὴμ πῆξαι τὸν θρόνον αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Χαύωνές εἰσιν ἀρτίδια ἐκ διαφόρων εἰδῶν ὄντα, ἅπερ ποιοῦντες οἱ Ἰουδαῖοι καὶ αἱ γυναῖκες αὐτῶν ἐτίθουν ἐν ταῖς θυρίσι τῶν οἴκων, δεχόμεναι τὴν αὐγὴν τῆς σελήνης καὶ τοῦ ἑωσφόρου. Ἐπειδὴ οὖν χαύωνες 'θυρίδες' ἑρμηνεύονται, τοῦτο

38. Ἐφ. 1,23. 39. Ἰησοῦς Ναυῆ 9,2.
40. Β' Κορ. 3,3.

κληρος μέσα στὸν Πατέρα καὶ ἦταν ὁλόκληρος μέσα στὰ πάντα καὶ γέμιζε τὰ πάντα[38], ἦταν συγχρόνως ὁλόκληρος μέσα στὰ σπλάγχνα τῆς Παρθένου.

ΕΡΩΤΗΣΗ 15

Γιὰ ποιό λόγο ὁ Ἰησοῦς τοῦ Ναυῆ δέχεται τὴ διαταγὴ νὰ οἰκοδομήσει θυσιαστήριο καὶ νὰ γράψει τὸ νόμο στὸ ὄρος Γεβὰλ στὸ ὁποῖο δόθηκαν οἱ κατάρες;[39]

ΑΠΟΚΡΙΣΗ

Γαριζὶν ἑρμηνεύεται 'περιτομή', ἐνῶ Γεβὰλ 'φύραμα'. Στὸ φύραμα λοιπὸν τῆς ἐθνικῆς μερίδας τῆς καταραμένης ὁ Κύριός μας Ἰησοῦς Χριστὸς οἰκοδομεῖ θυσιαστήριο, δηλαδὴ τὴν Ἐκκλησία, γράφοντας τὸ νόμο ὄχι σὲ λίθινες πλάκες, ἀλλὰ στὶς σάρκινες πλάκες τῆς καρδιᾶς[40]. Καὶ λέει νὰ οἰκοδομηθεῖ τὸ θυσιαστήριο ἀπὸ πέτρες τέλειες, ποὺ δὲν τὶς πελέκησε σίδηρος, δηλώνοντας μὲ αὐτὸ τοὺς Ἀποστόλους, τοὺς νοητοὺς λίθους, ποὺ ἦταν ἐκλεκτοὶ ἐξαιτίας τῆς ἁπλότητας τῶν τρόπων τους καὶ τῆς ἀπροσποίητης συμπεριφορᾶς τους ἀπὸ τοὺς ὁποίους συστήθηκε ἡ Ἐκκλησία τῶν Ἐθνῶν.

ΕΡΩΤΗΣΗ 16

Τί σημαίνει ἡ ἀπειλὴ τοῦ προφήτη[41] γι' αὐτοὺς ποὺ παρασκευάζουν χαύωνες γιὰ τὴν οὐράνια στρατιὰ ὅτι θὰ παραδοθοῦν στὸ Ναβουχοδονόσορα[42], ὥστε νὰ στήσει τὸ θρόνο του στὴν πύλη τῆς Ἰερουσαλήμ;

ΑΠΟΚΡΙΣΗ

Χαύωνες εἶναι ἀρτίδια διαφόρων εἰδῶν, ποὺ τὰ παρασκεύαζαν οἱ Ἰουδαῖοι καὶ τὰ τοποθετοῦσαν οἱ γυναῖκες στὶς θυρίδες τῶν σπιτιῶν τους τὴν ὥρα ποὺ δέχονταν τὶς ἀκτίνες τῆς σελήνης καὶ τοῦ αὐγερινοῦ. Ἐπειδὴ λοιπὸν οἱ χαύωνες ἐξηγοῦ-

41. Ἱερ. 7,18. 42. Ἱερ. 1,15.

ὑποβάλλει νοεῖν ὅτι, ὅστις διὰ τῆς ἡδονῆς τὰς αἰσθήσεις πρὸς τὰ αἰσθητὰ ἐπιτερπῶς ἔχει, οὗτος χαύωνας ποιεῖ. Διὰ τοῦτο καὶ τὸν νοητὸν Ναβουχοδονόσορ ἐν τῇ πύλῃ Ἰερουσαλήμ, τουτέστιν ἐν τῇ ψυχῇ, δέχεται βασιλεύοντα ἐν αὐτῇ, ἐκθλίβων αὐτὴν ὡς ὑποχείριον· Ναβουχοδονόσορ γὰρ ἑρμηνεύεται 'προφητεύων κρίσιν θλίψεως'.

ΕΡΩΤΗΣΙΣ 17

Τί δηλοῦσιν αἱ κατὰ τὸν νόμον προσαγόμεναι πέντε θυσίαι, τὸ πρόβατον, ὁ βοῦς, ἡ αἴξ, ἡ τρυγὼν καὶ ἡ περιστερά;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν μίαν ἐπιβολὴν λαμβάνεται ὁ κριὸς μὲν ὡς ἡγεμονικὸν ἐπὶ τοῦ λογιστικοῦ, ὁ δὲ ταῦρος ἐπὶ τοῦ θυμικοῦ, ἡ δὲ αἴξ ἐπὶ τοῦ ἐπιθυμητικοῦ, ἡ δὲ τρυγὼν ἐπὶ τῆς σωφροσύνης, ἡ περιστερὰ δὲ ἐπὶ τοῦ ἁγιασμοῦ. Εἰ δὲ δεῖ καὶ τὰ ἑκάστου ζῴου προσόντα φυσικῶς ζητῆσαι καὶ ἑκάστου αὐτῶν τὴν πρόσφορον ἐφαρμόσαι θεωρίαν, φασὶν ὁ τὰ τοιαῦτα ἐπεσκεμμένοι, ὅτι τρία προσάγει τῷ κεκτημένῳ τὸ πρόβατον, τὸν μαλλόν, τὸ γάλα, τὸν ἀμνόν· ἡ δὲ κόρη τοῦ ὀφθαλμοῦ αὐτοῦ συμπεριπολεῖ τῷ ἡλίῳ καὶ ἑκάστης ἡμέρας ἀφοδεύει σπυράθους τριακοσίους ἑξηκονταπέντε. Τὸ δὲ λογικὸν πρόβατον ὁ ἄνθρωπος, εἴπερ ἑαυτὸν θυσίαν προσφέρειν τῷ κεκτημένῳ Θεῷ ἐσπούδακεν, χρεωστεῖ διδόναι ὥσπερ μαλλὸν τὴν ἠθικὴν πρᾶξιν, ὡς δὲ γάλα τὴν φυσικὴν θεωρίαν –θρεπτικὴ γὰρ αὐτὴ τοῦ νοῦ– ὡς δὲ ἀμνὸν τὸν μαθητευόμενον ἀπογεννᾶν διὰ τῆς ἰδίας διδασκαλίας κατὰ πάντα ὅμοιον ἑαυτῷ καὶ τέλειον προσάγειν τῷ Θεῷ. Ἀλλὰ καὶ τὴν κόρην τοῦ ὀφθαλμοῦ ὁ τοιοῦτος ἔχει τῷ ἡλίῳ συμπεριπολοῦσαν, τουτέστι τὸν νοῦν τῷ ἡλίῳ τῆς δικαιοσύνης διὰ τῆς προ-

43. Λευιτ. 1,10· 1,3· 3,12· 1,4.

νται θυρίδες, αὐτὸ μᾶς ὑποβάλλει τὴ σκέψη ὅτι ὅποιος ἀφήνει τὶς αἰσθήσεις του νὰ νιώθουν τὴν ἡδονὴ τῶν αἰσθητῶν, αὐτὸς παρασκευάζει χαύωνες. Γι' αὐτὸ καὶ δέχεται τὸν νοητὸ Ναβουχοδονόσορα στὴν πύλη τῆς Ἰερουσαλήμ, δηλαδὴ στὴν ψυχή του νὰ γίνει βασιλιάς της καὶ σὰν ὑποχείριά του νὰ τὴν καταπιέζει καὶ νὰ τὴ θλίβει· γιατὶ Ναβουχοδονόσορ ἑρμηνεύεται 'προφητεύοντας κρίση ποὺ προκαλεῖ θλίψη'.

ΕΡΩΤΗΣΗ 17

Τί σημαίνουν οἱ πέντε θυσίες ποὺ προσφέρονται σύμφωνα μὲ τὸ νόμο[43], τὸ κριάρι, ὁ ταῦρος, ἡ αἶγα, τὸ τρυγόνι καὶ ἡ περιστερά;

ΑΠΟΚΡΙΣΗ

Κατὰ μιὰ ἐκδοχὴ τὸ κριάρι σὰν ζῶο ἡγεμονικὸ χρησιμοποιεῖται γιὰ νὰ δηλώσει τὸ λογιστικό, ὁ ταῦρος τὸ θυμικό, ἡ αἶγα τὸ ἐπιθυμητικό, ἡ τρυγόνα τὴ σωφροσύνη καὶ ἡ περιστερὰ τὸν ἁγιασμό. Ἂν πρέπει τώρα ν' ἀναζητήσομε καὶ τὰ φυσικὰ προσόντα καθενὸς ζώου καὶ νὰ δώσομε στὸ καθένα ἀπὸ αὐτὰ τὴν πρόσφορη θεωρητικὴ ἐξήγηση, αὐτοὶ ποὺ ἔχουν ἐξετάσει τὰ θέματα αὐτὰ λένε ὅτι τὸ πρόβατο προσφέρει στὸν ἰδιοκτήτη του τρία πράγματα, τὸ μαλλί, τὸ γάλα καὶ τὸ ἀρνί[44]· ἡ κόρη τοῦ ματιοῦ του συμπορεύεται μὲ τὸν ἥλιο κατὰ τὴν περιπόλισή του καὶ κάθε μέρα ἀφοδεύει τριακόσια ἑξήντα πέντε σβολαράκια, ἐνῶ τὸ λογικὸ πρόβατο, ὁ ἄνθρωπος, ἂν ἐνδιαφέρθηκε νὰ προσφέρει θυσία τὸν ἑαυτό του στὸν ἰδιοκτήτη του Θεὸ ὀφείλει νὰ δώσει σὰν μαλλὶ τὴν ἠθικὴ πράξη, σὰν γάλα τὴ φυσικὴ θεωρία –γιατὶ αὐτὴ τρέφει τὸ νοῦ– καὶ σὰν ἀρνὶ νὰ γεννήσει μὲ τὴ διδασκαλία του τὸν μαθητευόμενο ὅμοιο του κατὰ πάντα καὶ νὰ τὸν προσφέρει τέλειο στὸ Θεό. Ἀλλὰ ὁ ἄνθρωπος αὐτὸς ἔχει καὶ τὴν κόρη τοῦ ματιοῦ του νὰ ἀκολουθεῖ τὸν ἥλιο στὴν περιπολία του, δηλαδὴ ὁ νοῦς συμπορεύεται μὲ τὸν ἥλιο τῆς δι-

44. Μαξίμου Ὁμολογητοῦ, Διονυσίου καὶ Γρηγορίου Πρὸς Θωμᾶν τὸν ἡγιασμένον Περὶ διαφόρων ἀποριῶν, PG 91,1277A.

νοητικῆς τῶν ὄντων διοικήσεως φέροντι τὰ ἡμέτερα συμπεριπολεῖ, τουτέστιν ἐπακολουθεῖ· ἔν τε γὰρ θλίψεσιν ἔν τε εὐημερίαις εὐχαριστῶν ἕπεται τῇ καλῶς ἀγούσῃ τὰ πάντα προνοίᾳ. Ἀποβάλλει δὲ ὁ τοιοῦτος ἑκάστης ἡμέρας σπυράθους τξε, τουτέστι τὰ ὑπὸ χρόνον καὶ γένεσιν ὡς φθαρτὰ καὶ περισσὰ ἑκάστοτε ἀπορρίπτει.

Περὶ δὲ τοῦ βοός φασιν ὅτι τὴν καρδίαν τρίγωνον κέκτηται, τὸν δὲ νεφρὸν πεντάβολον· ἔχει δὲ καὶ τρεῖς στομάχους, καὶ τὴν μὲν ἡμέραν φωτοειδεῖς ἔχει τοὺς ὀφθαλμούς, τῇ δὲ νυκτὶ πυροειδεῖς, καὶ τρίτον τῆς ἡμέρας καὶ τρίτον τῆς νυκτὸς κατ' ἀνατολὰς ὁρῶν πνέει φυσῶν· ὁ δὲ δεξιὸς αὐτοῦ ῥὶς εὐωδιάζει μόσχον, τὸ δὲ αἷμα αὐτοῦ ἀναιρετικόν ἐστι πάντων τῶν ἡμέρων ζῴων χωρὶς τοῦ κυνός. Δεῖ οὖν καὶ ἡμᾶς, ὥσπερ βοῦν τὸν ζυγὸν φέροντας τοῦ Χριστοῦ καὶ τὸ ἄροτρον τοῦ λόγου μεταχειριζομένους, τὰς λιθίνας ἀνατέμνειν καρδίας, καὶ τὰς μὲν ἀκάνθας τῶν παθῶν ἐκριζοῦν, πλατύνειν δὲ τὴν γῆν τῆς καρδίας πρὸς ὑποδοχὴν τοῦ θείου λόγου· ἔχειν δὲ καὶ τὴν καρδίαν τρίγωνον, τουτέστι τὸν περὶ Τριάδος λόγον ὑγιῆ ἔχειν ἐν τῇ καρδίᾳ, ἵνα, ὥσπερ ἡ καρδία διαδίδωσι φυσικῶς τὴν ζωὴν τῷ σώματι, οὕτω καὶ ἡ εἰς Θεὸν εὐσέβεια τὰ μέλη τῆς ψυχῆς συνίστησιν· τὸν δὲ νεφρὸν ἔχειν πεντάβολον, τουτέστι τὸ ἐπιθυμητικὸν μὴ πρὸς τὰ πάθη τετράφθαι, ἀλλὰ διὰ τῶν πέντε αἰσθήσεων τὴν κτίσιν κατοπτεύειν εἰς μόνην ἐπιθυμίαν καὶ ἀγάπην τοῦ κτίσαντος· τρεῖς δὲ καὶ στομάχους κεκτῆσθαι· ὁ στόμαχος πρῶτον τὰ σιτία δεχόμενος καὶ διὰ τῆς πεπτικῆς δυνάμεως τὸ εἰλικρινὲς αὐτῶν ἑκάστῳ τῶν μελῶν παραπέμψας, τὸ λοιπὸν τῇ κοιλίᾳ δίδωσιν.

Οὕτως οὖν καὶ ἡμᾶς προσῆκε διὰ πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς θεωρίας ἀγομένους καὶ τὰ πρόσφορα πᾶσι τοῖς μέλεσιν τῆς ψυχῆς ἀπονέμοντας, καὶ τοῦ ἥττονος προνοεῖσθαι μέρους, τουτέστι τοῦ σώματος· τοῦτο γὰρ ἡ κοιλία· τρίτον δὲ τῆς ἡμέρας καὶ τρίτον τῆς νυκτὸς ἀφορῶντας πρὸς ἀνατολὰς

καιοσύνης[45], δηλαδὴ τὸν ἀκολουθεῖ, ποὺ μᾶς κατευθύνει μὲ τὴν προνοητικὴ διακυβέρνηση τῶν ὄντων. Γιατὶ καὶ στὶς θλίψεις καὶ στὶς καλοτυχιὲς ἀκολουθεῖ εὐχαριστώντας τὴν πρόνοια ποὺ ρυθμίζει καλὰ τὰ πάντα. Ὁ ἄνθρωπος αὐτὸς ἀποβάλλει καθημερινὰ τριακόσια ἑξηνταπέντε σβολαράκια, δηλαδὴ ἀπορρίπτει ὡς φθαρτὰ καὶ περιττὰ ὅλα ὅσα φέρνει ὁ χρόνος.

Γιὰ τὸν ταῦρο λένε ὅτι ἔχει καρδιὰ τριγωνική, νεφρὸ πεντάλοβο, καὶ ἔχει καὶ τρία στομάχια· ἔχει μάτια φωτεινὰ ποὺ λάμπουν τὴ μέρα, ἐνῶ τὴ νύχτα εἶναι σὰν τὴ φωτιὰ καὶ τρεῖς φορὲς τὴν μέρα καὶ τρεῖς τὴ νύχτα κοιτάζοντας κατὰ τὴν ἀνατολὴ ρουθουνίζει ξεφυσώντας. Τὸ δεξιὸ ρουθούνι του εὐωδιάζει μόσχο, ἐνῶ τὸ αἷμα του σκοτώνει ὅλα τὰ ἥμερα ζῶα ἐκτὸς ἀπὸ τὸν σκύλο. Πρέπει λοιπὸν κι ἐμεῖς σηκώνοντας, ὅπως ὁ ταῦρος, τὸ ζυγὸ τοῦ Χριστοῦ καὶ χρησιμοποιώντας τὸ ἀλέτρι τοῦ λόγου, νὰ ὀργώνομε τὶς λίθινες καρδιές, ὥστε νὰ ξερριζώνομε τ' ἀγκάθια τῶν παθῶν καὶ ν' ἀνοίγομε τὴ γῆ τῆς καρδιᾶς μας γιὰ νὰ ὑποδεχτεῖ τὸ θεῖο λόγο. Ἀκόμη νὰ ἔχομε καὶ τὴν καρδιά μας τριγωνική, δηλαδὴ νὰ ἔχομε μέσα στὴν καρδιά μας ὑγιὴ τὸ λόγο περὶ τῆς Τριάδος, ὥστε, ὅπως ἡ καρδιὰ μοιράζει φυσιολογικὰ τὴ ζωὴ στὸ σῶμα, ἔτσι καὶ ἡ εὐσέβεια πρὸς τὸ Θεὸ νὰ στηρίζει τὰ μέλη τῆς ψυχῆς. Ἐπίσης νὰ ἔχομε τὸ νεφρό μας πεντάλοβο, δηλαδὴ τὸ ἐπιθυμητικὸ νὰ μὴ εἶναι στραμμένο στὰ πάθη, ἀλλὰ μὲ τὶς πέντε αἰσθήσεις νὰ κατοπτεύομε τὴν κτίση πρὸς ἐπιθυμία μόνο καὶ ἀγάπη τοῦ Κτίστη της. Ἀκόμη νὰ ἔχομε καὶ τρία στομάχια. Τὸ στομάχι δέχεται πρῶτα τὶς τροφὲς καὶ μὲ τὴν πεπτικὴ δύναμη, παραπέμποντας σὲ κάθε μέλος τὶς θρεπτικὲς οὐσίες, στέλλει τὸ ὑπόλοιπο στὴν κοιλιά.

Ἔτσι λοιπὸν πρέπει κι ἐμεῖς, ὁδηγούμενοι ἀπὸ τὴν πρακτική, τὴ φυσικὴ καὶ τὴ θεολογικὴ θεωρία, ν' ἀπονέμομε τὰ κατάλληλα σὲ ὅλα τὰ μέλη τῆς ψυχῆς, καὶ νὰ προνοοῦμε γιὰ τὸ κατώτερο στοιχεῖο, δηλαδὴ τὸ σῶμα· γιατὶ αὐτὸ εἶναι ἡ κοιλιά. Τρεῖς φορὲς τὴν ἡμέρα καὶ τρεῖς τὴ νύχτα πρέπει νὰ κατευθύνο-

45. Μαλ. 4,2.

πνέειν, τουτέστι τὴν τρισσὴν τοῦ Θεοῦ πρόνοιαν συντηρητικὴν καὶ ἐπιστρεπτικὴν καὶ παιδευτικὴν ἀφορῶντας, ἔν τε νυκτὶ πειρασμῶν ἔν τε ἡμέρᾳ εὐημερίας εὐχαριστεῖν· ἔχειν δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐν μὲν νυκτὶ πυροειδεῖς, ἐν δὲ ἡμέρᾳ τῶν ἀρετῶν τὰς ἐκ τοῦ «ἡλίου τῆς δικαιοσύνης» ἀκτῖνας τῆς γνώσεως ὑποδεχομένην, ἐν δὲ τῇ νυκτὶ τῶν ὑπὲρ ἀρετῆς ἐπαγομένων ἀλλεπαλλήλων πειρασμῶν τοὺς λόγους καταλαμβάνουσαν τῶν ἐγκαταλείψεων· ἔχειν δὲ καὶ τὸν δεξιὸν ῥῖνα εὐώδη· δεξιὸν μέρος τοῦ ἀνθρώπου ἐστὶν ἡ ψυχή, ἐπειδὴ διπλοῖ ἐσμεν, ἐκ ψυχῆς καὶ σώματος· ὁ οὖν διὰ τὰς τῆς ψυχῆς ἀρετὰς τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐπιστάμενος γίνεται τοῖς ἄλλοις εὐώδης. Τὸ δὲ αἷμα τοῦ τοιούτου ἀναιρετικόν ἐστιν τῶν ἡμέρων ζώων, τουτέστιν ὁ κατὰ προτροπὴν θυμὸς ἀναιρετικός ἐστι τοῖς μιμουμένοις αὐτὸν ἀνθρώποις, τροφὴ δὲ τοῖς ὑλακτοῦσι καθ' ἡμῶν δαίμοσιν.

*Ἡ δὲ αἶξ φύσιν ἔχει τοιαύτην· τὰ ὄρη εὐκόλως ἀναβαίνουσα κρημνοβατεῖ καὶ ἐπιτέρπεται τῶν μουσικῶν μελῶν καὶ τὸ δεξιὸν αὐτῆς κέρας ἐὰν θυμιαθῇ, ἐν ᾡδήποτε τόπῳ, σεισμοῦ φαντασίαν παρέχει· ἀφοδεύει δὲ ἑκάστης ἡμέρας σπυράθους διακοσίους. Δεῖ οὖν καὶ τὴν ἡμετέραν ψυχὴν τοὺς κρημνοὺς τῶν πειρασμῶν εὐθαρσῶς διαπηδᾶν καὶ τὰ προφητικὰ ὄρη ἀναβαίνοντας τὸ ὕψος τῆς γνώσεως θηρᾶσθαι καὶ ἐπὶ ταύτῃ ἥδεσθαι, καὶ οὐ μόνον ἥδεσθαι, ἀλλὰ καὶ διὰ τοῦ δόνακος, τουτέστι τοῦ ἐμπράκτου λόγου, διδάσκοντας ἡδονὴν ἐντιθέναι τοῖς ἀκούουσιν. Τὸ δὲ δεξιὸν κέρας σημαίνει ὅτι ὁ τὸ θεωρητικὸν τῆς ψυχῆς διὰ τῆς προσευχῆς τῷ Θεῷ προσαγαγών, εὐώδης γινόμενος τοῖς ἀκούουσιν, τὴν ἐν αὐτοῖς ἕξιν τῶν σαρκικῶν παθῶν διασαλεύει. Ὁ τοιοῦτος ἑκάστοτε τὴν περὶ τὰ αἰσθητὰ τῶν αἰσθήσεων ἀποβάλλει πλάνην· αἱ γὰρ αἰσθήσεις τῶν αἰσθητῶν συμπλεκόμεναι· *** οἷον, δεκαπλούμενος ὁ τέσσαρα ἀριθμὸς*

---

46. Ὑπάρχει χάσμα.

με τὴν ἀναπνοή μας πρὸς τὴν ἀνατολή, δηλαδὴ νὰ στρέφομε τὸ βλέμμα μας πρὸς τὴν τριπλὴ πρόνοια τοῦ Θεοῦ, τὴ συντηρητική, τὴν ἐπιστρεπτικὴ καὶ τὴν παιδευτικὴ καὶ νὰ τὸν εὐχαριστοῦμε καὶ τὴ νύχτα τῶν πειρασῶν καὶ τὴ μέρα τῆς εὐημερίας, ἔχοντας τὰ μάτια τὴ νύχτα σὰν φωτιὲς καὶ τὴν ἡμέρα σὰν φῶς, δηλαδὴ τὴ θεωρητικὴ δύναμη, ποὺ ὑποδέχεται κατὰ τὴν ἡμέρα τὶς ἀκτίνες τῆς γνώσης τῶν ἀρετῶν ἀπὸ τὸν ἥλιο τῆς δικαιοσύνης καὶ κατὰ τὴ νύχτα ν' ἀντιλαμβάνεται τοὺς λόγους γιὰ τοὺς ὁποίους θὰ μᾶς ἐγκαταλείψουν οἱ ἀλλεπάλληλοι κατὰ τῆς ἀρετῆς πειρασμοί. Νὰ ἔχομε καὶ τὸ δεξιὸ ρουθούνι νὰ εὐωδιάζει· δεξιὸ μέρος τοῦ ἀνθρώπου εἶναι ἡ ψυχή, ἐπειδὴ εἴμαστε διπλοί, ἀπὸ ψυχὴ καὶ σῶμα. Ὅποιος λοιπὸν ἐξαιτίας τῶν ἀρετῶν τῆς ψυχῆς ἀποσπᾶ τὴ χάρη τοῦ ἁγίου Πνεύματος γίνεται γιὰ τοὺς ἄλλους εὐώδης. Τὸ αἷμα πάλι τοῦ ἀνθρώπου αὐτοῦ σκοτώνει τὰ ἥμερα ζῶα, δηλαδὴ ὁ θυμὸς ποὺ παρεκτρέπεται εἶναι φονικὸς γιὰ τοὺς ἀνθρώπους ποὺ τὸν μιμοῦνται καὶ δίνει τροφὴ στοὺς δαίμονες ποὺ ἀλυχτοῦν ἐναντίον μας.

Ἡ φύση πάλι τῆς αἴγας εἶναι ἡ ἑξῆς· σκαρφαλώνει εὔκολα στὰ βουνά, ἀκροζυγίζεται στοὺς γκρεμούς, εὐχαριστιέται ἀπὸ μουσικὲς μελωδίες καὶ τὸ δεξιό της κέρατο ἂν θυμιαθεῖ σ' ὁποιοδήποτε τόπο κάνει νὰ φανταστοῦμε σεισμό· ἐπίσης ἀφοδεύει καθημερινὰ διακόσια σβολαράκια. Πρέπει λοιπὸν κι ἡ ψυχή μας νὰ δρασκελίζει τολμηρὰ τοὺς γκρεμοὺς τῶν πειρασμῶν κι ἀνεβαίνοντας τὰ προφητικὰ βουνὰ νὰ κυνηγοῦμε τὸ ὕψος τῆς γνώσης καὶ νὰ εὐχαριστιόμαστε γι' αὐτήν· κι ὄχι μόνο νὰ εὐχαριστιόμαστε, ἀλλὰ καὶ μὲ τὸ καλάμι, δηλαδὴ μὲ τὸν ἔμπρακτο λόγο, διδάσκοντας νὰ εὐχαριστοῦμε ὅσους ἀκοῦνε. Τὸ δεξιὸ κέρατο σημαίνει ὅτι ὅποιος στρέφει τὸ θεωρητικὸ μέρος τῆς ψυχῆς μὲ τὴν προσευχή του στὸ Θεό, ἐπειδὴ γίνεται εὐῶδες γιὰ ὅσους τὸν ἀκοῦνε διασαλεύει μέσα τους τὰ σαρκικὰ πάθη ποὺ ὑπάρχουν. Ὁ ἄνθρωπος αὐτὸς ἀποβάλλει κάθε φορὰ τὴν πλάνη τῶν αἰσθήσεων γύρω ἀπὸ τὰ αἰσθητά, γιατὶ οἱ αἰσθήσεις τῶν διαφόρων αἰσθητῶν συμπλέκονται ***[46]. Γιὰ παράδειγμα· ὁ ἀριθμὸς τέσσερα ὅταν δεκαπλασιαστεῖ κάνει τὸν

ποιεῖ τὸν τεσσαράκοντα, οὗτος δὲ πενταπλούμενος ἀποτελεῖ τὰ διακόσια.

ΕΡΩΤΗΣΙΣ 18

Τί ἐστι τὸ δίδραγμον ὅπερ καὶ ὁ Κύριος ἀπαιτεῖται τελέσαι, καὶ τίς ὁ ἰχθὺς ὃν ὁ Πέτρος κρατῆσαι κελεύεται καὶ τὸν ἐν αὐτῷ στατῆρα λαβεῖν καὶ δοῦναι τοῖς ἀπαιτοῦσιν;

ΑΠΟΚΡΙΣΙΣ

Οἱ ἀπαιτοῦντες τὰ δίδραγμα εἰκόνα φέρουσιν τῶν φυσικῶν ἐν ἡμῖν παθῶν· οὗτοι προσῆλθον τῷ Πέτρῳ, τουτέστι τῷ πρακτικῷ τοῦ Κυρίου καὶ ταπεινῷ καὶ μαθητοῦ τρόπον τῷ πατρὶ ὑπακούσαντι, ἀπαιτοῦντες ὡς ἄνθρωπον ἅπερ εἶχον ἔθος πάντας ἀνθρώπους δασμολογεῖν. Ὁ δὲ Κύριος ἔδειξεν ὡς Θεὸς καὶ Δεσπότης διὰ τῆς παραβολῆς ἑαυτὸν ἐλεύθερον· ἀλλ᾽ ἐπείπερ τὴν ἡμετέραν ὑποδὺς σάρκα καὶ τὰ ταύτης κατεδέξατο ἀδιάβλητα πάθη, ταῦτα καὶ τελέσαι τῇ φύσει ἠνέσχετο «χωρὶς ἁμαρτίας». Ἐπειδὴ γὰρ κατ᾽ ἀρχὰς πλάσας τὸν ἄνθρωπον καὶ δύο γενικοὺς αὐτῷ λόγους ἐνθέμενος, ἕνα μὲν προηγούμενον, τὸν τῆς ψυχῆς, ἕτερον δὲ κατὰ πρόνοιαν, τὸν τῆς σαρκός, οὐδοποτέρῳ δὲ τούτων ἐμμείναντος, ἀλλὰ τὸν μὲν τῇ παραβάσει τῆς ἐντολῆς, τὸν δὲ τῇ παραχρήσει τῶν ὅρων τῆς φύσεως παρατρώσαντος, ὅντινα λόγον ἐν τῷ πάθει κρύψας εἴασεν νήχεσθαι ἐν τῇ θαλάσσῃ τοῦ ταραχώδους βίου, διὰ τοῦτο ἀπαιτουμένου τοῦ Κυρίου τελέσαι τὸν φόρον τῆς φύσεως, ὡς Δεσπότης καὶ διορθωτὴς τῆς φύσεως, διὰ τοῦ λόγου τῆς πράξεως τὸ ἐννηχόμενον ἐν τῇ θαλάσσῃ τοῦ βίου γλίσχρον τῆς ἁμαρτίας πάθος κρατήσας καὶ τὸν ἐν αὐτῷ καταποθέντα λόγον, τουτέστι τὸν ἐξαρχῆς κατὰ παραχώρησιν δεδομένον ὅρον τῆς χρείας, ἀνα-

---

47. Ματθ. 17,24.
48. Ματθ. 17,27.

ἀριθμὸ σαράντα, καὶ αὐτὸς ὅταν πενταπλασιαστεῖ κάνει τὰ διακόσια.

ΕΡΩΤΗΣΗ 18

Τί εἶναι τὸ δίδραχμο ποὺ ζητεῖται νὰ καταβάλει[47] καὶ ὁ Κύριος καὶ τί εἶναι τὸ ψάρι ποὺ ὁ Πέτρος δέχεται διαταγὴ νὰ κρατήσει καὶ νὰ πάρει τὸ νόμισμα ποὺ ἔχει μέσα του καὶ νὰ τὸ δώσει σ' αὐτοὺς ποὺ τὸ ζητοῦν[48];

ΑΠΟΚΡΙΣΗ

Οἱ ἀπαιτητὲς τοῦ δίδραχμου εἰκονίζουν τὰ φυσικὰ μέσα μας πάθη. Αὐτοὶ πῆγαν στὸν Πέτρο, δηλαδὴ στὴν πρακτικὴ καὶ ταπεινὴ φύση τοῦ Κυρίου, ποὺ ὑπάκουσε στὸν Πατέρα ὅπως ἕνας μαθητής, ζητώντας του, σὰ νὰ ἦταν κοινὸς ἄνθρωπος, τὴ φορολογία ποὺ ὑπῆρχε συνήθεια νὰ ἐπιβάλλουν σ' ὅλους τοὺς ἀνθρώπους. Ὁ Κύριος ὅμως ἔδειξε μὲ τὴν παραβολὴ σὰν Θεὸς καὶ Κύριος τὸν ἑαυτό του ἐλεύθερο. Ἐπειδὴ ὅμως ὑποδύθηκε τὴ σάρκα μας καὶ καταδέχτηκε τὰ ἀδιάβλητα πάθη της, αὐτὰ δέχτηκε καὶ νὰ ἐκδηλώσει μὲ τὴ φύση του ἀλλὰ χωρὶς ἁμαρτία[49]. Ἐπειδὴ δηλαδὴ πλάθοντας κατ' ἀρχὰς τὸν ἄνθρωπο καὶ βάζοντας μέσα του δύο γενικοὺς λόγους, ἕνα ποὺ προηγεῖται, τὸ λόγο τῆς ψυχῆς, κι ἕνα κατὰ πρόνοια, τὸ λόγο τῆς σάρκας, αὐτὸς ὅμως δὲν ἔμεινε σὲ κανέναν ἀπὸ τοὺς δύο, ἀλλὰ τραυμάτισε καὶ τὸν ἕνα μὲ τὴν παράβαση τῆς ἐντολῆς καὶ τὸν ἄλλο μὲ τὴν παραβίαση τῶν ὅρων τῆς φύσης, καὶ τὸν λόγο ποὺ τὸν ἔκρυψε μέσα στὸ πάθος τὸν ἄφησε νὰ κολυμπᾶ στὴ θάλασσα τῆς τρικυμισμένης ζωῆς, γι' αὐτὸ ὅταν ζητοῦσαν ἀπὸ τὸν Κύριο νὰ καταβάλει τὸ φόρο τῆς φύσης, σὰν Κύριος καὶ διορθωτὴς τῆς φύσης, μὲ τὸ λόγο τῆς πράξης συγκρατώντας τὸ μίζερο πάθος τῆς ἁμαρτίας, ποὺ κολυμποῦσε στὴ θάλασσα τοῦ βίου καὶ τὸν λόγο ποὺ καταπόθηκε μέσα σ' αὐτό, δηλαδὴ τὸν ἀπὸ τὴν ἀρχὴ δοσμένο κατὰ παραχώρηση ὅρο τῆς χρείας, ἀφοῦ τὸν

49. Ἑβρ. 4,15.

σπάσας, ἐλεύθερον τοῦ τῆς παραχρήσεως πάθους τῇ φύσει ἀπέδωκεν.

ΕΡΩΤΗΣΙΣ 19

Ἐπειδὴ Γρηγόριος ὁ Νύσσης ἐν τοῖς ἑαυτοῦ συγγράμμασι φαίνεται τοῖς μὴ τὸ βάθος ἐπισταμένοις τῆς ὑψηλῆς αὐτοῦ θεωρίας πολλαχοῦ ἀποκατάστασιν ὑπεμφαίνειν, παρακαλῶ ὅπερ ἐπίστασαι περὶ τούτου εἰπεῖν.

ΑΠΟΚΡΙΣΙΣ

Τρεῖς ἀποκαταστάσεις οἶδεν ἡ Ἐκκλησία· μίαν μὲν τὴν ἑκάστου κατὰ τὸν τῆς ἀρετῆς λόγον, ἐν ᾗ ἀποκαθίσταται τὸν ἐπ' αὐτῷ λόγον τῆς ἀρετῆς ἐκπληρώσας· δευτέραν δὲ τὴν τῆς ὅλης φύσεως ἐν τῇ ἀναστάσει, τὴν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἀποκατάστασιν· τρίτη δέ, ᾗ καὶ μάλιστα κατακέχρηται ἐν τοῖς ἑαυτοῦ λόγοις ὁ Νύσσης Γρηγόριος, ἐστὶν αὕτη· ἡ τῶν ψυχικῶν δυνάμεων τῇ ἁμαρτίᾳ ὑποπεσουσῶν εἰς ὅπερ ἐκτίσθησαν πάλιν ἀποκατάστασις. Δεῖ γὰρ ὥσπερ τὴν ὅλην φύσιν ἐν τῇ ἀναστάσει τὴν τῆς σαρκὸς ἀφθαρσίαν χρόνῳ ἐλπιζομένῳ ἀπολαβεῖν, οὕτω καὶ τὰς παρατραπείσας τῆς ψυχῆς δυνάμεις τῇ παρατάσει τῶν αἰώνων ἀποβαλεῖν τὰς ἐντεθείσας αὐτῇ τῆς κακίας μνήμας καὶ περάσασαν τοὺς πάντας αἰῶνας καὶ μὴ εὑρίσκουσαν στάσιν εἰς τὸν Θεὸν ἐλθεῖν, τὸν μὴ ἔχοντα πέρας, καὶ οὕτω, τῇ ἐπιγνώσει οὐ τῇ μεθέξει τῶν ἀγαθῶν, ἀπολαβεῖν τὰς δυνάμεις καὶ εἰς τὸ ἀρχαῖον ἀποκαταστῆναι καὶ δειχθῆναι τὸν δημιουργὸν ἀναίτιον τῆς ἁμαρτίας.

ΕΡΩΤΗΣΙΣ 20

Τί σημαίνει ἡ κατὰ τὸν Βὴλ ἱστορία καὶ τίς ὁ Δανιὴλ καὶ ὁ βασιλεὺς Δαρεῖος γινώσκων τὰ ἴχνη τῶν εἰσελθόντων ὅτι ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων εἰσίν;

---

50. Γρηγορίου Νύσσης, *Περὶ κατασκευῆς τοῦ ἀνθρώπου* 17 (PG 44,188C)

51. Δανιήλ, Βὴλ καὶ Δράκων 1–22.

ἀπέσπασε, τὸν παρέδωσε στὴ φύση ἐλεύθερο ἀπὸ τὸ πάθος τῆς κατάχρησης.

ΕΡΩΤΗΣΗ 19

Ἐπειδὴ ὁ Γρηγόριος Νύσσης μέσα στὰ συγγράμματά του φαίνεται γιὰ ἐκείνους ποὺ δὲν γνωρίζουν τὸ βάθος τῆς ὑψηλῆς θεωρίας του νὰ ὑποδηλώνει μιὰ ἀποκατάσταση[50], παρακαλῶ νὰ μᾶς πεῖς γι' αὐτὸ ὅ,τι γνωρίζεις.

ΑΠΟΚΡΙΣΗ

Ἡ Ἐκκλησία γνωρίζει τρεῖς ἀποκαταστάσεις· μιὰ ἀποκατάσταση τοῦ καθενός μας ἀνάλογα μὲ τὴν ἀρετή του, ἀποκατάσταση ποὺ γίνεται ὅταν ἐκπληρώσει τὴν ἀρετὴ ποὺ τοῦ ἀναλογεῖ. Δεύτερη (ἀποκατάσταση γνωρίζει) τὴν ἀποκατάσταση ὅλης τῆς φύσης κατὰ τὴν ἀνάσταση στὴν ἀφθαρσία καὶ τὴν ἀθανασία. Τρίτη, αὐτὴ ποὺ κάνει ὑπερβολικὴ χρήση της στοὺς λόγους του ὁ Γρηγόριος Νύσσης, εἶναι ἡ ἑξῆς· ἡ ἀποκατάσταση στὴν ἀρχική της κατάσταση τῶν ψυχικῶν δυνάμεων ποὺ ὑπέπεσαν στὴν ἁμαρτία. Πρέπει δηλαδὴ ὅπως ἡ ὅλη φύση κατὰ τὴν ἀνάσταση θ' ἀπολαύσει τὴν ἀφθαρσία τῆς σάρκας σὲ χρόνο ποὺ ἐλπίζομε, ἔτσι καὶ οἱ παραστρατημένες δυνάμεις τῆς ψυχῆς στὸ μάκρος τῶν αἰώνων πρέπει ν' ἀποβάλουν τὶς μνῆμες τῆς κακίας ποὺ ἔχουν ἐναποτεθεῖ σ' αὐτὲς καὶ ἀφοῦ περάσουν ὅλους τοὺς αἰῶνες χωρὶς νὰ βρίσκουν στάση, νὰ ἔρθουν στὸ Θεό, ποὺ δὲν ἔχει πέρας, κι ἔτσι μὲ τὴν ἐπίγνωση, ὄχι μὲ τὴ μέθεξη τῶν ἀγαθῶν, ν' ἀναλάβουν τὶς δυνάμεις τους, ν' ἀποκατασταθοῦν στὴν ἀρχικὴ κατάστασή τους καὶ νὰ δειχθεῖ ὁ δημιουργὸς ἀνεύθυνος ὡς πρὸς τὴν ἁμαρτία.

ΕΡΩΤΗΣΗ 20

Τί σημαίνει ἡ ἱστορία ἡ σχετικὴ μὲ τὸν Βὴλ καὶ ποιός εἶναι ὁ Δανιὴλ καὶ ὁ βασιλιὰς Δαρεῖος ποὺ γνωρίζει ὅτι τὰ ἴχνη ἐκείνων ποὺ μπῆκαν εἶναι ἴχνη ἀνδρῶν καὶ γυναικῶν καὶ παιδιῶν[51];

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς ἄνθρωπος ἐν τῇ 'συγχύσει' τοῦ βίου γινόμενος –τοῦτο γὰρ ἡ Βαβυλὼν ἑρμηνεύεται– ναὸν τὴν ἑαυτοῦ ψυχὴν ποιεῖ τῷ Βήλ, τουτέστι τῷ διαβόλῳ, ἐν ᾧ εἰ γένηται ὁ Δανιήλ, τουτέστιν ὁ νόμος τοῦ Θεοῦ –'κρίσις γὰρ Θεοῦ' Δανιὴλ ἑρμηνεύεται–, διδάσκει τὸν Δαρεῖον, τουτέστι τὸν βασιλέα νοῦν, ὅτι τὰ ἴχνη τῶν ἐν τῷ ναῷ, τουτέστι τῆς ψυχῆς, περιπατούντων ἀνδρῶν εἰσι καὶ γυναικῶν καὶ παιδίων, τουτέστι θυμοῦ καὶ ἐπιθυμίας καὶ ἀγνοίας· ὅθεν ὁ βασιλεὺς νοῦς τοῦτο γινώσκων παραδίδωσι τῇ κρίσει, τῷ νόμῳ τοῦ Θεοῦ, εἰς τὸ πάντας ἄρδην ἀπολέσθαι. Ἡ δὲ πασθεῖσα κονία δηλοῖ τὴν ἄσκησιν καὶ τὴν ταπείνωσιν· διὰ τούτων γὰρ κατάδηλα γίνονται τῷ νῷ τὰ ἴχνη τῶν ἐν τῇ ψυχῇ διαθεόντων παθῶν.

ΕΡΩΤΗΣΙΣ 21

Πῶς δεῖ νοεῖν τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον «ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος»;

ΑΠΟΚΡΙΣΙΣ

«Ἀπαρχὴ Χριστὸς» διὰ τῆς ἀναστάσεως γέγονεν, «ἔπειτα οἱ τοῦ Χριστοῦ», οἱ εἰς αὐτὸν πιστεύσαντες, «εἶτα τὸ τέλος», πάντων τῶν ἐθνῶν ἡ διὰ πίστεως σωτηρία. Εἰ δὲ καὶ εἰς τὸν καθένα θέλεις ἐκλαβεῖν τὰ εἰρημένα, «ἀπαρχὴ Χριστός» ἐστιν ἡ εἰς αὐτὸν πίστις, «ἔπειτα οἱ τοῦ Χριστοῦ», τὰ ἔργα τῆς πίστεως, «εἶτα τὸ τέλος», τὸ χωρισθῆναι πάντων, αἰσθητῶν τε καὶ νοητῶν, καὶ διὰ γνώσεως κολληθῆναι τῷ Θεῷ. Τὸ δὲ «ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατός» ἐστιν ὅτ' ἂν καὶ αὐτοὶ τὸ αὐτεξούσιον θέλημα ἅπαν τῷ Θεῷ παραχωρήσωμεν· τότε καταργεῖται καὶ ὁ ἔσχατος ἐχθρός· θάνατος δὲ λέγεται ἐπειδὴ ἡ

52. Γεν. 11,9. 53. Α΄ Κορ. 25,23–24.
54. Α΄ Κορ. 15,23. 55. Α΄ Κορ. 15,24.

ΑΠΟΚΡΙΣΗ

Κάθε ἄνθρωπος ὅταν πέσει σὲ 'σύγχυση' τοῦ βίου του -αὐτὸ σημαίνει ἡ λέξη Βαβυλών[52]- κάνει τὴν ψυχή του ναὸ τοῦ Βήλ, δηλαδὴ τοῦ διαβόλου. Σ' αὐτὸν ὅταν μπεῖ ὁ Δανιήλ, δηλαδὴ ὁ νόμος τοῦ Θεοῦ, ἡ λέξη Δανιὴλ σημαίνει 'κρίση τοῦ Θεοῦ' -διδάσκει τὸ Δαρεῖο, δηλαδὴ τὸ βασιλιὰ νοῦ, ὅτι τὰ ἴχνη ὅσων περπατοῦν μέσα στὸ ναό, δηλαδὴ τὴν ψυχή, εἶναι ἴχνη ἀνδρῶν καὶ γυναικῶν καὶ παιδιῶν, δηλαδὴ θυμοῦ καὶ ἐπιθυμίας καὶ ἄγνοιας. Γι' αὐτὸ ὁ βασιλιὰς νοῦς ἐπειδὴ τὸ γνωρίζει αὐτὸ παραδίδει τὸν ἄνθρωπο στὴν κρίση, δηλαδὴ στὸ νόμο τοῦ Θεοῦ, γιὰ τέλεια ἀπώλεια ὅλων. Ἡ σκόνη ποὺ πασπαλίσθηκε δηλώνει τὴν ἄσκηση καὶ τὴν ταπείνωση. Μὲ αὐτὰ τὰ δύο γίνονται ὁλοφάνερα τὰ ἴχνη τῶν παθῶν ποὺ διατρέχουν τὴν ψυχή.

ΕΡΩΤΗΣΗ 21

Πῶς πρέπει νὰ ἐννοήσομε αὐτὸ ποὺ εἶπε ὁ Ἀπόστολος, «ἡ ἀπαρχὴ εἶναι ὁ Χριστός, ἔπειτα κατὰ τὴν παρουσία του ὅσοι εἶναι τοῦ Χριστοῦ, καὶ μετὰ ἔρχεται τὸ τέλος[53];

ΑΠΟΚΡΙΣΗ

Ἀπαρχὴ ἔγινε ὁ Χριστὸς μὲ τὴν ἀνάσταση[54], ἀκολουθοῦν ὅσοι εἶναι τοῦ Χριστοῦ, ὅσοι πίστεψαν σ' αὐτόν[55], κι ἔπειτα τὸ τέλος, ἡ σωτηρία ὅλων τῶν ἐθνῶν μέσω τῆς πίστης. Ἂν ὅμως θέλεις νὰ ἐκλάβεις τὰ παραπάνω γιὰ τὸν καθένα ἄνθρωπο, «ἀπαρχὴ Χριστὸς»[56] εἶναι ἡ πίστη σ' αὐτόν, «ἔπειτα οἱ τοῦ Χριστοῦ», εἶναι τὰ ἔργα τῆς πίστης, κι «ἔπειτα τὸ τέλος»[57], εἶναι ὁ χωρισμὸς ἀπὸ ὅλα αἰσθητὰ καὶ νοητὰ καὶ ἡ προσκόλληση μὲ τὴ γνώση στὸ Θεό. Τὸ «τελευταῖος ἐχθρὸς καταργεῖται ὁ θάνατος»[58] σημαίνει ὅταν κι ἐμεῖς παραχωρήσομε ὅλο τὸ αὐτεξούσιο θέλημά μας στὸ Θεό, τότε καταργεῖται καὶ ὁ ἔσχατος

56. Α' Κορ. 15,23. 57. Α' Κορ. 15,24.
58. Α' Κορ. 15,26.

ζωὴ ὁ Θεός ἐστιν, τὸ δὲ ἀντικείμενον τῇ ζωῇ εἰκότως λέγεται θάνατος.

ΕΡΩΤΗΣΙΣ 22

Τί σημαίνει τὸ τόξον ὅπερ ἔθετο ἐν τῇ νεφέλῃ ὁ Θεὸς εἰς διαθήκην πρὸς τὸ γένος τὸ ἀνθρώπινον;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ τὸ τόξον τετράχροόν ἐστι, δηλοῖ τὴν σάρκα τοῦ Κυρίου ἐκ τέσσάρων καθ' ἡμᾶς γενομένην στοιχείων καὶ μὴ ἔχουσαν αἰτίαν συστάσεως καθάπερ οὐδὲ τὸ τόξον. Ταύτην ἔθετο ἐν τῇ νεφέλῃ, τουτέστιν ἐν τῷ κόσμῳ· νεφέλη δὲ ὁ κόσμος διὰ τὴν ὀργὴν τοῦ Θεοῦ, ἤτοι τὸ ἐπιτίμιον τοῦ θανάτου· ποτὲ μὲν γὰρ ἐπὶ καλοῦ λαμβάνεται ἡ νεφέλη ὡς ἠπίως ἀρδεύουσα καὶ ὡς ἀπὸ καύσωνος σκιάζουσα, ποτὲ δὲ καὶ ἐπὶ ὀργῆς ὡς διὰ τὸ ραγδαῖον καὶ σφοδρὸν καταστρέφειν καὶ χαλαζοῦν. Κατὰ τοῦτο οὖν ἐν τῇ νεφέλῃ τίθεσθαι τὸ τόξον λέγει, τουτέστιν ἐν τῷ τῆς ὀργῆς κόσμῳ τὴν σάρκωσιν τοῦ Κυρίου, εἰς τὸ μηκέτι ἐκ τῶν τῆς κακίας ὑδάτων κατακλυσθῆναι τὸ ἀνθρώπινον γένος, τόξον δὲ διὰ τοῦτο, ἵνα γινώσκωμεν ὅτι ἡ πρὸς ἡμᾶς τοῦ Κυρίου καταλλαγὴ πόλεμός ἐστι τῶν ἡμετέρων ἐχθρῶν καὶ πολεμίων, ἢ καὶ ὁ τοῦ Κυρίου πρὸς τὸν ἐχθρὸν πόλεμος ἡμῖν γέγονεν καταλλαγή.

ΕΡΩΤΗΣΙΣ 23

Τίνος ἕνεκεν ἀπαγορεύει ὁ νόμος ἐσθίειν πᾶν αἷμα θηρίων καὶ τῶν λοιπῶν;

ΑΠΟΚΡΙΣΙΣ

Θηρία οὐ μόνον τὰ ἀτίθασα λέγει, ἀλλὰ καὶ τὰ ἥμερα τὰ

59. Γνε. 9,12–17.

ἐχθρός, ποὺ λέγεται θάνατος, ἐπειδὴ ὁ Θεὸς εἶναι ἡ ζωή· καὶ φυσικὰ τὸ ἀντίθετο τῆς ζωῆς λέγεται θάνατος.

ΕΡΩΤΗΣΗ 22

Τί σημαίνει τὸ τόξο ποὺ ἔβαλε στὴ νεφέλη ὁ Θεὸς ὡς συμβόλαιο πρὸς τὸ ἀνθρώπινο γένος[59];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ τὸ οὐράνιο τόξο ἔχει τέσσερα χρώματα, φανερώνει τὴ σάρκα τοῦ Κυρίου ποὺ ἔγινε ὅπως κι ἐμεῖς ἀπὸ τέσσερα στοιχεῖα καὶ ποὺ δὲν ἔχει ἡ σύστασή της αἰτία, ὅπως δὲν ἔχει οὔτε τὸ τόξο. Αὐτὴν τὴν ἔβαλε μέσα στὴ νεφέλη, δηλαδὴ μέσα στὸν κόσμο. Ὁ κόσμος εἶναι νεφέλη ἐξαιτίας τῆς ὀργῆς τοῦ Θεοῦ, εἶναι δηλαδὴ τὸ ἐπιτίμιο τοῦ θανάτου. Γιατὶ ἡ νεφέλη ἄλλοτε λαμβάνεται μὲ τὴν ἔννοια τοῦ καλοῦ, ἐπειδὴ ρίχνει βροχὴ ποὺ ποτίζει ἁπαλὰ καὶ κάνει ἴσκιο κατὰ τὸν καύσωνα· ἄλλοτε μὲ τὴν ἔννοια τῆς ὀργῆς, ἐπειδὴ μὲ τὴ ραγδαία ὁρμὴ καὶ σφοδρότητά της ρίχνει χαλάζι καὶ καταστρέφει. Μ' αὐτὴ τὴν ἔννοια λοιπὸν λέει ὅτι ἔβαλε τὸ τόξο στὴ νεφέλη, δηλαδὴ τὴ σάρκωση τοῦ Κυρίου μέσα στὸν κόσμο τῆς ὀργῆς, γιὰ νὰ μὴν καταβουλιάζει πιὰ τὸ ἀνθρώπινο γένος στὸν κατακλυσμὸ τῆς κακίας. Καὶ ἔβαλε τόξο γι' αὐτό, γιὰ νὰ γνωρίζομε ὅτι ἡ συμφιλίωση τοῦ Κυρίου μαζί μας εἶναι ὁ πόλεμος τῶν ἐχθρῶν καὶ ἀντιπάλων μας, ἢ καὶ ὁ πόλεμος τοῦ Κυρίου ἐναντίον τῶν ἐχθρῶν μας ὑπῆρξε συμφιλίωση γιὰ μᾶς μ' Αὐτόν.

ΕΡΩΤΗΣΗ 23

Γιὰ ποιό λόγο ἀπαγορεύει ὁ νόμος νὰ τρῶμε τὸ αἷμα τῶν ἄγριων θηρίων καὶ ὅλων τῶν ἄλλων[60];

ΑΠΟΚΡΙΣΗ

Θηρία δὲν ὀνομάζει μόνο τὰ ἀτιθάσευτα, ἀλλὰ καὶ τὰ ἥμε-

60. Λευιτ. 7,26· 17,12–14.

παρὰ τῷ νόμῳ ἀκάθαρτα, οἷον, ὄνον καὶ χοῖρον καὶ τὰ τοιαῦτα· εἰσὶ δὲ ταῦτα πάθη κακίας σφοδρότερα καὶ ἀνήμερα. Οὐ χρὴ οὖν πρὸς σύστασιν τῆς ἡμῶν κακίας τούτοις κεχρῆσθαι. Ἐπειδὴ δὲ τὸ αἷμα λαμβάνεται εἰς τὴν σύστασιν τῆς ζωῆς, πολλάκις δὲ καὶ εἰς τὸν θυμὸν διὰ τὸν φόνον, ὑποβάλλει νοεῖν ὅτι δεῖ τὴν πᾶσαν ἡμῶν ζωὴν ἔμπροσθεν τοῦ Θεοῦ τιθέναι καὶ μὴ ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ Θεῷ, καθά φησιν ὁ νόμος ὅτι «ἐκχέεις τὸ αἷμα ἔμπροσθεν τοῦ θυσιαστηρίου», ἢ καὶ τὸ θυμικὸν μὴ πρὸς ἰδίαν ἄμυναν ἢ πρὸς ἴδιον πάθος ἔχειν ὑπουργοῦντα, ἀλλ᾽ ἢ μόνον πρὸς τὸ ἀνδρείως καὶ εὐτόνως τοῦ Θεοῦ καὶ τῶν θείων ἀντέχεσθαι.

ΕΡΩΤΗΣΙΣ 24

Τί ἐστὶν κατὰ τὸν νόμον ὁ ταῦρος ὁ κερατιστὴς καὶ διατί ἄλογον ὢν φονεύεται;

ΑΠΟΚΡΙΣΙΣ

Ταῦρος κερατιστής ἐστιν ὁ παρὰ λόγον ζῆλον ὡς δῆθεν κατὰ Θεὸν κεκτημένος καὶ τούτῳ κεχρημένος πρὸς ἑτέρων ἄμυναν. Χρὴ οὖν τὸ τοιοῦτον πάθος ἀποκτέννειν, ἵνα μή, πολλοὺς πλῆξαν, φονεύσῃ καὶ συνκινδυνεῦσαι παρασκευάσῃ τὸν ἴδιον δεσπότην, τουτέστι τὴν ψυχήν.

ΕΡΩΤΗΣΙΣ 25

Τίς ὁ τοῦ Ἰωσὴφ ποικίλος χιτὼν καὶ τί σημαίνει ἡ κατὰ τὸ ἐνύπνιον ἔκβασις τῆς τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν προσκυνήσεως;

---

61. Β' Κορ. 5,15. Ρωμ. 6,10. Γαλ. 2,19.
62. Ἐξ. 29,12. Λευιτ. 1,5.

ρα, ποὺ ὁ νόμος ὁρίζει ὡς ἀκάθαρτα, γιὰ παράδειγμα τὸν ὄνο, τὸ χοῖρο καὶ τὰ ὅμοια. Αὐτὰ εἶναι πάθη τῆς κακίας σφοδρότερα καὶ ἀνήμερα. Δὲν πρέπει λοιπὸν νὰ παραδινόμαστε σ' αὐτά, γιατὶ λαμβάνει ὑπόσταση ἡ κακία μας. Κι ἐπειδὴ τὸ αἷμα χρησιμεύει στὴ διατήρηση τῆς ζωῆς καὶ πολλὲς φορὲς καὶ στὸ θυμὸ γιὰ νὰ γίνει φόνος, μᾶς ὑποβάλλει νὰ σκεφτοῦμε ὅτι πρέπει ὅλη μας τὴ ζωὴ νὰ τὴ θέτομε μπροστὰ στὸ Θεὸ καὶ νὰ μὴ ζοῦμε γιὰ τὸν ἑαυτό μας, ἀλλὰ γιὰ τὸ Θεό[61], ὅπως λέει καὶ ὁ νόμος «θὰ χύσεις τὸ αἷμα μπροστὰ στὸ θυσιαστήριο»[62]. Ἢ ἀκόμα νὰ μὴ βάζεις τὸ θυμικὸ νὰ ὑπηρετεῖ τὴν ἐπιθετικότητα ἢ τὸ πάθος σου, ἀλλὰ μονάχα νὰ καταγίνεσαι μὲ τὸ Θεὸ καὶ τὰ θεῖα γενναῖα καὶ ρωμαλέα.

ΕΡΩΤΗΣΗ 24

Τί εἶναι ὁ ταῦρος ποὺ σύμφωνα μὲ τὸ νόμο χτυπάει μὲ τὰ κέρατά του, καὶ γιατί, ἐνῶ εἶναι ἄλογο ζῶο, τὸν σκοτώνουν[63];

ΑΠΟΚΡΙΣΗ

Ταῦρος ποὺ χτυπᾶ μὲ τὰ κέρατά του εἶναι αὐτὸς ποὺ ἔχει παράλογο ζῆλο τάχα κατὰ Θεὸν καὶ τὸν χρησιμοποιεῖ γιὰ ν' ἀμυνθεῖ ἀπὸ τοὺς ἄλλους. Πρέπει λοιπὸν νὰ φονεύσομε τὸ πάθος αὐτό, γιὰ νὰ μὴ χτυπήσει πολλοὺς καὶ τοὺς σκοτώσει καὶ μαζὶ μ' αὐτοὺς βάλει σὲ κίνδυνο καὶ τὸν κύριό του, δηλαδὴ τὴν ψυχή.

ΕΡΩΤΗΣΗ 25

Ποιός εἶναι ὁ πολύχρωμος χιτώνας τοῦ Ἰωσὴφ[64] καὶ τί σημαίνει ἡ πράξη τῆς προσκύνησης στ' ὄνειρό του τοῦ πατέρα του καὶ τῶν ἀδελφῶν του[65];

---

63. Ἔξ. 21,28-36.
64. Γεν. 37,3.
65. Γεν. 37,9-10.

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς Ἰσραήλ, τουτέστι 'νοῦς ὁρῶν Θεόν', ποιεῖ τῷ ἰδίῳ υἱῷ τῷ Ἰωσήφ, τουτέστι τῷ κατὰ Θεὸν γεννωμένῳ, χιτῶνα ποικίλον, τουτέστι τὸν ἠθικὸν τρόπον ἐνδέει μετὰ τῆς ποικίλης τῶν ἀρετῶν διαφορᾶς. Τῷ τοιούτῳ οὖν –Ἰωσὴφ ἑρμηνεύεται δὲ 'πρόσθεσις'– προσκυνοῦσιν ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοί· παντὶ γὰρ προστιθέντι καὶ αὔξοντι τὰ τῆς ἀρετῆς καὶ γνώσεως μέτρα προσκυνοῦσιν ὁ φυσικὸς νόμος καὶ ἡ τιθηνοῦσα αἴσθησις, ὑποκύπτοντες μετὰ τῶν κατ' αὐτοὺς λόγων φυσικῶν καὶ αἰσθητικῶν. 'Αλλ' ἐπειδὴ καὶ εἰς τὸν Κύριον λαμβάνεται ὁ Ἰωσήφ, ποιεῖν εἰκότως λέγεται ὁ Θεὸς καὶ πατὴρ τῷ ἰδίῳ καὶ κατὰ φύσιν Υἱῷ χιτῶνα ποικίλον, ὅπερ δι' ἡμᾶς ἐξ ἡμῶν ἀνέλαβε σῶμα ταῖς θείαις ἀρεταῖς πεποικιλμένον, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον «σῶμα δὲ κατηρτίσω μοι», ὅπερ οἱ κατὰ σάρκα ἀδελφοὶ Ἰουδαῖοι ἐκδύσαντες τῷ αἵματι τοῦ πάθους ἐμόλυναν. Προσεκύνησαν δὲ αὐτῷ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ οἱ δώδεκα ἀδελφοί, τουτέστιν ὁ νόμος καὶ λατρεία καὶ οἱ ἐκ τῶν δώδεκα φυλῶν πιστεύσαντες.

ΕΡΩΤΗΣΙΣ 26

Τί σημαίνει ὁ στῦλος τῆς νεφέλης ὁδηγῶν τὴν ἡμέραν καὶ ὁ στῦλος τοῦ πυρὸς φτωτίζων τὴν νύκτα;

ΑΠΟΚΡΙΣΙΣ

Δι' ἀμφοτέρων ὁ τοῦ Θεοῦ λόγος σημαίνεται· τοῖς μὲν γὰρ διὰ τῆς πράξεως ὁδεύουσιν ἀναψύχων ἐκ τοῦ καύσωνος τῶν πειρασμῶν γίνεται «στῦλος νεφέλης», τοῖς δὲ διὰ τῆς γνώσεως ὁδεύουσιν φωτίζων καὶ τὴν ἀχλὺν τῆς ἀγνωσίας ἀνακαθαίρων γίνεται «στῦλος πυρός».

---

66. Ἐφ. 5,20. 67. Ψαλμ. 39,7.
68. Ἐξ. 13,21–22.

ΑΠΟΚΡΙΣΗ

Ὅλος ὁ Ἰσραήλ, δηλαδὴ ὁ νοῦς ποὺ βλέπει τὸ Θεό, κάνει στὸν ἴδιο του τὸν υἱὸ Ἰωσήφ, σ' αὐτὸν δηλαδὴ ποὺ γεννιέται μὲ τὴ χάρη τοῦ Θεοῦ, χιτώνα πολύχρωμο, δηλαδὴ πλέκει τὸν ἠθικὸ τρόπο μὲ τὴν ποικίλη διαφορὰ τῶν ἀρετῶν. Σ' αὐτὸν λοιπὸν -Ἰωσὴφ ἑρμηνεύεται 'πρόσθεση'- κάνουν τὴν προσκύνησή τους ὁ πατέρας, ἡ μητέρα καὶ οἱ ἀδελφοί του. Γιατὶ σὲ ὅποιον προσθέτει καὶ αὐξάνει τὰ μέτρα τῆς ἀρετῆς καὶ τῆς γνώσης προσφέρουν τὴν προσκύνησή τους ὁ φυσικὸς νόμος καὶ ἡ τροφὸς αἴσθηση ὑποκύπτοντας μαζὶ μὲ τοὺς φυσικοὺς καὶ αἰσθητικούς τους λόγους. Ἐπειδὴ ὅμως ὁ Ἰωσὴφ σημαίνει καὶ τὸν Κύριο, εἶναι φυσικὸ ποὺ λέγεται ὅτι «ὁ Θεὸς καὶ Πατέρας»[66] φτιάχνει γιὰ τὸν Υἱό του χιτώνα πολυποίκιλο, τὸ σῶμα ποὺ γιὰ χάρη μας πῆρε ἀπὸ μᾶς καταστολισμένο μὲ τὶς θεῖες ἀρετές, σύμφωνα μὲ τὸ λεγόμενο στοὺς Ψαλμούς, «μοῦ ἔφτιαξες σῶμα»[67], τὸ ὁποῖο, ἀφοῦ οἱ κατὰ σάρκα ἀδελφοί του Ἰουδαῖοι τοῦ ἀφαίρεσαν τὰ ἐνδύματα, μόλυναν μὲ τὸ αἷμα τοῦ πάθους. Τὸν προσκύνησαν ὁ πατέρας, ἡ μητέρα καὶ τὰ δώδεκα ἀδέλφια του, δηλαδὴ ὁ νόμος, ἡ λατρεία καὶ ὅσοι πίστεψαν ἀπὸ τὶς δώδεκα φυλές.

ΕΡΩΤΗΣΗ 26

Τί σημαίνει ὁ στύλος τῆς νεφέλης ποὺ τοὺς ὁδηγοῦσε τὴ μέρα καὶ ὁ πύρινος στύλος ποὺ φώτιζε τὴ νύχτα[68];

ΑΠΟΚΡΙΣΗ

Καὶ μὲ τὰ δύο σημαίνεται ὁ λόγος τοῦ Θεοῦ. Γι' αὐτοὺς δηλαδὴ ποὺ πορεύονται μέσω τῆς πράξης ἀνακουφίζοντάς τους ἀπὸ τὸν καύσωνα τῶν πειρασμῶν γίνεται «στύλος νεφέλης»[69], ἐνῶ γιὰ ὅσους ὁδεύουν μὲ τὴ γνώση φωτίζοντάς τους καὶ καθαίροντάς τους ἀπὸ τὴν ἀχλὺ τῆς ἀγνωσίας γίνεται «στύλος πυρός»[70].

69. Ἐξ. 13,4. 70. Ἐξ. 13,21.

ΕΡΩΤΗΣΙΣ 27

Τί σημαίνει τὸ μάννα καὶ τί τὸ ἐπόζειν τοῖς μὴ αὐτάρκως ἐκλέγουσιν;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ μάννα σημαίνει τὸν τοῦ Θεοῦ λόγον τὸν πᾶσιν διὰ πράξεως καὶ γνώσεως προσφυῶς ἁρμοζόμενον καὶ τὴν ψυχὴν τρέφοντα. Ὅτ' ἂν οὖν τις δεόντως καὶ κατὰ λόγον τούτῳ κέχρηται, τουτέστι τὴν μεσότητα τῶν ἀρετῶν μετέρχεται, φεύγων ἐφίσης τὰς τούτων ὑπερβολὰς καὶ ἐλλείψεις, οὗτος τὸ μάννα αὐτάρκως συλλέγει. Ὅτ' ἂν δὲ μὴ δεόντως, ἀλλὰ καθ' ὑπερβολὴν τῷ λόγῳ χρήσεται, οἷον –καλὸν γὰρ ἀπὸ μιᾶς ἀρετῆς σημᾶναι τὸ λεγόμενον– ὅτ' ἄν τις σωφροσύνην μετερχόμενος φύγῃ μὲν τὸ ἀκόλαστον, βδελυκτὸν δὲ τὸν γάμον κρινεῖ, ἤδη ἐπώζεσεν αὐτῷ ὁ λόγος τῆς σωφροσύνης τῇ τῆς ὑπερβολῆς ἀμετρίᾳ, καὶ οὐ μόνον ἐπώζεσεν, ἀλλὰ καὶ σκώληκας ἐξῆρψεν, τουτέστι πάθη ἕτερα γεννήσας.

ΕΡΩΤΗΣΙΣ 28

Τίς ὁ λόγος τῆς πλησσομένης καὶ ἀποβαλλούσης γυναικὸς καὶ ὅτι «ἐὰν ἐξέλθῃ τὸ παιδίον ἐξεικονισμένον, ψυχὴν ἀντὶ ψυχῆς» δοῦναι τὸν πλήξαντα ὁ νόμος διαγορεύει, εἰ δὲ ἀμόρφωτον ἐκπέσοι, ζημιοῖ μόνον;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὸ γράμμα οὕτω νοοῦμεν· ἐπειδὴ ὁ φόνος τοῦ σώματός ἐστιν –ψυχὴ γὰρ οὐδέποτε φονεύεται, ἀθάνατος οὖσα– διὰ τοῦτο τὸ μὴ ἐξεικονισμένον εἰς ἀνθρωπείαν μορφὴν οὐκ ἐπάγει τὸν κίνδυνον ἢ μόνον ὀλίγην ζημίαν· εἰ δὲ ἀπήρτισται ἡ ἀνθρωπεία εἰκών, φόνον εἰκότως τετελειωμένου ἀνθρώπου ὁ

71. Ἐξ. 16,20.
72. Ἐξ. 16,20.

ΕΡΩΤΗΣΗ 27

Τί σημαίνει τὸ μάννα καὶ τί τὸ βρόμισμά του γιὰ ὅσους μάζευαν περισσότερο ἀπὸ ὅσο χρειάζονταν[71];

ΑΠΟΚΡΙΣΗ

Τὸ μάννα σημαίνει τὸ λόγο τοῦ Θεοῦ ποὺ μὲ τὴν πράξη καὶ τὴ γνώση ἀπευθύνεται κατὰ ἁρμόζοντα τρόπο στὸν καθένα καὶ τρέφει τὴν ψυχή. Ὅταν λοιπὸν τὸν χρησιμοποιεῖ κάποιος ὅπως πρέπει καὶ κατὰ λόγο, τηρεῖ δηλαδὴ τὴ μεσότητα τῶν ἀρετῶν, ἀποφεύγοντας ἐξίσου τὴν ὑπερβολὴ καὶ τὴν ἔλλειψή τους, αὐτὸς συλλέγει τὸ μάννα σύμφωνα μὲ τὸ μέτρο τῆς ἀνάγκης του. Ὅταν δὲν χρησιμοποιήσει τὸ λόγο ὅσο πρέπει ἀλλὰ ὑπερβολικά, γιὰ παράδειγμα - εἶναι καλὸ νὰ δηλώσομε τὸ πράγμα ἀπὸ μιὰ ἀρετὴ - ὅταν ἀσκώντας κάποιος τὴ σωφροσύνη ἀποφύγει τὴν ἀκολασία καὶ κρίνει ἀποκρουστικὸ τὸ γάμο, ἤδη ἔχει βρομίσει σ' αὐτὸν ὁ λόγος τῆς σωφροσύνης ἀπὸ τὴν ἄμετρη ὑπερβολή, καὶ ὄχι βρόμισε μόνο, ἀλλὰ ἔβγαλε καὶ σκουλήκια[72], δηλαδὴ γέννησε κι ἄλλα πάθη.

ΕΡΩΤΗΣΗ 28

Ποιό εἶναι τὸ νόημα τῆς γυναίκας ποὺ τὴ χτυποῦν καὶ ἀποβάλλει καὶ τὸ ὅτι «ἂν βγεῖ τὸ παιδὶ σχηματισμένο», ὁ νόμος ὁρίζει νὰ δώσει αὐτὸς ποὺ ἔδωσε τὸ χτύπημα «ψυχὴ ἔναντι τῆς ψυχῆς», ἂν ὅμως τὸ παιδὶ πέσει ἀδιαμόρφωτο, θὰ καταβάλει μόνο ἀποζημίωση[73];

ΑΠΟΚΡΙΣΗ

Αὐτὸ εἶναι τὸ νόημα κατὰ γράμμα· ἐπειδὴ ὁ φόνος ἀφορᾶ τὸ σῶμα - γιατὶ ἡ ψυχὴ ποτὲ δὲ φονεύεται ἀφοῦ εἶναι ἀθάνατη - γι' αὐτὸ «ἐκεῖνο ποὺ δὲν ἔχει λάβει ἀκόμα τὴν ἀνθρώπινη μορφή»[74], δὲν ἐπιφέρει τὸν κίνδυνο τοῦ θανάτου ἀλλὰ λίγη μόνο ζημία. Ἂν ὅμως ἔχει ὁλοκληρωθεῖ ἡ ἀνθρώπινη μορφή, τιμω-

73. Ἐξ. 21,22-23. 74. Ἐξ. 21,22.

τοιοῦτος εἰσπράττεται. Κατὰ δὲ τὴν πνευματικὴν θεωρίαν τοῦτο ὑπολαμβάνομεν, ὅτι ὁ ψυχὴν ἐγκυμονήσασαν τὸν θεῖον λόγον καὶ μορφώσασαν διὰ τῆς ἕξεως τὸ σπέρμα τῆς ἀρετῆς σκανδαλίσας καὶ ποιήσας ἀποβάλλειν τὸ τοιοῦτον τῆς διδασκαλίας μόρφωμα, ἔνοχός ἐστι τοῦ θανάτου· ὁ δὲ σκανδαλίζων ψυχὴν τὸν σπόρον μὲν τοῦ λόγου δεξαμένην, μὴ μορφώσασαν δὲ τοῦτον δι' ἕξεως καὶ ἐνεργείας, ἐπιτιμίου ἄξιος.

ΕΡΩΤΗΣΙΣ 29

Τί σημαίνουσιν αἱ «ἓξ πόλεις τῶν φυγαδευτηρίων» καὶ διατί αἱ μὲν τρεῖς ἐδόθησαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, αἱ δὲ ἄλλαι τρεῖς ἔξω;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ἡ φυλὴ τοῦ Γὰδ διὰ τὸ πολλὰ κεκτῆσθαι κτήνη ἔξω τῆς γῆς τῆς ἐπαγγελίας ἔλαβε τὰς πόλεις, ἐκ τούτων ἀφιέρωσεν ὁ νόμος τρεῖς εἰς τὸ καταφεύγειν τὸν ἀκουσίως φονεύοντα, τὰς δὲ ἄλλας τρεῖς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Τοῦτο οὖν σημαίνεται κατὰ τὸν τῆς ἀναγωγῆς τρόπον· ἐπειδὴ τρεῖς τρόποι εἰσὶ καθ' οὓς ἀδιαθέτως ἁμαρτάνομεν, κατὰ τὴν πρᾶξιν τῆς τυραννίδος, ἐξ ἀπάτης καὶ ἐξ ἀγνοίας, δεῖ τὸν ἐν τούτοις ἐνεχόμενον, πρὶν τὸ παρεπόμενον πάθος καταδιῶξαν φονεύσῃ τὸν τοιοῦτον, ἐνδιαθέτως ποιοῦν ἁμαρτάνειν αὐτόν, φεύγειν, τὸν μὲν ἐκ τυραννίδος ἁμαρτάνοντα εἰς τὴν πόλιν τῆς ἐγκρατείας, τὸν δὲ ἐξ ἀπάτης εἰς τὴν πόλιν τῆς πείρας καὶ τῆς καλῆς πανουργίας, τὸν δὲ ἐξ ἀγνοίας εἰς τὴν πόλιν τῆς μαθήσεως. Ταῦτα δὲ ἀπενεμήθησαν τοῖς πρακτικοῖς διὰ τὸ εὔφορον καὶ πρὸς νομὴν

75. Ἀριθμ. 35,6,14.

ρεῖται φυσικὰ γιὰ φόνο ὁλοκληρωμένου ἀνθρώπου. Κατὰ τὴν πνευματικὴ ὅμως ἐξήγηση, ὑποθέτομε τὸ ἑξῆς· ὅποιος σκανδαλίσει μιὰ ψυχὴ ποὺ κυοφόρησε τὸ θεῖο λόγο καὶ διαμόρφωσε μὲ τὴν κυοφορία τὸ σπέρμα τῆς ἀρετῆς, ὅταν σκανδαλίσει καὶ κάνει ν' ἀποβληθεῖ αὐτὴ ἡ διαμορφωμένη διδασκαλία, εἶναι ἔνοχος τοῦ θανάτου, ἐνῶ ὅποιος σκανδαλίζει αὐτὸν ποὺ δέχτηκε τὸ σπόρο τοῦ λόγου, δὲν τοῦ ἔδωσε ὅμως συγκεκριμένη μορφὴ μὲ τὴν ἕξη καὶ τὴν πράξη, εἶναι ἄξιος νὰ δεχτεῖ ἐπιτίμιο.

ΕΡΩΤΗΣΗ 29

Τί θέλει νὰ πεῖ μὲ «τὶς ἕξι πόλεις-καταφύγια»[75] καὶ γιατί οἱ τρεῖς δόθηκαν μέσα στὴ γῆ τῆς ἐπαγγελίας καὶ οἱ ἄλλες τρεῖς ἔξω ἀπὸ αὐτήν;

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ἡ φυλὴ τοῦ Γὰδ γιὰ τὸ λόγο ὅτι εἶχε στὴν ἰδιοκτησία της πολλὰ ζῶα ἔλαβε τὶς πόλεις τὶς ἔξω ἀπὸ τὴ γῆ τῆς ἐπαγγελίας, ἀπὸ αὐτὲς ὁ νόμος καθιέρωσε[76] τρεῖς γιὰ νὰ βρίσκει καταφύγιο ὁ ἀκούσιος φονιὰς καὶ τὶς ἄλλες τρεῖς τὶς ἔδωσε στὴ γῆ τῆς ἐπαγγελίας[77]. Μὲ τὸ μεταφορικὸ τρόπο βγαίνει τὸ ἑξῆς νόημα. Ἐπειδὴ εἶναι τρεῖς οἱ τρόποι μὲ τοὺς ὁποίους ἁμαρτάνομε χωρὶς νὰ θέλομε, κατὰ τὴν ἄσκηση τυραννικῆς ἐξουσίας, ὅταν ἀπατηθοῦμε καὶ ἀπὸ ἄγνοια, πρέπει ὅποιος ἐμπίπτει σὲ κάποια ἀπὸ τὶς περιπτώσεις αὐτές, πρὶν τὸ πάθος ποὺ τὸν συνοδεύει καταδιώξει καὶ φονεύσει τὸν ἄνθρωπο αὐτὸν κάνοντάς τον ν' ἁμαρτάνει ἐνδιάθετα, νὰ καταφεύγει ὅποιος ἁμαρτάνει λόγω τυραννικῆς ἐξουσίας στὴν πόλη τῆς ἐγκράτειας, ὅποιος ἔχει ἀπατηθεῖ νὰ καταφεύγει στὴν πόλη τῆς ἐμπειρίας καὶ τῆς καλῆς πανουργίας, κι ὅποιος ἀπὸ ἄγνοια, στὴν πόλη τῆς μάθησης. Αὐτὰ ἀποδόθηκαν στοὺς πρακτικοὺς γιὰ τὴ γονιμότητα καὶ τὴν καταλληλότητά τους, γιὰ τὴ βοσκὴ

76. Ἀριθμ. 35,15.
77. Ἀριθμ. 35,15.

κτηνῶν ἐπιτήδειον· ἡ γὰρ πρακτικὴ καὶ ταῖς ἀρεταῖς ἐστιν εὔφορος καὶ τῶν κτηνωδεστέρων ποιμαντική.

Αἱ δὲ ἔσω πόλεις ἀπενεμήθησαν τοῖς γνωστικοῖς· ἐπειδὴ γὰρ ἐν τρισὶ καταγίνεται ὁ γνωστικός, ἔν τε ἠθικῇ, φυσικῇ καὶ θεολογικῇ γνώσει, δεῖ τὸν ἀκουσίως φόνον ἐργαζόμενον, τουτέστιν ἀπείρως ἐπιβάλλοντα, ἐν μὲν τῇ ἠθικῇ διδασκαλίᾳ θυμὸν καὶ ἐπιθυμίαν παρὰ λόγον κινοῦντα εἰς τὴν πόλιν τῆς πρᾳότητος καταφεύγειν –τέλος γὰρ ἠθικῆς φιλοσοφίας ἡ πρᾳότης ἐστίν–, τὸν δὲ εἰς τὴν φυσικὴν θεωρίαν σφαλλόμενον καὶ ἀνεπιστημόνως ἐπιβάλλοντα, εἰς τὴν πόλιν τῆς ἐπιστήμης καταφεύγειν· τὸν δὲ εἰς τὴν θεολογίαν σφαλλόμενον δεῖ καταφεύγειν εἰς τὴν πόλιν τῆς πίστεως, μήπως τὸ παρεπόμενον τῆς ἀγνοίας πάθος καταλαβεῖν ἐξισχύσει καὶ ἀπολέσῃ τὸν μέτοχον αὐτοῦ.

Τί δέ ἐστι τὸ «ἕως οὗ ὁ μέγας ἱερεὺς ἀποθάνῃ», μένειν δεῖ τὸν τοιοῦτον καὶ τότε εἰς τὴν ἔγκτητον αὐτοῦ γῆν ἐπανέρχεσθαι, ἀκόλουθον θεωρῆσαι. «Ἱερεὺς μέγας» ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὅτ' ἂν οὖν εἰς τελείαν ἀπάθειαν ἔλθωμεν καὶ μηκέτι προσάγωμεν αὐτῷ τι τῶν τοῦ κόσμου τούτου, εἴτε λόγους εἴτε νοήματα, καὶ ἁπλῶς ὅτ' ἂν ὑπὲρ αἴσθησιν καὶ ἔννοιαν γενώμεθα καὶ «μηκέτι Χριστὸν κατὰ σάρκα γινώσκομεν», τότε ἀπέθανεν ἡμῖν ὁ μέγας ἱερεύς, μηκέτι παρ' ἡμῶν ἔκ τινος τῶν γεγονότων λατρείαν δεχόμενος· καὶ λοιπὸν εἰς τὴν ἔγκτητον ἡμῶν γῆν ἀποκαθιστάμεθα, τουτέστι τὴν ἐν αὐτῷ τῷ Θεῷ, ἐν ᾧ οἱ τῶν ἀρετῶν λόγοι εἰσίν.

ΕΡΩΤΗΣΙΣ 30

Τίνες αἱ ῥάβδοι ἃς ὁ Ἰακὼβ λεπίσας ἔθηκεν εἰς τὰ πο-

---

78. Ἀριθμ. 35,25,28.

τῶν ζώων· γιατὶ ἡ πρακτικὴ ζωὴ εἶναι καὶ στὶς ἀρετὲς εὔφορη καὶ ποιμαίνει τὶς πιὸ κτηνώδεις.

Οἱ μέσα στὴ γῆ τῆς ἐπαγγελίας πόλεις ἀποδόθηκαν στὴ γνωστική. Ἐπειδὴ δηλαδὴ ὁ γνωστικὸς καταγίνεται μὲ τρία πράγματα, μὲ τὴν ἠθική, τὴ φυσικὴ καὶ τὴ θεολογικὴ γνώση, πρέπει αὐτὸς ποὺ διαπράττει ἀκούσια φόνο, ποὺ τὸν ἐπιχειρεῖ δηλαδὴ ἀγνοώντας, ὅταν ἀνακινεῖ παράλογα κατὰ τὴν ἠθικὴ διδασκαλία τὸ θυμὸ καὶ τὴν ἐπιθυμία, νὰ καταφεύγει στὴν πόλη τῆς πραότητας – γιατὶ τέλος τῆς ἠθικῆς φιλοσοφίας εἶναι ἡ πραότητα –, ὅποιος σφάλλει στὴ φυσικὴ θεωρία καὶ ἐργάζεται χωρὶς ἐπιστήμη πρέπει νὰ βρίσκει καταφύγιο στὴν πόλη τῆς ἐπιστήμης, καὶ ὅποιος κάνει σφάλμα στὴ θεολογία πρέπει νὰ καταφεύγει στην πόλη τῆς πίστης, μὴ τυχὸν τὸ πάθος τῆς ἄγνοιας ποὺ συνοδεύει βρεῖ τὴ δυνατότητα νὰ κυριέψει τὸν μέτοχό του καὶ νὰ τὸν ὁδηγήσει στὴν ἀπώλεια.

Ἀλλὰ πρέπει νὰ ἐξετάσομε τί σημαίνει τὸ «ὥσπου νὰ πεθάνει ὁ μέγας ἱερέας πρέπει αὐτὸς νὰ παραμένει ἐκεῖ καὶ τότε νὰ ἐπανέρχεται στὴ γῆ ποὺ ἔχει ἀποκτήσει δική του»[78]. Μέγας ἱερέας εἶναι ὁ Κύριός μας Ἰησοῦς Χριστός. Ὅταν λοιπὸν φτάσομε στὴν τέλεια ἀπάθεια καὶ δὲν τοῦ προσφέρομε κάτι ἀπὸ τὸν κόσμο αὐτόν, εἴτε λόγους εἴτε σκέψεις, καὶ ἁπλῶς ὅταν ξεπεράσομε τὴν αἴσθηση καὶ τὴ νόηση καὶ δὲν γνωρίζομε πιὰ τὸ Χριστὸ κατὰ σάρκα[79], τότε πέθανε γιὰ μᾶς ὁ μέγας ἱερέας καὶ δὲν δέχεται πιὰ λατρεία ἀπὸ μέρος μας ἀπὸ κάποιον ἀπὸ τοὺς ἀνθρώπους. Καὶ τότε τέλος γίνεται ἡ ἀποκατάστασή μας στὴ γῆ τὴ δική μας, δηλαδὴ τὴ γῆ ποὺ εἶναι μέσα στὸν ἴδιο τὸ Θεό, μέσα στὸν ὁποῖο εἶναι οἱ λόγοι τῶν ἀρετῶν.

ΕΡΩΤΗΣΗ 30

Τί σημαίνουν τὰ ραβδιὰ ποὺ καθάρισε ὁ Ἰακὼβ κι ἔβαλε μέσα στὰ ποτιστήρια[80], τί ἡ Ραχὴλ ποὺ ἔκλεψε τὰ

79. Β′ Κορ. 5,16.
80. Γεν. 30,37,38.

τιστήρια, καὶ τίς ἡ Ραχὴλ ἡ τὰ εἴδωλα κλέψασα, καὶ τίς ἡ τερέβινθος ἐν ᾗ ταῦτα ὁ Ἰακὼβ κατέκρυψεν;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς Ἰακώβ, τουτέστι 'πτερνιστής', λεπίζει τὰς ῥάβδους, τουτέστι τοὺς λόγους τῶν ὄντων, καθαροὺς ποιῶν τῶν ἐπικειμένων αὐτοῖς ὑλικῶν σχημάτων τίθησιν ἐν τοῖς ποτιστηρίοις, τουτέστιν ἐν τῇ ἕξει τῆς γνώσεως, ἵνα οἱ δίκην προβάτων μαθητευόμενοι τῇ μαθήσει ἐν αὐτῇ ἐνκισσῶντες ἀποτυπῶνται πρὸς τὴν αὐτῆς μίμησιν. Πᾶσα οὖν ψυχὴ μαθητευθεῖσα οὕτω κλέπτει τὰ εἴδωλα τοῦ ἰδίου πατρὸς τοῦ κακῶς αὐτὴν πρότερον τῇ κακίᾳ γεννήσαντος. Εἰσὶ δὲ τὰ εἴδωλα μὴ ἐνόντα φυσικῶς τοῖς ὁρωμένοις, ἀλλ' «ἐκ τοῦ κακοῦ πατρὸς τοῦ διαβόλου» εἰδωλοποιούμενα πρὸς ἀπάτην σχήματα, ἅπερ κλέπτει καλῶς ὁ κατὰ τὸν Ἀπόστολον πάντα «αἰχμαλωτίζων εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ». Κρύπτει δὲ ταῦτα ἐν τοῖς σάγμασι τῶν καμήλων· κάμηλον ἐνταῦθα τὸ σῶμα λάβε διὰ τὸ σκολιὸν καὶ ὅτι διόλου τὰ ἴχνη τῶν ποδῶν τῇ γῇ ἐντυποῦσα ἡ κάμηλος τὸ ἐκ τῆς παραβάσεως γενόμενον σκολιὸν καὶ ἐμπαθὲς ἡμῶν δηλοῖ σῶμα· σάγματα δέ εἰσιν οἱ διάφοροι τῆς ἀσκήσεως τρόποι, οἷς ἐπικαθημένη ἡ ψυχὴ διαφεύγει τὸν ἐρευνῶντα τῆς κακίας πατέρα καὶ ζητοῦντα τὰ πρὸς ἐξαπάτην ἐπινοηθέντα αὐτῷ εἴδωλα, ἅπερ διὰ τῆς ὑψηλῆς περὶ αὐτῶν ἀναγωγῆς καὶ θεωρίας καλῶς ἐξ αὐτοῦ ἀποσπάσασα κατέκρυψεν ἐν τοῖς πιέζουσιν τὸ σῶμα ἡμῶν τῆς ἐγκρατείας σάγμασιν. Ὅτ' ἂν δὲ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἔλθῃ, τουτέστιν εἰς τὴν τελείαν γνῶσιν, τότε κελεύεται καὶ ταῦτα περιελέσθαι, τουτέστι τὰ κλαπέντα καλῶς πρὸς ἡμετέραν ἀναγωγήν, εἴτε ἠθικωτέρους τρόπους ὥσπερ ἱμάτιον, εἴτε τοὺς φυσικοὺς λόγους ἐξ αὐτῶν ἐνωτιζομένους ὥσπερ ἐνώτια. Ταῦτα γὰρ ὁ διορατικὸς νοῦς λαβὼν ἐν τῇ τερεβίνθῳ κατέκρυψε, τουτέστιν ἐν τῷ μυστηρίῳ τοῦ σταυροῦ· πᾶσα γὰρ

81. Γεν. 31,19. 82. Γεν. 13,4.

εἴδωλα[81], καὶ τί εἶναι ἡ τεράβινθος ὅπου τὰ ἔκρυψε αὐτὰ ὁ Ἰακώβ[82];

ΑΠΟΚΡΙΣΗ

Κάθε Ἰακώβ, δηλαδὴ 'πτερνιστής', καθαρίζει τὰ ραβδιά, δηλαδὴ τοὺς λόγους τῶν ὄντων, καὶ ἀπαλλάσσοντάς τους ἀπὸ τὶς ὑλικὲς παραμαρφώσεις ποὺ ἔχουν δεχτεῖ τοὺς βάζει στὰ ποτιστήρια, δηλαδὴ στὴν ἀπόκτηση τῆς γνώσης, ὥστε, ὅσοι διδάσκονται ὅμοια μὲ τὰ πρόβατα, κυοφορώντας μὲ τὴν ἐκμάθηση αὐτή, νὰ διαμορφώνονται σὲ ἀπομιμήματά της. Κάθε ψυχὴ λοιπὸν ποὺ θὰ διδαχτεῖ ἔτσι κλέβει τὰ εἴδωλα τοῦ πατέρα της ποὺ τὴ γέννησε πρωτύτερα μέσα στὴν κακία. Τὰ εἴδωλα δὲν ἔχουν φυσικὴ ὕπαρξη μέσα σ' ὅ,τι βλέπομε, ἀλλὰ εἶναι σχήματα ποὺ παίρνουν ὄψη εἰδώλου «ἀπὸ τὸν κακὸ πατέρα τους διάβολο»[83] γιὰ ἐξαπάτηση, ποὺ καλῶς τὰ κλέβει αὐτὸς ποὺ κατὰ τὸν Ἀπόστολο τὰ «αἰχμαλωτίζει ὅλα γιὰ νὰ ὑπακούσουν στὸ Χριστό»[84], καὶ τὰ κρύβει στὰ σάγματα τῶν καμήλων· ὡς κάμηλο ἐδῶ νὰ ἐννοήσεις τὸ σῶμα γιὰ τὶς ἀνωμαλίες του καὶ ὅτι μὲ τὰ βαθιὰ ἀποτυπώματα τῶν ποδιῶν της στὸ ἔδαφος ἡ καμήλα δηλώνει τὸ σῶμα μας ποὺ ἡ παράβαση τὸ ἔκανε ὅλο ἀνωμαλίες καὶ πάθη. Σάγματα πάλι εἶναι οἱ διάφοροι τρόποι τῆς ἄσκησης, ὅπου καθισμένη ἡ ψυχὴ ξεφεύγει ἀπὸ τὸν πατέρα τῆς κακίας ποὺ ψάχνει κι ἀναζητεῖ τὰ εἴδωλα ποὺ ἐπινόησε γιὰ νὰ ἐξαπατᾶ. Αὐτὰ μὲ τὴν ὑψηλὴ ἐξήγηση καὶ θεωρία ἀποσπώντας τα ὀρθὰ ἀπὸ αὐτὸν τὰ ἔκρυψε μέσα στὰ σάγματα τῆς ἐγκράτειας ποὺ πιέζουν τὸ σῶμα μας. Ὅταν ὅμως φτάσει στὴ γῆ τῆς ἐπαγγελίας, στὴν τέλεια δηλαδὴ γνώση, τότε παίρνει ἐντολὴ νὰ τὰ ἀφαιρέσει κι αὐτὰ σὰν φόρεμα, ὅσα δηλαδὴ ἔχουν κλαπεῖ καλῶς γιὰ τὴν ἐξύψωσή μας, εἴτε αὐτὰ εἶναι τρόποι ἠθικότεροι σὰν φόρεμα, εἴτε φυσικοὶ λόγοι ποὺ σὰν ἐνώτια κρέμονται ἀπὸ τ' αὐτιά τους. Αὐτὰ δηλαδὴ ὁ διορατικὸς νοῦς παίρνοντάς τα τὰ ἔκρυψε μέσα στὴν τερέβινθο, δηλαδὴ στὸ μυστήριο τοῦ σταυροῦ. Γιατὶ κάθε

83. Ἰω. 8,44.
84. Β' Κορ. 10,5.

πρᾶξις καὶ γνῶσις ἐν αὐτῷ ἐνκέκρυπται. Τερεβίνθῳ δὲ ὁ σταυρὸς παρεικάζεται, ἐπειδὴ ἐν μὲν τῷ χειμῶνι ἀτερπές ἐστι πάνυ τὸ δένδρον, ἐν δὲ τῷ ἔαρι εὐωδέστατον πάνυ καὶ τερπνότατον· οὕτω καὶ ὁ σταυρὸς τοῦ Κυρίου ἐν μὲν τῷ παρόντι βίῳ ἐξουδενώσεως δοκεῖ ἔχειν εἶδος, ἐν δὲ τῷ μέλλοντι πολλῆς εὐωδίας καὶ δόξης ἐκπέμπει εὐπρέπειαν.

ΕΡΩΤΗΣΙΣ 31

Τί σημαίνει ἡ κατὰ τὸν Ἰούδαν καὶ τὴν Θάμαρ ἱστορία;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐκ φυλῆς Ἰούδα τὸ «κατὰ σάρκα» γενόμενος καὶ ἐν τῇ ὁδῷ τοῦ βίου ἐλθὼν τῇ πρὸς «τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ», ηὗρεν ἐν τῇ ὁδῷ τῆς πλάνης τὴν ἐκπορνεύσασαν «ὀπίσω θεῶν ἑτέρων» τῶν ἐθνῶν Ἐκκλησίαν καὶ συναφθεὶς παρέσχετο αὐτῇ ῥάβδον καὶ ὁρμίσκον καὶ δακτύλιον, τουτέστι τὴν διὰ σταυροῦ νέκρωσιν καὶ τὴν περὶ τῶν ὄντων εὐσεβῆ δόξαν καὶ τὴν τοῦ Πνεύματος χάριν, καὶ ἁπλῶς εἰπεῖν πρακτικήν, φυσικὴν καὶ θεολογικὴν γνῶσιν.

ΕΡΩΤΗΣΙΣ 32

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας περὶ τοῦ Ναβουθὲ καὶ τοῦ Ἀχαάβ.

ΑΠΟΚΡΙΣΙΣ

Εἰς Χριστὸν ἀναφέρεται τὰ κατὰ τὸν Ναβουθέ· ἀμπελὼν δὲ ὁ Ἰσραὴλ κατὰ τὸν Ἠσαΐαν· ὁ δὲ Ἀχαὰβ εἰς τύπον τῶν τοῦ Ἰσραὴλ ἡγουμένων, οἵτινες ἤθελον ἔχειν αὐτὸν «εἰς κῆπον λαχάνων», ποτίζοντες αὐτὸν ἀνατροπὴν θολεράν· τὸν δὲ Χριστὸν

---

85. Γεν. 38. 86. Ρωμ. 9,5. 87. Ματθ. 15,24.
88. Κριτ.. 2,17. Δευτ. 31,16. 89. Γεν. 18,18.

πράξη καὶ γνώση εἶναι κρυμμένη μέσα σ' αὐτόν. Μὲ τερέβινθο παρομοιάζεται ὁ σταυρός, γιατὶ ἡ τερέβινθος τὸ χειμώνα εἶναι ἕνα ἄχαρο δέντρο, ἐνῶ τὴν ἄνοιξη μοσχοβολᾶ κι εὐχαριστεῖ. Ἔτσι καὶ ὁ σταυρὸς τοῦ Κυρίου στὴν παρούσα ζωὴ ἔχει ὅπως τὸν βλέπομε μιὰ μορφὴ ἐξουδενωμένη, ἐνῶ στὴ μέλλουσα ἀκτινοβολεῖ τὴν ὀμορφιὰ πολλῆς εὐωδιᾶς καὶ πολλῆς δόξας.

ΕΡΩΤΗΣΗ 31

Τί σημαίνει ἡ ἱστορία τοῦ Ἰούδα καὶ τῆς Θάμαρ[85];

ΑΠΟΚΡΙΣΗ

Ὁ Κύριός μας Ἰησοῦς Χριστὸς προῆλθε κατὰ σάρκα ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα[86], στὴν πορεία ὅμως τῆς ζωῆς του «πρὸς τὰ πρόβατα τοῦ Ἰσραηλιτικοῦ ἔθνους ποὺ εἶχαν χαθεῖ»[87], βρῆκε στὸ δρόμο τῆς πλάνης τὴν Ἐκκλησία ποὺ ἐκπόρνευσε ἀκολουθώντας «τοὺς θεοὺς ἄλλων ἐθνῶν»[88] κι ἀφοῦ ἑνώθηκε μαζί της τῆς ἔδωσε ραβδὶ κι ὁρμίσκο καὶ δαχτυλίδι[89], δηλαδὴ τὴ θανάτωση μὲ τὸ σταυρὸ καὶ τὴν εὐσεβὴ ἰδέα γιὰ τὸ ὄντα καὶ τὴ χάρη τοῦ Πνεύματος καὶ ἁπλούστερα τὴν πρακτική, τὴ φυσικὴ καὶ τὴ θεολογικὴ γνώση.

ΕΡΩΤΗΣΗ 32

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας[90] σχετικὰ μὲ τὸν Ναβουθὲ καὶ τὸν Ἀχαάβ[91].

ΑΠΟΚΡΙΣΗ

Τὰ σχετικὰ μὲ τὸν Ναβουθὲ ἀναφέρονται στὸ Χριστό· κατὰ τὸν Ἡσαΐα ἀμπελώνας εἶναι ὁ Ἰσραήλ. Ὁ Ἀχαὰβ δίνει τὸ παράδειγμα τῶν ἡγετῶν τοῦ Ἰσραήλ, ποὺ ἤθελαν νὰ τὸν ἔχουν ὡς λαχανόκηπο[92], ποτίζοντάς τον ἕνα ἀνακάτωμα θολό[93]. Ὁ Χριστὸς ὅμως ποὺ ἐκπροσωπεῖται ἀπὸ τὸν Ναβουθὲ δὲ θέλησε

90. Κυρίλλου Ἀλεξανδρείας, *Ἑρμηνεία εἰς Γ' Βασ.*, PG 69,692B13–C11.
91. Γ' Βασ. 20,1–13. 92. Γ' Βασ. 20,2. 93. Ἀββακ. 2,15.

πρόσωπον ἐπέχοντα τοῦ Ναβουθὲ μὴ θελῆσαι αὐτὸν δοῦναι ὡς πατρῴαν κληρονομίαν· ὅθεν τὴν νοητὴν Ἰεζάβελ, τουτέστι τὴν συναγωγήν, συκοφαντούμενον ἀναιρεῖν αὐτόν.

ΕΡΩΤΗΣΙΣ 33

Εἰς πρόσωπον τίνος λαμβάνεται ὁ Ἰεφθάε καὶ ἡ τούτου θυγάτηρ;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν Ἰεφθάε εἰς τὸ πρόσωπον τοῦ Κυρίου, ἡ δὲ τούτου θυγάτηρ εἰς τὴν αὐτοῦ παντάχραντον σάρκα. Ὥσπερ γὰρ ὁ Ἰεφθάε ἐκ πόρνης ἦν γεγεννημένος καὶ ἀπὸ τῶν ἰδίων ἐξεδιώχθη καὶ ἐξελθὼν ἐπολέμησε καὶ ἐνίκησε τοὺς ὑπεναντίους, ὑποσχόμενος τῷ Θεῷ τὸν ὑπαντῶντα αὐτῷ ἐκ τῶν οἰκείων αὐτοῦ προσάγειν εἰς θυσίαν, οὕτω καὶ ὁ Κύριος ἐκ τῆς ἐκπορνευσάσης ἡμῶν φύσεως τὸ «κατὰ σάρκα» ἀναμαρτήτως προελθὼν καὶ τῆς οἰκείας σαρκὸς γενόμενος σπορεύς, ἐκδιωχθείς τε ὑπὸ τῶν δοκούντων ἰδίων εἶναι Ἰουδαίων καὶ τὸν ὑπὲρ ἡμῶν πόλεμον νικήσας, προσήγαγε τὴν οἰκείαν αὐτοῦ σάρκα τῷ Θεῷ καὶ Πατρί· Ἰεφθάε γὰρ ἑρμηνεύεται 'ἄνοιξις Θεοῦ'.

ΕΡΩΤΗΣΙΣ 34

Τί δηλοῖ τὸ τῶν Παροιμιῶν τὸ «ἐν ὀκνηρίαις ταπεινωθήσεται δόκωσις καὶ ἐν ἀργίᾳ χειρῶν στάξει οἰκία»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ δόκωσις λαμβάνεται εἰς τὰς φυσικὰς τῆς ψυχῆς δυνάμεις· ὥσπερ γὰρ αἱ δοκοὶ ἀμελούμεναι καὶ διὰ τοῦ ἐπικειμένου βάρους καμπτόμεναι καταπίπτουσιν, οὕτω καὶ αἱ φυσικαὶ τῆς

---

94. Κριτ. 11,1-2. 95. Κριτ. 11,1. 96. Κριτ. 11,2.
97. Τελικὰ ἦταν ἡ κόρη του. 98. Κριτ. 11,1-2 καὶ 11,33.

νὰ τὸν δώσει, ἐπειδὴ ἦταν κληρονομιὰ ἀπὸ τὸν πατέρα του. Γι' αὐτὸ ἡ νοητὴ Ἰεζάβελ, δηλαδὴ ἡ συναγωγή, τὸν συκοφάντησε καὶ τὸν σκότωσε.

ΕΡΩΤΗΣΗ 33

Ποιοὺς ἀντιπροσωπεύουν ὁ Ἰεφθάε καὶ ἡ θυγατέρα του[94];

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἰεφθάε ἀντιπροσωπεύει τὸν Κύριο, ἐνῶ ἡ θυγατέρα του τὴν πανάχραντη σάρκα του. Ὅπως δηλαδὴ ὁ Ἰεφθάε εἶχε γεννηθεῖ ἀπὸ πόρνη[95] καὶ ἦταν ἀποδιωγμένος ἀπὸ τοὺς δικούς του, βγῆκε ὅμως, πολέμησε καὶ νίκησε τοὺς ἐχθρούς[96], δίνοντας ὑπόσχεση στὸ Θεὸ ὅτι θὰ τοῦ προσφέρει θυσία ὅποιον ἀπὸ τὴν οἰκογενειά του[97] θὰ συναντοῦσε[98], ἔτσι καὶ ὁ Κύριος, ἀφοῦ προῆλθε κατὰ σάρκα ἀπὸ τὴν φύση μας ποὺ εἶχε πορνεύσει, χωρὶς ὅμως ἁμαρτία[99], κι ἀφοῦ ἔγινε σπορέας τῆς σάρκας του κι ἀφοῦ ἐκδιώχθηκε ἀπὸ τοὺς Ἰουδαίους ποὺ θεωροῦνταν δικοί του[1] κι ἀφοῦ νίκησε στὸν πόλεμο γιὰ χάρη μας, πρόσφερε τὴν ἴδια του τὴ σάρκα στὸ Θεὸ καὶ Πατέρα του[2]. Γιατὶ τὸ ὄνομα Ἰεφθάε ἑρμηνεύεται 'ἄνοιξη Θεοῦ'.

ΕΡΩΤΗΣΗ 34

Τί σημαίνει τὸ τῶν Παροιμιῶν «ἀπὸ τὴν ὀκνηρία θὰ πέσει ἡ ξύλινη στέγη καὶ ὅταν δὲν ἐργαστοῦν τὰ χέρια τὸ σπίτι θὰ στάξει»[3];

ΑΠΟΚΡΙΣΗ

Ἡ ξύλινη στέγη χρησιμοποιεῖται γιὰ τὶς φυσικὲς δυνάμεις τῆς ψυχῆς. Ὅπως δηλαδὴ ὅταν παραμελήσομε τὰ δοκάρια τῆς στέγης λυγίζουν καὶ πέφτουν ἀπὸ τὸ βάρος ποὺ σηκώνουν, ἔτσι

---

99. Ρωμ. 9,5. 1. Ἰω. 1,11.
2. Ἐφ. 5,20. 3. Ἐκκλ. 10,18.

ψυχῆς δυνάμεις, μὴ ἐπιμελούμεναι διὰ τῆς μελέτης τῶν θείων λογίων, τῷ βάρει τῶν ἑκουσίων καὶ ἀκουσίων πειρασμῶν καμπτόμεναι πρὸς τὰ αἰσθητὰ καταπίπτουσιν. «Ἐν ἀργίᾳ δὲ χειρῶν στάζει οἰκία», ὅτ' ἂν ἡ ψυχὴ ἀπραξίαν ἀγαθῶν ἔχουσα, διὰ τῶν αἰσθήσεων τὰς τῶν ὑλικῶν φαντασίας σταλαγμῶν δίκην εἰσδεχομένη τὴν ἐνοικοῦσαν χάριν ἀποδιώκει.

ΕΡΩΤΗΣΙΣ 35

Τί δηλοῖ ὁ ἐν Κανᾷ γάμος καὶ τί τὰ ἐν αὐτῷ τελεσθέντα μυστήρια;

ΑΠΟΚΡΙΣΙΣ

Κανὰ ἑρμηνεύεται 'κτῆσις', Γαλιλαία δὲ 'ἀποκάλυψις'· πᾶς οὖν νοῦς ἕξιν ἀποκαλυπτικὴν ἔχων τῶν θείων, ἐν τῷ συνάπτεσθαι τῇ ἀρετῇ ᾗ καὶ τῇ αἰσθήσει δέεται τῆς τοῦ λόγου μεσιτείας, ἵνα, ἡ μὲν ἀρετὴ τῇ γνώσει συναφθεῖσα τοῦ νοῦ, σύμφωνος γένηται πρὸς αὐτόν, ἡ δὲ αἴσθησις ὑποκύπτουσα ὑπὸ τὴν ἐξουσίαν τοῦ νοῦ γένηται, τοῦ φυσικῶς αὐτὴν τάττοντος. Ἐπειδὴ δὲ ἡ γνωστικὴ ἕξις διὰ τῆς καθ' ἡδονὴν διαχύσεως ἐκ τῆς γενομένης παρακοῆς ὑδαρώθη, ἦλθεν ὁ Λόγος ἐπανάγων εἰς γῆν τὴν ἐξαρχῆς στερρότητα. Ἡ δὲ αἰτοῦσα μήτηρ ἐστὶν ἡ πίστις ᾗ καὶ ἡ ταπείνωσις ᾗ καὶ ἡ ἐπιστημονικὴ σοφία· ἑκάστη γὰρ τούτων τίκτειν πέφυκε τὴν ἐν ἀνθρώποις ἄκραν θεοειδῆ ἕξιν.

Τὸ δὲ «οὔπω ἥκει ἡ ὥρα μου» δηλοῖ, ἐπειδὴ προηγεῖται ἡ διδασκαλία τῶν σημείων –διὰ γὰρ τοὺς ἀπιστοῦντας τῇ διδασκαλίᾳ ἡ τῶν σημείων ἐπίδειξις γίνεται– οὔπω δὲ ἦν ἐκεῖ διδάξας καὶ πεῖραν λαβὼν αὐτῶν ἀπιστίας, διὰ τοῦτο εἶπεν, «οὔπω ἥκει ἡ ὥρα μου».

Οἱ δὲ ὑπηρέται δηλοῦσιν τοὺς προφήτας, οἵτινες τὴν φύσιν

---

4. Ἰω. 2,1–11.
5. .Ἰω. 2,3.

καὶ οἱ φυσικὲς δυνάμεις τῆς ψυχῆς ὅταν δὲν τὶς ἐπιμεληθοῦμε μὲ τὴ μελέτη τῶν θείων λόγων, λυγίζοντας πρὸς τὰ αἰσθητὰ ἀπὸ τὸ βάρος τῶν ἑκούσιων κι ἀκούσιων πειρασμῶν καταπίπτουν. «Ὅταν τὰ χέρια δὲν ἐργαστοῦν τὸ σπίτι στάζει», ὅταν δηλαδὴ ἡ ψυχὴ σταματήσει νὰ πράττει τὰ ἀγαθά, δεχόμενη μέσω τῶν αἰσθήσεων τὶς φαντασίες τῶν ὑλικῶν σὰν σταλαγματιές, διώχνει τὴ χάρη ποὺ κατοικεῖ μέσα της.

ΕΡΩΤΗΣΗ 35

Τί φανερώνει ὁ γάμος στὴν Κανὰ καὶ τί τὰ μυστήρια ποὺ ἔγιναν ἐκεῖ[4].

ΑΠΟΚΡΙΣΗ

Κανὰ ἑρμηνεύεται 'κτήση', ἐνῶ Γαλιλαία 'ἀποκάλυψη'. Κάθε νοῦς λοιπὸν ποὺ ἔχει τὴν ἱκανότητα ν' ἀποκαλύπτει τὰ θεῖα, στὴ σύνδεσή του μὲ τὴν ἀρετὴ ἢ καὶ μὲ τὴν αἴσθηση ἐπικαλεῖται τὴ μεσίτευση τοῦ λόγου, ὥστε ἀπὸ τὴ μιὰ ἡ ἀρετὴ νὰ συναφθεῖ μὲ τὴ γνωστικὴ ἱκανότητα τοῦ νοῦ καὶ νὰ συμφωνήσει μ' αὐτόν, ἐνῶ ἡ αἴσθηση ἀπὸ τὴν ἄλλη νὰ ὑποκύψει καὶ νὰ ὑποταχτεῖ στὸ νοῦ, ποὺ φυσικὰ τὴν κυβερνᾶ. Ἐπειδὴ ὅμως ἡ γνωστικὴ ἱκανότητα μὲ τὴ χαλάρωση τῆς ἡδονῆς ἐξαιτίας τῆς παρακοῆς νερούλιασε, ἦρθε ὁ Λόγος καὶ τὴν ἐπανέφερε στὴν ἀρχικὴ στερεότητα τῆς γῆς. Ἡ μητέρα του ποὺ ζητᾶ[5] εἶναι ἡ πίστη ἢ καὶ ἡ ταπείνωση ἢ καὶ ἡ σοφία τῆς ἐπιστήμης. Γιατὶ κάθε μιὰ ἀπὸ τὶς δυνάμεις αὐτὲς ἔχει στὴ φύση της νὰ γεννᾶ τὴν ἄκρα θεϊκὴ ἱκανότητα μέσα στοὺς ἀνθρώπους.

Ἡ δήλωση πάλι «δὲν ἦρθε ἀκόμα ἡ ὥρα μου»[6] σημαίνει ὅτι προηγεῖται ἡ διδασκαλία ἀπὸ τὰ θαύματα –γιατὶ ἡ ἐπίδειξη τῶν θαυμάτων γίνεται γιὰ ὅσους δυσπιστοῦν στὴ διδασκαλία–. Δὲν εἶχε λοιπὸν ἀκόμα διδάξει ἐκεῖ καὶ δὲν εἶχε λάβει γνώση τῆς ἀπιστίας τους, γι' αὐτὸ εἶπε «δὲν ἦρθε ἀκόμα ἡ ὥρα μου».

Οἱ ὑπηρέτες[7] πάλι δηλώνουν τοὺς προφῆτες, ποὺ ἀποκατέ-

---

6. Ἰω. 2,4. 7. Ἰω. 2,5.

*διὰ τῆς παραβάσεως κενωθεῖσαν διὰ τῆς αὐτῶν διδασκαλίας *** ὁ δὲ Κύριος ἐλθὼν μετέβαλεν εἰς πνευματικὴν γνῶσιν καὶ τὴν φύσιν εἰς τὸ ὑπὲρ φύσιν ἀνήγαγε διὰ τῆς πίστεως. Αὐτὴ γὰρ ἐπέχει τῆς Θεοτόκου τὸ πρόσωπον· καθάπερ γὰρ ἡ Θεοτόκος κατὰ τὴν δημιουργίαν ἐκ τοῦ Κυρίου καὶ Υἱοῦ αὐτῆς ὑπάρχουσα, κατὰ σάρκα αὐτὴ αὐτὸν ἀπεκύησεν, οὕτω καὶ ἡ πίστις ἐκ τοῦ λόγου ὑπάρχουσα διὰ τῆς ἐνεργείας τῆς πράξεως τὸν λόγον εἰς ἐνέργειαν ἄγει.*

Αἱ δὲ ὑδρίαι, ἐπειδὴ ἕξ εἰσιν, δηλοῦσι τὴν ποιητικὴν τῶν ἀγαθῶν ἕξιν διὰ τὸ καὶ τὸν Κύριον ἐν ἕξ ἡμέραις τὸν ὁρατὸν δημιουργῆσαι κόσμον. Ὁ δὲ ἀρχιτρίκλινος ὁ διακριτικός ἐστι νόμος· διὰ τοῦτό φησιν· «πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον προτίθησι, καὶ τότε τὸν ἐλάσσω»· ὁ γὰρ ἀκραιφνὴς καὶ διακριτικὸς νόμος διακρίνων «ἔδει», φησίν, «τὸν νοῦν πρῶτον τῇ ἐπιγνώσει εἰς τὸν αἴτιον ἀναδραμεῖν καὶ εἶθ' οὕτως εἰς τὰ μετ' αὐτόν, ὅπερ ὁ Ἀδὰμ οὐκ ἐποίησεν» ἢ καὶ ὅτι «τὴν τοῦ Κυρίου διδασκαλίαν ἔδει πρώτην ποθῆναι τοῦ νόμου καὶ τῶν προφητῶν».

ΕΡΩΤΗΣΙΣ 36

Πῶς νοήσωμεν τὸ τοῦ Εὐαγγελίου ὅτι «μείζων Ἰωάννου ἐν γεννητοῖς οὐκ ἐγήγερται, ὁ δὲ μικρότερος αὐτοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν»;

ΑΠΟΚΡΙΣΙΣ

Ὅστις ὑπὲρ τὸν Ἰωάννην ταπεινώσει ἑαυτὸν –τοῦτο γάρ ἐστι τὸ «μικρότερος»– ἐκεῖνος μείζων ἐστὶ τοῦ Ἰωάννου. Ἢ καὶ ἄλλως· ἐπειδὴ ὁ Ἰωάννης τὴν ἐνταῦθα ἐφικτὴν διὰ θεωρίας γνῶσιν κατειληφέναι πιστεύεται, ἡ μικρὰ καὶ τελευταία κατὰ

8. Δὲν ὑπάρχει στὸ κείμενο. 9. Ἰω. 2,6.
10. Ἰω. 2,9. 11. Ἰω. 2,10.

στησαν[8] τὴ φύση μας, ποὺ εἶχε καταστεῖ κενὴ ἐξαιτίας τῆς παράβασης, μὲ τὴ διδασκαλία τους, ἐνῶ ὁ Κύριος ἦρθε καὶ τὴν μετέβαλε σὲ γνώση πνευματικὴ καὶ μὲ τὴν πίστη ἀνέβασε τὴ φύση στὸ ὑπερφυσικό. Γιατὶ ἡ φύση ὑποκαθίσταται στὸ πρόσωπο τῆς Θεοτόκου. Ὅπως δηλαδὴ ἡ Θεοτόκος ἔλαβε ὕπαρξη κατὰ τὴ δημιουργία ἀπὸ τὸν Υἱὸ καὶ Κύριό της καὶ κατὰ σάρκα γέννησε αὐτὸν ἐκείνη, ἔτσι καὶ ἡ πίστη, ἔχοντας τὴν ὕπαρξή της ἀπὸ τὸ λόγο μὲ τὴν πρακτικὴ ἐνέργεια κατευθύνει τὸ λόγο στὴν ἐνέργεια.

Οἱ στάμνες[9], ἐπειδὴ εἶναι ἔξι, φανερώνουν τὴν ἱκανότητα τῶν ἀγαθῶν στὰ ἔργα, ἐπειδὴ καὶ ὁ Κύριος δημιούργησε τὸν ὁρατὸ κόσμο σὲ ἔξι μέρες[10]. Ὁ ἀρχιτρίκλινος εἶναι ὁ νόμος ποὺ κρίνει καὶ γι' αὐτὸ λέει «κάθε ἄνθρωπος προσφέρει πρῶτα τὸ καλὸ κρασὶ καὶ ἔπειτα τὸ χειρότερο»[11]. Ὁ ἀληθινὸς δηλαδὴ καὶ διακριτικὸς νόμος διακρίνοντας λέει 'ἔπρεπε ὁ νοῦς ν' ἀνατρέξει πρῶτος μὲ ἐπίγνωση στὸν αἴτιο καὶ κατόπιν στὰ ἔπειτ' ἀπὸ αὐτόν, πράγμα ποὺ δὲν ἔκανε ὁ Ἀδάμ', ἢ λέει ὅτι 'τὴ διδασκαλία τοῦ Κυρίου ἔπρεπε νὰ πιοῦμε οἱ ἄνθρωποι πρὶν ἀπὸ τὴ διδασκαλία τοῦ νόμου καὶ τῶν προφητῶν'.

ΕΡΩΤΗΣΗ 36

Πῶς θὰ ἐννοήσομε τὸ χωρίο τοῦ Εὐαγγελίου ὅτι «μεγαλύτερος ἀπὸ τὸν Ἰωάννη δὲ γεννήθηκε, ἐνῶ ὁ μικρότερος ἀπὸ αὐτὸν στὴ βασιλεία τῶν οὐρανῶν εἶναι μεγαλύτερος»[12];

ΑΠΟΚΡΙΣΗ

Ὅποιος ταπεινώσει τὸν ἑαυτό του περισσότερο ἀπὸ τὸν Ἰωάννη – γιατὶ αὐτὸ σημαίνει τὸ μικρότερος – αὐτὸς εἶναι μεγαλύτερος ἀπὸ τὸν Ἰωάννη. Καὶ ἀλλιῶς· ἐπειδὴ πιστεύομε ὅτι ὁ Ἰωάννης ἀπέκτησε μὲ τὴ θεωρία ὅση γνώση εἶναι δυνατὸ ν' ἀποκτηθεῖ ἐδῶ, ἡ μικρὴ καὶ ἔσχατη γνώση τῆς κατάστασής μας

12. Ματθ. 11,11. Λουκᾶ 7,28.

τὴν μέλλουσαν φανήσεσθαι κατάστασιν γνῶσις μείζων ὑπάρχει τῆς ἐνταῦθα. Ἢ καὶ ὅτι ὁ ἐν ἀνθρώποις ἄκρος θεολόγος τοῦ ἐν ἀγγέλοις ἐσχάτου ἐστὶν μικρότερος. Ἢ καὶ ὁ κατὰ τὴν εὐαγγελικὴν πολιτείαν τὴν ἐσχάτην ἔχων τάξιν, τοῦ κατὰ τὴν νομικὴν δικαιοσύνην ἄκρου μείζων ἐστίν.

ΕΡΩΤΗΣΙΣ 37

Τί ἄρα δηλοῦσι τὰ παρὰ τῷ νόμῳ ἀκάθαρτα ὄρνεά τε καὶ χερσαῖα καὶ ἔνυδρα τῷ καθολικῷ λόγῳ;

ΑΠΟΚΡΙΣΙΣ

Τὰ μὲν ὄρνεα δηλοῦν ὑπειλήφαμεν τὸ καθόλου τῆς κενοδοξίας καὶ ὑπερηφανίας πάθος εἰς διαφόρους τρόπους διαιρούμενον κατὰ τὰς τῶν ὀρνέων διαφοράς. Τὰ δὲ καθόλου χερσαῖα ζῷα δηλοῦσι τὸ πάθος τῆς φιλαργυρίας εἰς διαφορὰς σχιζόμενον κατὰ τὴν ἑκάστου ἤθους τῶν ζῴων διαφοράν. Τὰ δὲ καθόλου ἔνυδρα δηλοῦσι τὸ τῆς γαστριμαργίας πάθος διὰ τὸ γλίσχρον καὶ δυσκίνητον καὶ τῇ γῇ ἐγκυλινδεῖσθαι καὶ φλέγμα εἶναι τοὺς παρὰ τῷ νόμῳ ἀκαθάρτους ἰχθύας· τὰ δὲ ἔχοντα πτερύγια καὶ λεπίδας καθαρὰ ὁ νόμος ὁρίζεται, σημαίνων διὰ μὲν τοῦ ἔχοντος ἐν τῇ κοιλίᾳ πτερύγια τὸν ἐπὶ τῇ ἡδονῇ ἔχοντα ἐπηρτημένον ὑψηλὸν λόγον μὴ συγχωροῦντα ἐπὶ τῇ κοιλίᾳ πορεύεσθαι, διὰ δὲ τοῦ ἐπάνω τοῦ νώτου ἔχοντος πτερύγια τὸν τῇ ὑπομονῇ τῶν ἐπερχομένων ἀνδρικῶς διανηχόμενον τοῦ βίου τὴν θάλασσαν, διὰ δὲ τοῦ ἔχοντος ἐν τῇ οὐρᾷ πτερύγια τὸν εὐμηχάνως τὰς λαβὰς τῶν θηρευτῶν δαιμόνων διαδιδράσκοντα, διὰ δὲ τοῦ ἔχοντος ἐν τῇ κεφαλῇ ἔνθεν καὶ ἔνθεν πτερύγια τὸν ἔχοντα τὸ θεωρητικὸν πάντοθεν τὸν νοῦν κατασφαλίζοντα.

---

13. Λευιτ. 11. Δευτ. 14,3–20.

ποὺ θὰ φανεῖ μελλοντικὰ εἶναι μεγαλύτερη ἀπὸ τὴν ἐδῶ. Ἢ σημαίνε καὶ αὐτό· ὅτι ὁ κορυφαῖος θεολόγος ἀπὸ τοὺς ἀνθρώπους εἶναι μικρότερος ἀπὸ τὸν ἔσχατο τῶν ἀγγέλων· ἢ αὐτὸς ποὺ ἔχει τὴν ἔσχατη τάξη μέσα στὴν εὐαγγελικὴ πολιτεία εἶναι ἀνώτερος ἀπὸ τὸν κορυφαῖο τῆς νομικῆς δικαιοσύνης.

ΕΡΩΤΗΣΗ 37

Τί σημαίνουν ἄραγε τὰ ἀκάθαρτα φτερωτὰ τοῦ νόμου, τὰ χερσαῖα ζῶα καὶ τὰ ὑδρόβια ὡς πρὸς τὸν καθολικὸ λόγο[13];

ΑΠΟΚΡΙΣΗ

Τὰ φτερωτὰ ὑποθέσαμε ὅτι δηλώνουν τὸ γενικὸ πάθος τῆς κενοδοξίας καὶ τῆς ὑπερηφάνειας ποὺ ἐκδηλώνεται μὲ διάφορους τρόπους σύμφωνα μὲ τὶς διαφορὲς τῶν φτερωτῶν. Τὰ χερσαῖα γενικὰ ζῶα δηλώνουν τὸ πάθος τῆς φιλαργυρίας ποὺ παρουσιάζει διαφορὲς ἀνάλογα μὲ τὴ διαφορὰ τοῦ χαρακτήρα κάθε ζώου. Τὰ ὑδρόβια γενικὰ δηλώνουν τὸ πάθος τῆς ἀδηφαγίας ἐξαιτίας τῆς γλιστεράδας καὶ τῆς δυσκινησίας τους, τοῦ κυλίσματός τους στὴ γῆ καὶ ἐπειδὴ σύμφωνα μὲ τὸ νόμο εἶναι φλέγμα τὰ ἀκάθαρτα ψάρια. Ὅσα ἔχουν πτερύγια καὶ λέπια ὁ νόμος τὰ ὁρίζει[14] ὡς καθαρὰ καὶ δηλώνει μ' ἐκεῖνο ποὺ ἔχει πτερύγια στὴν κοιλιά του αὐτὸν ποὺ ἔχει συνδέσει μὲ τὴν ἡδονὴ ὑψηλὸ λόγο ποὺ δὲν ἐπιτρέπει νὰ πορεύεται ἐπάνω στὴν κοιλιά του, ἐνῶ μ' ἐκεῖνο ποὺ ἔχει πτερύγια ἐπάνω στὰ νῶτα δηλώνει αὐτὸν ποὺ μὲ ὑπομονὴ στὶς καταδρομὲς κολυμπᾶ καὶ διασχίζει ἀνδρικὰ τὴ θάλασσα τοῦ βίου. Μ' αὐτὸν ποὺ ἔχει πτερύγια στὴν οὐρὰ δηλώνει αὐτὸν ποὺ ἔξυπνα διαφεύγει ἀπὸ τὶς λαβὲς τῶν κυνηγῶν του δαιμόνων, ἐνῶ μ' αὐτὸν ποὺ ἔχει ἀπ' τὸ ἕνα καὶ τὸ ἄλλο μέρος τοῦ κεφαλιοῦ τὰ πτερύγια δηλώνει αὐτὸν ποὺ ἔχει τὸ νοῦ στὸ ν' ἀσφαλίζει ἀπὸ παντοῦ τὸ θεωρητικό.

---

14. Λευιτ. 11,9· Δευτ. 14,9.

ΕΡΩΤΗΣΙΣ 38

Τίνος χάριν πρὶν γεννηθῆναι τὸν Ἠσαῦ ἡ Γραφὴ λέγει μεμισῆσθαι αὐτὸν ἐκ τοῦ Θεοῦ, τὸν δὲ Ἰακὼβ ἠγαπῆσθαι;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὸ γράμμα δῆλον ὡς ἐγίνωσκεν ὁ Θεὸς ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν ὁποῖοι ἤμελλον ἔσεσθαι κατὰ προαίρεσιν ἑκάτεροι καὶ ὡς γινώσκων τὸν μὲν ἤδη ἐμίσει, τὸν δὲ ἠγάπα. Εἰ δὲ κατ' ἀναγωγὴν ἐξετάζει τις τὸ προκείμενον, μεμίσηται παρὰ τῷ Θεῷ πᾶς νοῦς κατὰ τὸν Ἠσαῦ δασὺς τῇ ὕλῃ τῇ κοσμικῇ καὶ τετραχυμμένος τοῖς ἀπηγορευμένοις λογισμοῖς· ἠγάπηται δὲ πᾶς Ἰακώβ, νοῦς λεῖος, ἀπέριττος καὶ ἄϋλος καὶ μονότροπος. Καὶ ἄλλως δὲ πᾶς Ἰσαὰκ ἔχει δύο υἱούς, οἵτινες πρὶν γεννηθῶσιν ὁ μὲν μεμίσηται, ὁ δὲ ἠγάπηται· εἰσὶ δὲ οὗτοι «ὁ νόμος τοῦ πνεύματος» καὶ «τὸ φρόνημα τῆς σαρκός», οἵτινες καὶ πρὶν εἰς ἐνέργειαν ἔλθωσιν ὁ μὲν ἠγάπηται, ὁ δὲ μεμίσηται.

Καὶ ἄλλως ὁ Ἰσαὰκ εἰς τύπον λαμβάνεται τοῦ Θεοῦ· οὗτος ἔσχε δύο υἱούς, τὸν γραπτὸν καὶ τὸν πνευματικὸν νόμον· καὶ ὁ μὲν δασὺς ἦν καὶ τραχύς, ὁ δὲ λεῖος. Εἶχε γὰρ ὁ νόμος πολλὰς καὶ ἀναριθμήτους παρατηρήσεις καὶ ἐμισήθη κατὰ τὸν Ἠσαΐαν, ὅτι «τὰς ἑορτὰς ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου»· ὁ δὲ ἕτερος ἠγαπᾶτο· ἦν γὰρ λεῖος· τὸ γὰρ Εὐαγγέλιον λεῖόν ἐστι καὶ συντετμημένον· ἀπαιτεῖ γὰρ πίστιν εἰλικρινῆ εἰς Θεὸν καὶ ἀγαθὴν συνείδησιν εἰς τὸν πλησίον.

[Περὶ τοῦ αὐτοῦ ἄλλως]. Ἢ καὶ κατὰ τῶν ὀνομάτων ἑρμηνείαν μεμίσηται παρὰ τῷ Θεῷ πᾶς ἐξουδενωτὴς καὶ φαῦλος

15. Ρωμ. 4,11–13.
16. Σωσάννα 42.

ΕΡΩΤΗΣΗ 38

Γιὰ ποιό λόγο προτοῦ γεννηθεῖ ὁ Ἠσαῦ λέει ἡ Γραφὴ ὅτι τὸν εἶχε μισήσει ὁ Θεός, ἐνῶ εἶχε ἀγαπήσει τὸν Ἰακώβ[15];

ΑΠΟΚΡΙΣΗ

Ἐξηγώντας τὸ πράγμα κατὰ γράμμα εἶναι φανερὸ πῶς γνώριζε ὁ Θεός, «ποὺ γνωρίζει τὰ πάντα πρὶν γίνουν»[16], τί προαίρεση ἐπρόκειτο νὰ δείξουν ὁ ἕνας καὶ ὁ ἄλλος, κι ἀφοῦ τὸ γνώριζε, τὸν ἕνα τὸν μισοῦσε ἀπὸ τότε καὶ τὸν ἄλλο τὸν ἀγαποῦσε. Ἂν ὅμως ἐξετάσει κανεὶς τὸ θέμα αὐτὸ μεταφορικὰ θὰ διαπιστώσει ὅτι ὁ Θεὸς μισεῖ κάθε νοῦ ποὺ εἶναι δασύς, ὅπως ὁ Ἠσαῦ, ἀπὸ τὴν κοσμικὴ ὕλη καὶ σκληρυμένος ἀπὸ ἀπαγορευμένους λογισμούς. Ἀντίθετα ἀγαπᾶ τὸν κάθε Ἰακώβ, τὸν πρᾶο δηλαδὴ νοῦ, τὸ μετρημένο καὶ ἄυλο καὶ μονότροπο. Ἄλλη ἐξήγηση· Κάθε Ἰσαὰκ ἔχει δύο υἱοὺς καὶ πρὶν γεννηθοῦν ὁ ἕνας ἀπὸ αὐτοὺς ἀπέσπασε τὸ μίσος, ἐνῶ ὁ ἄλλος τὴν ἀγάπη. Οἱ υἱοὶ αὐτοὶ εἶναι «ὁ νόμος τοῦ Πνεύματος»[17] ὁ ἕνας καὶ ὁ ἄλλος «τὸ φρόνημα τῆς σάρκας»[18]. Αὐτοὶ προτοῦ ἀρχίσουν νὰ ἐνεργοῦν ὁ ἕνας ἀπέσπασε τὴν ἀγάπη, ἐνῶ ὁ ἄλλος τὸ μίσος.

Καὶ διαφορετικά· ὁ Ἰσαὰκ λαμβάνεται ὡς τύπος τοῦ Θεοῦ. Ὁ Θεὸς εἶχε δυὸ υἱούς, τὸν γραπτὸ καὶ τὸν πνευματικὸ νόμο. Ὁ ἕνας ἦταν δασὺς καὶ τραχύς, ἐνῶ ὁ ἄλλος λεῖος. Ὁ νόμος δηλαδὴ εἶχε πολλοὺς καὶ ἀναρίθμητους πειρασμοὺς καὶ τὸν μίσησαν ὅπως λέει ὁ Ἠσαΐας· «τὶς γιορτές σας καὶ τὰ Σάββατα τὰ μισεῖ ἡ ψυχή μου»[19]. Τὸν ἄλλο τὸν ἀγαποῦσαν, γιατὶ ἦταν λεῖος. Τὸ Εὐαγγέλιο δηλαδὴ εἶναι λεῖο καὶ λιτό· ἀπαιτεῖ εἰλικρινὴ πίστη στὸ Θεὸ καὶ ἀγαθὴ συνείδηση στὸν πλησίον.

[Ἄλλη ἐξήγηση γιὰ τὸ θέμα αὐτό]. Ἤ, σύμφωνα μὲ τὴν ἐτυμολογία τῶν ὀνομάτων, μισεῖ ὁ Θεὸς κάθε ἐξουδενωτὴ καὶ κάθε φαῦλο τῆς εὐσέβειας, γιατὶ ἔτσι ἐξηγεῖται τὸ ὄνομα

17. Ρωμ. 8,2.
18. Ρωμ. 8,6. 19. Ἠσ. 1,13–14.

τῆς εὐσεβείας· τοῦτο γὰρ Ἡσαῦ ἑρμηνεύεται· ἠγάπηται δὲ πᾶς πτερνιστὴς τῆς κακίας, ὅπερ ὁ Ἰακὼβ ἑρμηνεύεται.

ΕΡΩΤΗΣΙΣ 39

Τί δήποτε ὁ μὲν Ἀβραὰμ τρεῖς ἀγγέλους εἶδεν, ὁ δὲ Λὼτ δύο;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν Ἀβραάμ, ἅτε τετελειωμένος καὶ ὑπερβὰς τὰ φαινόμενα καὶ τῆς ἁγίας Τριάδος καὶ μονάδος τὴν γνῶσιν ἐλλαμφθεὶς –διὸ καὶ τὸ ἄλφα εἰς προσθήκην τοῦ ὀνόματος δέχεται ὡς μόνος τῷ μόνῳ κατὰ τὴν γνῶσιν προσχωρήσας– εἰκότως τρεῖς ἀγγέλους ὁρᾷ. Ὁ δὲ Λώτ, μήπω τὰ ὁρώμενα τῇ γνώσει διαβάς, ἀλλ' ἐκ τῶν ὁρωμένων τὸ θεῖον θρησκεύων καὶ μηδὲν πλείω τούτων φανταζόμενος, μηδὲ ὑπὲρ τὰ δύο, ὕλην καὶ τὸ εἶδος, γενόμενος, ἐξ ὧν τὰ φαινόμενα, μηδὲ τὸν περὶ μονάδος καὶ Τριάδος λόγον τῇ γνώσει περιλαβών, διὰ τοῦτο δύο ἀγγέλους ὁρᾷ. Ὅθεν ἐπισπευδόντων αὐτὸν τῶν ἀγγέλων καὶ εἰς τὸ ὄρος σῴζεσθαι κατεπειγόντων, ἀπώκνησεν εἰς τὸ ὄρος ἀνελθεῖν, ἀλλὰ τὴν Σιγὼρ καταλαβεῖν παρεκάλει, εἰς τὴν μικροτέραν γνῶσιν· 'μικρὰ' γὰρ ἡ Σιγὼρ ἑρμηνεύεται. Οἱ δὲ τὸν Λὼτ ἐκβάλλοντες ἄγγελοι λαμβάνονται ἐπὶ τῶν δύο διαθηκῶν, τοῦ τε γραπτοῦ καὶ τοῦ εὐαγγελικοῦ νόμου· διὰ τούτων γὰρ ἐκβάλλεταί τις καὶ φεύγει τὴν περὶ τὰ αἰσθητὰ πλάνην καὶ τὸν ἐκ τούτων διαφεύγει ἐμπρησμόν. Ἔχει δὲ τὴν σύνοικον αἴσθησιν συναναβαίνουσαν· ἐὰν οὖν ταύτῃ στραφῇ «εἰς τὰ ὀπίσω», γίνεται «στήλη ἁλός», παράδειγμα πᾶσιν ἐκκειμένη, τῆς ἁλμώδους κακίας τὴν ἀμετάθετον ἕξιν φέρουσα.

Εἰ δὲ καὶ οἶνον ἐκ Σοδόμων ἐπιφέρεται, ὅπερ δηλοῖ τῶν

20. Γεν. 18,2. 21. Γεν. 19,1.
22. Γεν. 19,15–22.

Ἠσαῦ· ἔχει ὅμως τὴν ἀγάπη τοῦ Θεοῦ κάθε 'πτερνηστὴς' τῆς κακίας, ποὺ ἑρμηνεύεται ἔτσι τὸ ὄνομα Ἰακώβ.

ΕΡΩΤΗΣΗ 39

Γιατί ἄραγε ὁ Ἀβραὰμ εἶδε τρεῖς ἀγγέλους[20] ἐνῶ ὁ Λὼτ δύο[21];

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἀβραὰμ πολὺ εὔλογα βλέπει τρεῖς ἀγγέλους, ἐπειδὴ εἶχε πιὰ τελειοποιηθεῖ, εἶχε ὑπερβεῖ τὰ φαινόμενα καὶ εἶχε φωτιστεῖ καὶ δεχτεῖ τὴ γνώση τῆς Τριάδας καὶ τῆς μονάδας –γι' αὐτὸ ἐξάλλου δέχεται καὶ τὴν προσθήκη τοῦ ἄλφα στὸ ὄνομά του ἐπειδὴ μόνος πλησίασε μὲ τὴ γνώση τὸν μόνο–, ἐνῶ ὁ Λώτ, ἐπειδὴ δὲν εἶχε ξεπεράσει τὴ γνώση ὅσων βλέπομε ἀλλὰ προσκυνοῦσε τὸ θεῖο ἀπὸ τὰ φαινόμενα καὶ τίποτε περισσότερο ἀπὸ αὐτὰ δὲν φανταζόταν, οὔτε εἶχε φτάσει πάνω ἀπὸ τὴν ἔννοια τῶν δύο, τῆς ὕλης καὶ τοῦ εἴδους ποὺ ἀπαρτίζουν τὰ φαινόμενα, οὔτε μπόρεσε νὰ χωρέσει ὁ νοῦς του τὸ λόγο περὶ μονάδας καὶ τριάδας, γι' αὐτὸ βλέπει δύο ἀγγέλους. Ἔτσι, ἐνῶ τοῦ ἔλεγαν οἱ ἄγγελοι νὰ βιαστεῖ καὶ τὸν ἔσπρωχναν νὰ σωθεῖ στὸ βουνό, ἀμέλησε ν' ἀνεβεῖ στὸ βουνὸ καὶ παρακαλοῦσε νὰ πάει στὴ Σιγώρ[22], δηλαδὴ στὴ μικρότερη γνώση, γιατὶ ἡ Σιγὼρ ἑρμηνεύεται 'μικρή'. Οἱ ἄγγελοι ποὺ ἔβγαζαν τὸ Λὼτ (ἀπὸ τὴν καταστροφὴ) θεωρεῖται ὅτι ἀντιστοιχοῦν στὶς δύο Διαθῆκες τοῦ γραπτοῦ καὶ τοῦ εὐαγγελικοῦ νόμου, γιατὶ μ' αὐτὲς βγαίνει κανεὶς καὶ ξεφεύγει ἀπὸ τὴν πλάνη τῶν αἰσθητῶν καὶ ἀποφεύγει νὰ καεῖ ἀπὸ αὐτά[23]. Στὴν ἀνάβασή του ἔχει μαζί του καὶ τὴ σύνοική του τὴν αἴσθηση· ἂν τότε στραφεῖ πίσω γίνεται στήλη ἁλατιοῦ[24] καὶ παράδειγμα γιὰ ὅλους, ἔχοντας τὴν ἀμετακίνητη ἰδιότητα τῆς ἁλμυρῆς κακίας.

Κι ἂν φέρνει μαζί του καὶ κρασὶ ἀπὸ τὰ Σόδομα[25], πράγμα

23. Μαξίμου Ὁμολογητοῦ, *Ἐπιστολή* 1, PG 91,377A.
24. Γεν. 19,26. 25. Γεν. 15,32–36.

ἀκαθάρτων λογισμῶν τὰς προλήψεις, αἱ δύο θυγατέρες μεθύσκουσι τὸν τοιοῦτον πρὸς τὸ συλλαβεῖν· ἔστι μὲν οὖν ἡ πρώτη θυγάτηρ ἡ ἐπιθυμία· ἐπὰν γὰρ τὰς πρώτας τῶν προλήψεων μνήμας ἀνακινήσει ὁ νοῦς, εὐθέως ἡ ἐπιθυμία συγγινομένη συνλαμβάνει τὴν συγκατάθεσιν· εὐθέως οὖν καὶ ἡ δευτέρα προσέρχεται· ἔστι δὲ ἡ ἡδονή, μεθ' οὗ συγγινομένη συλλαμβάνει τὴν ἐνέργειαν. Διὰ τοῦτο ἐπικατάρατα τὰ τοιαῦτα κυήματα καὶ οὐκ εἰσέρχονται «εἰς Ἐκκλησίαν Κυρίου ἕως τρίτης καὶ τετάρτης καὶ δεκάτης γενεᾶς».

ΕΡΩΤΗΣΙΣ 40

Τί δήποτε πολλῶν ὄντων βαρυτέρων ὕβρεων ὁ Κύριος ἐν Εὐαγγελίοις τὸν λέγοντα τὸν ἀδελφὸν αὐτοῦ «μωρὸν» τῆς γεέννης ὑπεύθυνον ὁρίζεται, τὸν δὲ λέγοντα «ρακὰ» τῷ συνεδρίῳ ὑποκεῖσθαι λέγει;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ «μωρὸς» ὄνομα λέγουσιν ἐπὶ τοῦ ἄφρονος λαμβάνεσθαι καὶ ἀνοήτου, τὸ δὲ «ρακὰ» Ἑβραίων φωνῇ 'κατάπτυστον' ἑρμηνεύεται. Ἐπεὶ οὖν ἐπὶ τοῦ ἀθέου καὶ ἀπίστου τὸ «μωρὸς» ὄνομα εἴρηται κατὰ τὸ «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· 'οὐκ ἔστιν Θεός'», καὶ κατὰ τὸν Μωυσῆν λέγοντα, «οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός», ὅστις τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμόπιστον ἄθεον καὶ εἰδωλολάτρην ἢ αἱρετικὸν καὶ ἄπιστον ἀποκαλεῖ, οὗτος λέγει μωρὸν καὶ τῆς γεέννης δικαίως ὑπεύθυνος γίνεται. Ὅστις δὲ λέγει «ρακά», τουτέστιν 'ἐμπτυσμένε καὶ ἀκάθαρτε', οὗτος τὸν βίον διαβάλλει τοῦ ἀδελφοῦ αὐτοῦ καὶ εἰκότως κουφοτέρου ἐπιτιμίου ὑπόκειται.

---

26. Δευτ. 23,4. Ἐξ. 20,5.
27. Ματθ. 5,22.

ποὺ δηλώνει τοὺς ἀκάθαρτους λογισμούς, οἱ δύο θυγατέρες του μεθοῦν τὸν ἄνθρωπο αὐτὸν γιὰ νὰ τὸν συλλάβουν. Ἡ πρώτη θυγατέρα λοιπὸν εἶναι ἡ ἐπιθυμία· ὅταν ὁ νοῦς ἀνακινήσει τὶς πρῶτες ἐντυπώσεις καὶ μνῆμες, ἀμέσως ἔρχεται κοντὰ ἡ ἐπιθυμία καὶ αἰχμαλωτίζει τὴ συγκατάθεσή μας. Χωρὶς χρονοτριβὴ πλησιάζει κι ἡ δεύτερη θυγατέρα, ποὺ εἶναι ἡ ἡδονὴ καὶ ποὺ ἑνωμένη μὲ τὸ νοῦ αἰχμαλωτίζει τὴν ἐνέργεια. Γι' αὐτὸ ἐπισύρουν τὴν κατάρα τὰ κυοφορήματα τοῦ εἴδους αὐτοῦ καὶ «δὲν μπαίνουν στὴν Ἐκκλησία τοῦ Κυρίου ὡς τὴν τρίτη καὶ τέταρτη καὶ δέκατη γενεά»[26].

ΕΡΩΤΗΣΗ 40

Γιατί ἄραγε, ἐνῶ ὑπάρχουν πολλὲς ἄλλες ὕβρεις, ὁ Κύριος καταδικάζει μέσα στὸ Εὐαγγέλιο γιὰ τὴ γέεννα ἐκεῖνον ποὺ λέει τὸν ἀδελφό του «μωρό», ἐνῶ γιὰ ἐκεῖνον ποὺ τὸν ὀνομάζει «ρακὰ» λέει ὅτι ἀνήκει στὴν ἐξουσία τοῦ συνεδρίου[27];

ΑΠΟΚΡΙΣΗ

Τὸ ὄνομα «μωρὸς» λένε ὅτι χρησιμοποιεῖται γιὰ τὸν ἀνόητο, ἐνῶ τὸ «ρακὰ» στὴ γλώσσα τῶν Ἑβραίων σημαίνει 'τὸν κατάπτυστο'. Ἐπειδὴ λοιπὸν τὸ ὄνομα «μωρὸς» εἰπώθηκε γιὰ τὸν ἄθεο καὶ ἄπιστο σύμφωνα μὲ τὸ λόγο «εἶπε ὁ ἀνόητος μέσα του, ὅτι δὲν ὑπάρχει Θεὸς»[28] καὶ σύμφωνα μὲ τὸν Μωϋσῆ ποὺ λέει «αὐτὸς ὁ λαὸς εἶναι μωρὸς καὶ ὄχι σοφός»[29], ὅποιος ἀποκαλεῖ τὸν ὁμόπιστο ἀδελφό του ἄθεο καὶ εἰδωλολάτρη ἢ αἱρετικὸ καὶ ἄπιστο, αὐτὸς τὸν ἀποκαλεῖ 'μωρὸ' καὶ δίκαια καταδικάζεται γιὰ τὴ γέεννα. Ὅποιος πάλι τὸν λέει 'ρακά', δηλαδὴ κατάπτυστο κι ἀκάθαρτο, αὐτὸς διαβάλλει τὸ τρόπο ζωῆς τοῦ ἀδελφοῦ του καὶ πολὺ εὔλογα εἶναι ἄξιος γιὰ ἐλαφρότερο ἐπιτίμιο.

---

28. Ψαλμ. 13,1.
29. Δευτ. 32,6.

ΕΡΩΤΗΣΙΣ 41

Τί σημαίνει ἡ ἐν τοῖς Κριταῖς ἱστορία ἡ κατὰ τὸν Λευΐτην καὶ τὴν παλλακὴν ἣν παραχρησάμενοι ἐφόνευσαν οἱ τῆς φυλῆς Βενιαμίν;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ κατ' ἀρχὰς γενόμενος ἐκ Θεοῦ ἱερὸς νοῦς τὸν φυσικὸν νόμον διὰ τῆς παραβάσεως ἐθανάτωσεν, ἔλαβε τὴν παλλακήν, τουτέστι τὴν νομικὴν λατρείαν, μὴ οὖσαν φυσικὴν ἀλλ' ἐπείσακτον· εἶτα ἐπαναστάντων τῶν φυσικῶν κινημάτων οἱονεὶ λύκων ἐφόνευσαν καὶ αὐτήν. Ὁ δὲ ἱερὸς νοῦς ἀγανακτήσας μελίζει ταύτην καὶ ἀποστέλλει εἰς πᾶν ὅριον Ἰσραὴλ εἰς τὰς δώδεκα φυλάς, τουτέστι τὰς νομικὰς ἐντολὰς διέλει καὶ ἑκάστην ἀπονέμει τῇ ἁρμοζούσῃ τῆς ψυχῆς δυνάμει, ὥστε πάσας συγκινηθῆναι πρὸς ἀναίρεσιν τῶν ἀτακτησάντων λογισμῶν. Εἰσὶ δὲ τρεῖς μὲν αἱ τῆς ψυχῆς δυνάμεις· τὸ λογικόν, τὸ ἐπιθυμητικον, τὸ θυμικόν. Δέονται δὲ αὗται τῶν γενικῶν τεσσάρων ἀρετῶν· ἄνευ γὰρ τούτων οὔτε κακίας ἀναίρεσις γίνεται, οὔτε ἀρετῆς κατόρθωσις. Εἶτα πρὸς τὸ καὶ εἰς ἐνέργειαν τὰ καλῶς κριθέντα ἐλθεῖν χρῄζουσι καὶ τῶν πέντε αἰσθήσεων, ἵνα ὁ δωδέκατος εἰς πέρας ἔλθῃ ἀριθμός, ὁ πάντα τὸν Ἰσραὴλ χαρακτηρίζων. Ἢ καὶ χρόνον καὶ φύσιν ὁ δωδέκατος σημαίνει ἀριθμός· ἑβδοματικὸς γὰρ ὁ χρόνος, πενταδικὴ δὲ ἡ φύσις.

Τὸ δὲ ἐν τῷ πολέμῳ πολλοὺς τῶν Ἰσραηλιτῶν πεσεῖν καὶ μετὰ ταῦτα τοὺς ὀλίγους νικῆσαι, σημαίνει ὅτι δεῖ τὸν πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενον καθαρεύειν παντὸς πάθους, ἐπεὶ ἕως ὅτε ἢ ὑψηλοφροσύνῃ κεκράτηται ἢ κενοδοξίᾳ ἢ τύφῳ ἢ ἀλαζονείᾳ, ἢ κατακρίνει ἑτέρους ἢ ἄλλῳ οἱῳδήποτε πάθει ἐνέχεται, ἐν τῷ πολεμεῖν δῆθεν πρὸς τὰ πάθη ἀδρανὴς εὑρίσκεται καὶ πίπτει· ἀλλὰ δεῖ πάντων καθαρεύειν καὶ εἶθ' οὕτω παρα-

---

30. Κριτ. 19,1–30. 31. Κριτ. 19,29–30.

ΕΡΩΤΗΣΗ 41

Τί σημαίνει ἡ ἱστορία τῶν Κριτῶν γιὰ τὸ Λευΐτη καὶ τὴν παλλακὴ ποὺ τὴν κακοποίησαν καὶ τὴ σκότωσαν τὰ μέλη τῆς φυλῆς τοῦ Βενιαμίν[30];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ ἱερὸς νοῦς, ποὺ ἀπὸ τὴν ἀρχὴ δημιούργησε ὁ Θεός, θανάτωσε μὲ τὴν παράβαση τὸ φυσικὸ νόμο, ἔλαβε τὴν παλλακή, δηλαδὴ τὴ νομικὴ λατρεία, ποὺ δὲν ἦταν φυσικὴ ἀλλὰ ἐπείσακτη. Ξεσηκώθηκαν ἔπειτα σὰν λύκοι τὰ φυσικὰ κινήματα καὶ τὴ φόνευσαν. Ἀγανακτώντας ὁ ἱερὸς νοῦς τὴ διαμελίζει καὶ τὴ στέλνει στὶς δώδεκα φυλές, στὰ πέρατα τοῦ Ἰσραήλ, δηλαδὴ διαίρεσε τὶς ἐντολὲς τοῦ νόμου[31] καὶ ἀποδίδει τὴν κάθε μιὰ στὴν ἁρμόδια δύναμη τῆς ψυχῆς, ὥστε νὰ ξεσηκωθοῦν ὅλες μαζὶ καὶ νὰ θανατώσουν τοὺς λογισμοὺς ποὺ εἶχαν ἀτακτήσει. Οἱ δυνάμεις τῆς ψυχῆς εἶναι τρεῖς· τὸ λογικὸ (νόηση), τὸ ἐπιθυμητικὸ (βούληση), καὶ τὸ θυμικὸ (συναίσθημα). Αὐτὲς χρειάζονται τὶς τέσσερες γενικὲς ἀρετές· χωρὶς αὐτὲς οὔτε ἡ θανάτωση τῆς κακίας γίνεται οὔτε ἡ κατόρθωση τῆς ἀρετῆς. Ἔπειτα γιὰ νὰ μποῦν σὲ πράξη ὅσα ἀποφασίστηκαν ὀρθὰ ἔχουν ἀνάγκη καὶ ἀπὸ τὶς πέντε αἰσθήσεις, γιὰ νὰ ὁλοκληρωθεῖ ὁ ἀριθμὸς δώδεκα, ποὺ χαρακτηρίζει ὅλο τὸν Ἰσραήλ. Ἢ ὁ ἀριθμὸς δώδεκα σημαίνει καὶ τὸ χρόνο καὶ τὴ φύση, ἐπειδὴ ὁ χρόνος διαιρεῖται σὲ ἑπτὰ μέρη, ἐνῶ ἡ φύση σὲ πέντε.

Τὸ ὅτι κατὰ τὸν πόλεμο ἔπεσαν πολλοὶ Ἰσραηλίτες καὶ ὅτι στὴ συνέχεια νίκησαν οἱ λίγοι[32] σημαίνει ὅτι πρέπει αὐτὸς ποὺ πολεμᾶ τὴν ἁμαρτία νὰ μένει καθαρὸς ἀπὸ κάθε πάθος, γιατὶ ὅσο κυριαρχεῖται ἀπὸ ὑπεροψία ἢ ματαιοδοξία ἢ ἔπαρση ἢ ἀλαζονεία, ἢ κατακρίνει ἄλλους ἢ εἶναι κυριευμένος ἀπὸ ὁποιοδήποτε ἄλλο πάθος, γιὰ νὰ πολεμεῖ τάχα τὰ πάθη, αὐτὸς βρίσκεται ἀδύναμος καὶ πέφτει. Ἀλλὰ πρέπει νὰ εἶναι καθαρὸς ἀπὸ ὅλα κι

---

32. Κριτ. 20,21· 20,25· 20,35–46.

τάττεσθαι καὶ οὕτως ὁ Κύριος παρέχει τὴν νίκην. Τὸ δὲ παρακληθῆναι τὸν Ἰσραὴλ ἐπὶ τοῖς ὑπολειφθεῖσιν τοῦ Βενιαμὶν τοῖς καταφυγοῦσιν ἐν τῇ πέτρᾳ Ρεμμών, δηλοῖ ὅτι τὸν πρὸς τὰ πάθη μαχόμενον οὐ δεῖ συναναιρεῖν τοῖς πάθεσι τὴν φυσικὴν δύναμιν, ἀλλὰ τὰ μὲν παρὰ φυσικὴν δύναμιν περιποιεῖσθαι· οἷον, ἀγωνίζεταί τις κατὰ τοῦ πάθους τῆς γαστριμαργίας, οὐ δέον πάντῃ τὴν χρειώδη τροφὴν τὴν πρὸς τὴν τῆς ζωῆς σύστασιν ἀνελεῖν, ἀλλὰ τὴν ἁβροδίαιτον καὶ λυσσώδη δίαιταν. Τὸ δὲ φυγεῖν εἰς τὴν πέτραν σημαίνει τὴν κατὰ Χριστὸν πίστιν ἢ τὴν παγίαν ἕξιν τῆς πρακτικῆς, ἥτις τὴν τῶν παθῶν ἀταξίαν εὐμαρῶς θανατοῖ· Ρεμμὼν γὰρ 'μετεωρισμὸς θανάτου' ἑρμηνεύεται.

ΕΡΩΤΗΣΙΣ 42

Τί ἐστιν ὅπερ ὁ Ἀπόστολος ἐπιστέλλων Τιμοθέῳ ἔγραψεν «ἐπίστηθι εὐκαίρως ἀκαίρως»;

ΑΠΟΚΡΙΣΙΣ

Εἴτε τῇ κακίᾳ, φησίν, ἐνέχεταί τις, ὅντινα εὔκαιρόν ἐστι διδαχθῆναι, ὑποτίθου αὐτὸν διὰ τῆς διδασκαλίας τὴν φυγὴν τοῦ κακοῦ καὶ τὴν αἵρεσιν τοῦ ἀγαθοῦ· εἴτε οὐκ ἐνέχεταί τις τῇ κακίᾳ, ὅπερ δοκεῖ ἀκαίρως, τὸν τοιοῦτον τὴν γνῶσιν ὑποτίθου, φησίν, κατασφαλιζόμενος αὐτὸν πρὸς μέλλουσαν πειρασμῶν ἐπανάστασιν.

ΕΡΩΤΗΣΙΣ 43

Τί σημαίνει ἡ παραβολὴ τῶν δέκα παρθένων;

---

33. Κριτ. 21,6. 34. Κριτ. 20,47.
35. Κριτ. 20,47.

ἔπειτα νὰ παρατάσσεται καὶ μ' αὐτὴ τὴν προϋπόθεση παρέχει ὁ Κύριος τὴ νίκη. Τὸ ὅτι παρηγορήθηκαν οἱ Ἰσραηλίτες μὲ τὰ ὑπολείμματα τοῦ Βενιαμὶν[33] ποὺ εἶχαν καταφύγει στὴ πέτρα Ρεμμών[34], δηλώνει ὅτι αὐτὸς ποὺ μάχεται πρὸς τὰ πάθη δὲν πρέπει μαζὶ μὲ τὰ πάθη νὰ θανατώνει τὴ φυσικὴ δύναμη, ἀλλὰ ὅσα εἶναι τῆς φυσικῆς δύναμης νὰ τὰ φροντίζει. Γιὰ παράδειγμα, ἂν ἀγωνίζεται κάποιος ἐναντίον τοῦ πάθους τῆς λαιμαργίας, δὲν πρέπει νὰ καταργήσει ὅλη τὴν ἀπαιτούμενη τροφὴ γιὰ τὴ συντήρηση τῆς ζωῆς, ἀλλὰ τὴ διατροφὴ ποὺ συντελεῖ στὴν ἀβρὴ ζωὴ ποὺ ἀνάβει τὰ πάθη. Τὸ ὅτι κατέφυγαν στὴν πέτρα[35] σημαίνει τὴν πίστη στὸ Χριστὸ[36], ἢ τὴ θεμελιωμένη ἕξη τῆς πρακτικῆς ποὺ θανατώνει εὔκολα τὴν ἀταξία τῶν παθῶν. Γιατὶ ἡ λέξη Ρεμμὼν ἑρμηνεύεται 'μετεωρισμὸς (ἔπαρση) θανάτου'.

ΕΡΩΤΗΣΗ 42

Τί σημαίνει αὐτὸ ποὺ ὁ Ἀπόστολος ἔγραψε στὴν ἐπιστολή του πρὸς τὸν Τιμόθεο· «ἐπίμενε στὴ διδασκαλία εἴτε εἶναι κατάλληλος καιρὸς εἴτε εἶναι ἀκατάλληλος»[37];

ΑΠΟΚΡΙΣΗ

Εἴτε, λέει, εἶναι κάποιος κυριευμένος ἀπὸ κάποια κακία, ὁπότε εἶναι εὐκαιρία γι' αὐτὸν νὰ διδαχτεῖ, συμβούλεψέ τον μὲ τὴ διδαχή σου ν' ἀποφύγει τὸ κακὸ καὶ νὰ προτιμήσει τὸ ἀγαθό. Εἴτε δὲν εἶναι κυριευμένος ἀπὸ κάποια κακία, ὁπότε ὁ ἔλεγχος εἶναι ἄκαιρος, μετάδωσέ του, λέει, τὴ γνώση, ἐξασφαλίζοντάς τον γιὰ μιὰ μελλοντικὴ ἐξέγερση τῶν πειρασμῶν.

ΕΡΩΤΗΣΗ 43

Τί σημαίνει ἡ παραβολὴ τῶν δέκα παρθένων[38].

---

36. Α' Κορ. 10,4. 37. Β' Τιμ. 4,2.
38. Ματθ. 25,1-12.

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ ἄνθρωπος πέντε αἰσθήσεις ἔχει νοερὰς ἀντιληπτικὰς τῶν νοητῶν, πέντε δὲ σωματικὰς ἀντιληπτικὰς τῶν αἰσθητῶν, δοκεῖ ἡ παραβολὴ τὸν καθένα αἰνίττεσθαι ἄνθρωπον. Ὅστις οὖν ἔχει τὴν λαμπάδα τῆς πρακτικῆς ἀρετῆς, ἔχει δὲ καὶ τὸ ἔλαιον τῆς γνώσεως ἐπάρδοντα, τουτέστι μετὰ γνώσεως τὰς πράξεις γινομένας, οὗτος ὑποτάξας τὸ σῶμα καὶ τὰς τούτου αἰσθήσεις ταῖς νοεραῖς συνάψας, γέγονεν πέντε φρόνιμοι. Ὅστις δὲ τὴν πρακτικὴν δοκεῖ μετιέναι μὴ ἔχων τὸ τῆς γνώσεως ἔλαιον, ἀλλ' ἢ διὰ κενὴν δόξαν ἢ διὰ γαστριμαργίαν ἢ φιλαργυρίαν ταύτην ἀφρόνως ἐπιτηδεύει, οὗτος τρέψας τὰς νοερὰς αἰσθήσεις περὶ τὰ αἰσθητὰ καὶ πρόσκαιρα καὶ ταύτας ἀπογεώσας, εἰκότως γέγονε πέντε παρθένοι μωραί, ἐκ μόνων τῶν αἰσθητῶν γινωσκόμενος.

ΕΡΩΤΗΣΙΣ 44

Τί δηλοῖ κατ' ἀναγωγὴν ὁ παράδεισος ὁ κατ' ἀνατολὰς φυτευόμενος;

ΑΠΟΚΡΙΣΙΣ

Παράδεισον οἶμαι δηλοῦσθαι τὴν τοῦ ἀνθρώπου καρδίαν φυτευθεῖσαν ἐν τῇ ἀνατολῇ τῆς τοῦ Θεοῦ γνώσεως. Ἐν τῷ μεσαιτάτῳ ταύτης ἐφύτευσεν ὁ Θεὸς «τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ». Καὶ τὸ μὲν «ξύλον τῆς ζωῆς» λαμβάνεται ἐπὶ τοῦ λόγου τῶν νοητῶν, τὸ δὲ «γνωστὸν καλοῦ καὶ κακοῦ» ἐπὶ τοῦ λόγου τῶν αἰσθητῶν· οὗτος γὰρ ἔχει γνῶσιν καλοῦ τε καὶ κακοῦ· τοῖς μὲν γὰρ ἐκ τῆς καλλονῆς τῶν κτισμάτων τὸν δημιουργὸν ἐννοοῦσιν καὶ δι' αὐ-

39. Γεν. 2,8.

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ ἄνθρωπος ἔχει πέντε νοερὲς αἰσθήσεις ποὺ ἀντιλαμβάνονται τὰ νοητὰ καὶ πέντε αἰσθήσεις σωματικὲς ποὺ ἀντιλαμβάνονται τὰ αἰσθητά, ἡ παραβολὴ μοιάζει νὰ ὑποδηλώνει τὸν κάθε ἄνθρωπο. Ὅποιος λοιπὸν ἔχει τὴ λαμπάδα τῆς πρακτικῆς ἀρετῆς, κι ἔχει καὶ τὸ λάδι τῆς γνώσης νὰ τὴν τροφοδοτεῖ, δηλαδὴ οἱ πράξεις του νὰ γίνονται μὲ γνώση, αὐτός, ἀφοῦ ὑπόταξε τὸ σῶμα κι ἕνωσε τὶς σωματικὲς αἰσθήσεις μὲ τὶς νοερές, ἔχει γίνει τὸ ἀνάλογο τῶν πέντε φρόνιμων παρθένων. Ὅποιος πάλι νομίζει πὼς ἀκολουθεῖ τὴν πρακτικὴ χωρὶς νὰ ἔχει τὸ λάδι τῆς γνώσης, ἀλλὰ τὴν ἀσκεῖ χωρὶς φρόνηση ἢ ἀπὸ κενοδοξία ἢ ἀπὸ λαιμαργία ἢ φιλαργυρία, αὐτός, στρέφοντας τὶς νοερὲς αἰσθήσεις του γύρω ἀπὸ τὰ αἰσθητὰ καὶ πρόσκαιρα κι ἀφοῦ τὶς ἀποπνευμάτωσε καὶ τὶς ἔκανε σωματικές, ἔγινε πολὺ εὔλογα τὸ ἀντίστοιχο τῶν πέντε μωρῶν παρθένων κι ἀναγνωρίζεται μόνο ἀπὸ τὰ αἰσθητά.

ΕΡΩΤΗΣΗ 44

Ποιό εἶναι τὸ μεταφορικὸ νόημα τοῦ παραδείσου τοῦ φυτεμένου στὴν ἀνατολή[39];

ΑΠΟΚΡΙΣΗ

Ὁ παράδεισος μοῦ φαίνεται πὼς δηλώνει τὴν καρδιὰ τοῦ ἀνθρώπου ποὺ φυτεύθηκε στὴν ἀνατολὴ τῆς γνώσης τοῦ Θεοῦ. Στὸ μέσον αὐτῆς φύτευσε ὁ Θεὸς τὸ δέντρο τῆς ζωῆς καὶ τὸ δέντρο τῆς γνώσης τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Καὶ τὸ δέντρο τῆς ζωῆς χρησιμοποιεῖται γιὰ το λόγο τῶν νοητῶν καὶ ἡ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ γιὰ τὴν κατηγορία τῶν αἰσθητῶν[40]. Γιατὶ αὐτὸς ἔχει τὴ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Σ' αὐτοὺς δηλαδὴ ποὺ ἀντιλαμβάνονται τὸ δημιουργὸ ἀπὸ τὴν ὀμορφιὰ τῶν κτισμάτων καὶ ποὺ μέσω αὐτῶν ἀνάγονται στὸν αἴτιό τους,

40. Γεν. 2,9.

τῶν ἀναγομένοις εἰς τὸν αἴτιον τούτων, γνῶσίς ἐστι καλοῦ, τοῖς δὲ μόνῃ τῇ αἰσθήσει ἐναπομένουσι καὶ τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν φενακιζομένοις ἐπὶ τὴν ὕλην τὴν πᾶσαν ὄρεξιν τῆς ψυχῆς τρέψασιν, γνῶσίς ἐστι κακοῦ.

Εἰ δέ τις ἀπορῶν ἀνθυπενέγκοι ὅτι 'Πῶς δύναται ἐπὶ τοῦ ἑνὸς ἀνθρώπου τοῦτο ληφθῆναι, ἵνα ποτὲ μὲν καλόν, ποτὲ δὲ πονηρὸν ἡ περὶ τοῦ ἑνὸς γνῶσις γένηται;', πρὸς ὃν λεκτέον ὅτι, ἐπειδὴ εἴρηται τὸν νοητὸν καὶ τὸν αἰσθητὸν κόσμον εἶναι τὰ δύο ξύλα, μετέχει δὲ καὶ τῶν ἑκατέρων ὁ ἄνθρωπος ὡς ἐκ ψυχῆς καὶ σώματος ὤν, ἡνίκα οὖν τὸ τῆς ψυχῆς κῦρος ἐπὶ τὴν αἴσθησιν καὶ τὸ σῶμα ῥέψει, ἰδοὺ μετέλαβε τοῦ ξύλου καὶ ἔγνω τὴν πεῖραν καλοῦ τε καὶ κακοῦ, καλοῦ μὲν κατὰ τὸ ἥδεσθαι φυσικῶς τὸ σῶμα τῇ ἀπολαύσει τῶν αἰσθητῶν, κακοῦσθαι δὲ τὴν ψυχὴν ἀρχομένην ὑπὸ τοῦ χείρονος καὶ τὰς φυσικὰς δυνάμεις ἐξασθενοῦσαν.

ΕΡΩΤΗΣΙΣ 45

Τί σημαίνει τὸ μετὰ τὴν ἀνάστασιν δειχθὲν ὑπὸ τοῦ Κυρίου ὀψάριον κείμενον ἐπὶ τὴν ἀνθρακιάν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ ἰχθὺς δηλοῖ τὴν ἀνθρωπείαν φύσιν νηχομένην ἐν τῇ συγχύσει τῶν παθῶν, ἣν διὰ τὴν ἄφατον φιλανθρωπίαν ὁ Κύριος κατελθὼν ἐν τῇ θαλάσσῃ τοῦ βίου ἀνέσπασε καὶ ὀπτήσας τῷ πυρὶ τοῦ ἁγίου Πνεύματος καὶ πάσης γλισχρότητος παθῶν ἐκτήξας, βρῶσιν ἑαυτῷ τε καὶ τοῖς ἀποστόλοις πεποίηται. Πεινᾷ γὰρ ἀεὶ ὁ Λόγος τὴν ἡμῶν σωτηρίαν μετὰ τῶν ἑπομένων αὐτῷ· ὅθεν κατὰ μίμησιν αὐτοῦ καὶ θανεῖν ὑπὲρ τῆς ἡμῶν εἵλοντο σωτηρίας.

ὑπάρχει γνώση τοῦ καλοῦ· ἐνῶ σὲ ὅσους κλείνονται μέσα στὴν αἴσθηση μόνο κι ἐξαπατῶνται ἀπὸ τὴν ἐπιφάνεια τῶν αἰσθητῶν κι ἔχουν στρέψει στὴν ὕλη ὅλη τὴν ὄρεξη τῆς ψυχῆς τους ὑπάρχει γνώση τοῦ κακοῦ.

Κι ἂν κάποιος ἔχοντας ἀπορία ἀντιπαρατηρήσει καὶ πεῖ, Πῶς εἶναι δυνατὸ νὰ θεωρήσομε τὸ πράγμα σ' ἕναν ἄνθρωπο, ὥστε ἡ γνώση γιὰ τὸν ἕνα νὰ εἶναι ἄλλοτε καλὸ καὶ ἄλλοτε κακό; Σ' αὐτὸν πρέπει ν' ἀπαντήσομε, ἐπειδὴ εἴπαμε ὅτι τὰ δύο δένδρα ἀντιπροσωπεύουν τὸν νοητὸ καὶ τὸν αἰσθητὸ κόσμο κι ὁ ἄνθρωπος μετέχει καὶ στὰ δύο ἐπειδὴ συνίσταται ἀπὸ ψυχὴ καὶ σῶμα, γι' αὐτὸ ὅταν τὸ βάρος τῆς ψυχῆς ἔκλινε στὴν αἴσθηση, τότε τὸ σῶμα μετέλαβε τὸ δένδρο καὶ ἀπέκτησε τὴ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ· τὴ γνώση τοῦ καλοῦ ἐπειδὴ τὸ σῶμα δοκιμάζει φυσικὴ ἡδονὴ ἀπὸ τὴν ἀπόλαυση τῶν αἰσθητῶν, καὶ τὴ γνώση τοῦ κακοῦ ἐπειδὴ ἡ ψυχὴ ὑποφέρει καθὼς κυριαρχεῖται ἀπὸ τὴ χειρότερη μοίρα καὶ οἱ φυσικές της δυνάμεις ἐξασθενοῦν.

ΕΡΩΤΗΣΗ 45

Τί σημαίνει ἡ ἐπίδειξη ἀπὸ τὸν Κύριο τοῦ ψαριοῦ ποὺ ἦταν πάνω στὴ θράκα μετὰ τὴν ἀνάσταση[41];

ΑΠΟΚΡΙΣΗ

Τὸ ψάρι δηλώνει τὴν ἀνθρώπινη φύση ποὺ κολυμπᾶ μέσα στὴ σύγχυση τῶν παθῶν. Αὐτὴν μὲ τὴν ἄφατη φιλανθρωπία του ὁ Κύριος κατεβαίνοντας στὴ θαλασσα τοῦ βίου τὴν ἀνάσυρε καὶ ἀφοῦ τὴν ἔψησε στὴ φωτιὰ τοῦ ἁγίου Πνεύματος κι ἀφοῦ ἔκανε νὰ λιώσει ἀπὸ πάνω της ἡ λίγδα κάθε πάθους, τὴν ἔκανε τροφὴ δική του καὶ τῶν ἀποστόλων. Γιατὶ ὁ Λόγος πεινᾶ πάντοτε μαζὶ μὲ ὅσους τὸν ἀκολουθοῦν τὴ σωτηρία μας· γι' αὐτὸ κατὰ μίμησή του προτίμησαν καὶ νὰ πεθάνουν ἀκόμα γιὰ τὴ σωτηρία μας.

41. Ἰω. 21,9.

ΕΡΩΤΗΣΙΣ 46

Τί σημαίνει ὁ ἐν τῷ Εὐαγγελίῳ Ζακχαῖος ὁ τελώνης καὶ τί τὰ κατ' αὐτόν;

ΑΠΟΚΡΙΣΙΣ

Ζακχαῖος ὁ τελώνης ἐστὶν ὁ τὴν τοῦ Θεοῦ κτίσιν τελωνῶν εἰς ἰδίαν ἀπόλαυσιν. Ἀκούει δὲ τοῦ Λόγου παρόντος καὶ ἀνέρχεται ἐπὶ συκομορέαν ὅτ' ἂν ὁ λόγος τῆς μετανοίας ἐν αὐτῷ γένηται· πείθει γὰρ αὐτὸν ἐπάνω «τοῦ φρονήματος τῆς σαρκὸς» γενέσθαι· τοῦτο γὰρ ἡ συκομορέα· ἐκεῖθεν γὰρ εὐμαρῶς τὸν Λόγον θεάσηται καὶ ἀκούσῃ αὐτοῦ ὅτι «σπεύσας κατάβηθι», τουτέστιν 'εἰ ὅλον με δέξασθαι ποθεῖς ἐν τῷ οἴκῳ σου, μὴ μόνον τὸ ἐπάνω τοῦ σαρκικοῦ φρονήματος γενέσθαι ἀρκεῖν οἰηθῇς, ἀλλὰ καὶ διὰ τῶν ἀρετῶν μετ' ἐμοῦ ποίησον τὴν πορείαν'. Τὸ δὲ «ἀποδίδωμι τετραπλοῦν» τοῦτο δηλοῖ ἢ διὰ τῶν τεσσάρων γενικῶν ἀρετῶν ἑκάστῃ κεχρημένος πρὸς κατόρθωσιν τῶν ἀγαθῶν ἔργων ἢ καὶ τὴν ἐνέργειαν καὶ τὴν συγκατάθεσιν καὶ τὰς προλήψεις τῶν μνημῶν καὶ τὰς ψιλὰς φαντασίας ἀποσκευάζων ἑαυτοῦ, τὴν μὲν γὰρ ἐνέργειαν διὰ τῆς ἐγκρατείας, τὴν δὲ συγκατάθεσιν διὰ τῆς προσοχῆς καὶ τῆς τῶν λογισμῶν παραφυλακῆς, τὰς δὲ προλήψεις διὰ τῆς ἐμμελοῦς ἀναγνώσεως, τὰς δὲ φαντασίας διὰ τῆς ἐκτενοῦς προσευχῆς. Ἢ τὴν πρακτικὴν λέγει καὶ φυσικὴν καὶ θεολογικὴν καὶ εὐκτικήν· ἡ γὰρ εὐκτικὴ τῆς θεολογίας ἐστὶν ὑψηλοτέρα· ἡ μὲν γὰρ ἐκ τῶν γεγονότων τὸ Θεῖον θεολογεῖ, ἡ δὲ αὐτῷ συνάπτει ἀγνώστως καὶ ἀπορρήτως τὴν ψυχὴν τῷ Θεῷ.

ΕΡΩΤΗΣΙΣ 47

Τί σημαίνει τὸ ἐν τῇ ᾠδῇ Μωσέως γεγραμμένον «ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας», καὶ τίς ὁ οἶνος ὃν οὐ

---

42. Λουκᾶ 19,1–10. 43. Ρωμ. 8,6.

ΕΡΩΤΗΣΗ 46

Τί σημαίνει ὁ τελώνης Ζακχαῖος τοῦ Εὐαγγελίου καὶ τί τὰ σχετικὰ μ' αὐτόν[42];

ΑΠΟΚΡΙΣΗ

Ὁ τελώνης Ζακχαῖος εἶναι αὐτὸς ποὺ εἰσπράττει φόρο ἀπὸ τὴ κτίση τοῦ Θεοῦ γιὰ δική του ἀπόλαυση. Ἀκούει ὅμως ὅτι ὁ Λόγος περνᾶ κι ἀνεβαίνει πάνω στὴ μουριὰ ὅταν γεννηθεῖ μέσα του ὁ λόγος τῆς μετάνοιας· πείθει δηλαδὴ τὸν ἑαυτό του νὰ ὑψωθεῖ πάνω ἀπὸ τὸ φρόνημα τῆς σάρκας[43]· γιατὶ αὐτὸ εἶναι ἡ συκομορέα. Ἀπὸ ἐκεῖ θὰ δεῖ εὔκολα τὸ Λόγο καὶ θ' ἀκούσει τὸ «κατέβα γρήγορα»[44]· δηλαδή, 'ἂν ποθεῖς νὰ μὲ δεχτεῖς ὁλόκληρο μέσα στὸ σπίτι σου, μὴ νομίσεις πὼς φτάνει νὰ ὑψωθεῖς μόνο πάνω ἀπὸ τὸ σαρκικὸ φρόνημα, ἀλλὰ βάδισε μαζί μου καὶ μὲ τὴ συνοδεία τῶν ἀρετῶν'. Ἡ δήλωση «ἀποδίδω στὸ τετραπλάσιο»[45] δηλώνει αὐτό· ἢ ὅτι ἀποδίδει χρησιμοποιώντας κάθε μιὰ ἀπὸ τὶς τέσσερις ἀρετὲς σὰν κατόρθωση τῶν ἀγαθῶν ἔργων ἢ καὶ τὴν ἐνέργεια καὶ τὴ συγκατάθεση καὶ τὶς ἐντυπώσεις καὶ τὶς ψιλὲς φαντασίες ἀπομακρύνοντας ἀπὸ ἐπάνω του, τὴν ἐνέργεια μὲ τὴν ἐγκράτεια, τὴ συγκατάθεση μὲ τὴν προσευχὴ καὶ τὴν ἐπαγρύπνηση τῶν λογισμῶν, τὶς ἐντυπώσεις μὲ τὴν προσεκτικὴ ἀνάγνωση, ἐνῶ τὶς φαντασίες μὲ τὴν ἐκτενὴ προσευχή. Ἢ ἐννοεῖ τὴν πρακτικὴ καὶ φυσικὴ καὶ θεολογικὴ καὶ εὐκτική· γιατὶ ἡ εὐκτικὴ εἶναι ὑψηλότερη ἀπὸ τὴ θεολογία· ἡ θεολογία δηλαδὴ μιλάει γιὰ τὸ θεῖο ἀπὸ ὅσα ἔγιναν, ἐνῶ ἡ εὐκτικὴ συνάπτει μὲ τρόπο ἄγνωστο κι ἀπόρρητο τὴν ψυχὴ μὲ τὸ Θεό.

ΕΡΩΤΗΣΗ 47

Τί σημαίνει αὐτὸ ποὺ ἔχει γραφεῖ στὴν ᾠδὴ τοῦ Μωυσῆ «τὸ ἀμπέλι τους εἶναι ἀπὸ ἀμπέλι τῶν Σοδόμων καὶ τὰ κλήματά τους ἀπὸ τὰ Γόμορρα»[46], ποιό εἶναι τὸ κρασὶ ποὺ δὲν πρέπει νὰ πίνει ὁ Ναζιραῖος, τί εἶναι τὸ

44. Λουκᾶ 19,5. 45. Λουκᾶ 19,8. 46. Δευτ. 32,32.

δεῖ πίνειν τὸν Ναζιραῖον, καὶ τί τὸ ὄξος καὶ τὰ σίκερα καὶ σταφυλὴ καὶ στέμφυλα;

ΑΠΟΚΡΙΣΙΣ

Ἄμπελος Σοδόμων ἐστὶν ἡ ἀλογία· Σόδομα γὰρ ἑρμηνεύεται 'ἐνέωσις', ἤγουν 'τύφλωσις', Γόμορρα δὲ 'παραπικρασμός'· ἀπὸ γὰρ τῆς ἀλογίας ὁ τῆς ἁμαρτίας παραπικρασμὸς καὶ ἡ ἐκστατικὴ τῆς κακίας μέθη τοῦ οἴνου. Ἔνθεν τὸν Ναζιραῖον ἀπέχεσθαι τοῦ τοιούτου οἴνου ὁ λόγος παρεγγυᾷ· Ναζιραῖος δὲ ἑρμηνεύεται 'περιπεφραγμένος'· τὸν γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατησφαλισμένον δέον ἀπέχεσθαι τοῦ τοιούτου τῆς ἀλογίας οἴνου, ἀλλὰ καὶ σταφυλῆς, τουτέστι τοῦ θυμοῦ, καὶ σταφίδος τῆς μνησικακίας –αὕτη γάρ ἐστι θυμοῦ παλαίωσις–, ἀλλὰ καὶ ὄξους, τῆς ἐπὶ ἀστοχίᾳ τῶν καθ' ἡδονὴν λύπης, καὶ τοῦ σίκερα, τοῦ ἐπὶ τῇ ἀμύνῃ τῶν πέλας ἥδοντος –γλυκέα γὰρ πάντα τὰ σίκερα–, ἀλλ' οὐδὲ τὰ στέμφυλα, τὰ ἐπινοητικὰ καὶ συστατικὰ εἴδη τῆς κακίας. Ἀλλ' οὐδὲ τὴν τρίχα ὁ τοιοῦτος κείρεται, τουτέστι τοὺς διαφόρους τοῦ νοῦ συστατικοὺς καὶ κόσμον αὐτῷ παρέχοντας λογισμούς. Διὰ τοῦτο Σαμψὼν –ἑρμηνεύεται δὲ ψιλούμενος 'εἰκάζων εἰκασίαν', δασυνόμενος δὲ 'ἥλιος αὐτῶν'– ἡνίκα ἐπὶ τὸν μηρὸν τῆς Δαλιδᾶς ἀνεπάη, τουτέστιν ἐπὶ τὸ παθητικὸν τῆς ἡδονῆς μέρος ἔρριψεν, ἀφῃρέθη τὰς τρίχας, τοὺς λογισμοὺς δηλαδή, τουτέστιν ἰσχὺν αὐτοῦ διδόντας κατὰ τῶν παθῶν, καὶ γέγονε παίγνιον δαιμόνων, τυφλωθεὶς τοὺς δύο ὀφθαλμούς, πρακτικῆς φημι καὶ θεωρητικῆς γνώσεως.

ΕΡΩΤΗΣΙΣ 48

Τί ἐστιν κατὰ τὸν Ἀπόστολον «περιζωσάμενοι τὴν

---

47. Ἀριθμ. 6,3–4. 48. Ἀριθμ. 6,3.
49. Ἀριθμ. 6,5. 50. Κριτ. 16,19.

ξίδι, τὰ σίκερα, τὰ οἰνοπνευματώδη, τὸ σταφύλι καὶ τὰ στέμφυλα[47].

ΑΠΟΚΡΙΣΗ

'Αμπέλι τῶν Σοδόμων εἶναι ὁ παραλογισμός· γιατὶ Σόδομα ἑρμηνεύονται 'ἐνέωση' δηλαδὴ τύφλωση, καὶ Γόμμορα 'παραπικρασμός'. 'Από τὸν παραλογισμὸ δηλαδὴ προέρχεται ὁ παραπικρασμὸς τῆς ἁμαρτίας καὶ ἡ μέθη τοῦ κρασιοῦ ποὺ ἐρεθίζει τὴν κακία. 'Εξαιτίας αὐτοῦ ὁ λόγος προστάζει τὸν Ναζιραῖο ν' ἀπέχει ἀπὸ τὸ κρασὶ αὐτό. Ναζιραῖος ἑρμηνεύεται 'περιφραγμένος'. Αὐτὸς δηλαδὴ ποὺ εἶναι ἀσφαλισμένος ἀπὸ τὸ νόμο τοῦ Θεοῦ πρέπει ν' ἀπέχει ἀπὸ τὸ κρασὶ αὐτὸ τοῦ παραλογισμοῦ, ἀλλὰ κι ἀπὸ τὸ σταφύλι, δηλαδὴ τὸ θυμό, καὶ τὴ σταφίδα τῆς μνησικακίας[48] –γιατὶ αὐτὴ εἶναι τὸ πάλιωμα τοῦ θυμοῦ– ἀλλὰ κι ἀπὸ ξίδι, τὴ λύπη δηλαδὴ γιὰ τὴν ἀποτυχία τῆς ἡδονῆς, κι ἀπὸ τὰ οἰνοπνευματώδη, ἀπὸ τὴν εὐχαρίστηση δηλαδὴ τῆς ἀπόκρουσης τῶν φίλων –γιατὶ ὅλα τὰ οἰνοπνευματώδη εἶναι γλυκὰ ποτά, ἀλλὰ οὔτε τὰ στέμφυλα, τὰ διάφορα πράγματα ποὺ συντελοῦν στὴν ἐπινόηση καὶ σύσταση τῆς κακίας. 'Επίσης ὁ ἄνθρωπος αὐτὸς δὲν κουρεύει οὔτε τὰ μαλλιά του[49], τοὺς διάφορους δηλαδὴ λογισμοὺς ποὺ συνιστοῦν τὸ νοῦ καὶ τὸν στολίζουν. Γι' αὐτὸ ὁ Σαμψὼν – ποὺ ἑρμηνεύεται κουρεμένος 'εἰκάζοντας εἰκασία', καὶ ὅταν εἶχε μαλλιὰ 'ὁ ἥλιος αὐτῶν' – ὅταν ἔγειρε πάνω στὸ μηρὸ τῆς Δαλιδᾶς[50], δηλαδὴ ὅταν ἔπεσε στὸ παθητικὸ μέρος τῆς ἡδονῆς, ἔχασε τὰ μαλλιά του, δηλαδὴ τοὺς λογισμούς του, ποὺ τοῦ ἔδιναν δύναμη κατὰ τῶν παθῶν[51] κι ἔγινε παίγνιο τῶν δαιμόνων, ἀφοῦ τυφλώθηκε[52] καὶ στὰ δυό του μάτια, ἐννοῶ τὴν πρακτικὴ καὶ τὴ θεωρητικὴ γνώση.

ΕΡΩΤΗΣΗ 48

Τί σημαίνει κατὰ τὸν 'Απόστολο «ζώνοντας γύρω–γύ-

51. Κριτ. 16,17.
52. Κριτ. 16,27· 16,21.

ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ» καὶ τὰ λοιπὰ ὅπλα τῆς πνευματικῆς παρατάξεως;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ «περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ» καλῶς ὁ τῆς θεολογίας ἐπώνυμος ἑρμήνευσε Γρηγόριος, φάσκων «μήποτε ὡς τὸ ἐπιθυμητικὸν τοῦ θεωρητικοῦ περισφίγγοντος». Τὸ δὲ «ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης» ἐστὶν ἐπειδὴ ἡ δικαιοσύνη ἕξις ἀπονεμητικὴ τοῦ ἴσου ἐστίν, δεῖ δὲ τὰς ἐν ἡμῖν τῆς ψυχῆς τρεῖς δυνάμεις ἰσοστατεῖν καὶ διὰ τούτων τὰς τέσσαρας γενικὰς ἀρετὰς ἰσοκρατῶς συνίστασθαι –τοῦτο γὰρ δικαιοσύνη– καὶ διὰ μὲν τῆς φρονήσεως τὸ λογικὸν κινούμενον πρὸς τὴν τῶν ὄντων ἐπίσκεψιν δίκην ἀλυσιδωτοῦ θώρακος λόγον ἀποδεσμεῖ λόγῳ· ὡσαύτως καὶ σωφροσύνης καὶ τῶν λοιπῶν τοὺς διαφόρους λόγους ἐν τῷ ἑνὶ συνάπτοντα χρὴ κατασφαλίζειν ἑαυτὸν πρὸς τὸ μὴ τιτρώσκεσθαι ὑπὸ τῶν πεμπομένων ὑπὸ τοῦ ἐχθροῦ βελῶν. «Θυρεὸν» δὲ «πίστεως» δεῖ νοεῖν «τὴν ἐν τῷ σώματι» περιφερόμενην «τοῦ Ἰησοῦ νέκρωσιν»· ἐκ ξύλου γὰρ καὶ βύρσης κατεσκευασμένος ὁ θυρεός, τὸ τοῦ σταυροῦ μυστήριον ἡμῖν ὑπαινίσσεται καὶ «τὴν ἐν τῷ σώματι νέκρωσιν»· τοῖς γὰρ κεκτημένοις ταῦτα «θυρεὸς πίστεως» γίνονται.

Τὸ δὲ «ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης» οὕτω χρὴ νοεῖν· ἐπειδὴ «Εὐαγγέλιον εἰρήνης» τὸ χάρισμα τῆς ἀπαθείας εἶναι ὑπενοήσαμεν, τῷ οὖν μήπω εἰς αὐτὸ καταντήσαντι ὁ Ἀπόστολος παρακελεύεται πρὸς ἑτοιμασίαν τοῦ τοιούτου χαρίσματος τὰς βάσεις τῆς ψυχῆς τῇ νεκρότητι τοῦ σώματος ὑποδεδέσθαι· οὕτω γὰρ ὑπὸ τῆς ἀκάνθης τῶν παθῶν ἄπληκτος διαμένει καὶ ὑπὸ τῶν ὄφεων καὶ σκορπίων, τῶν πονηρῶν φημι λογισμῶν, ἄτρωτος. «Περικε-

---

53. Ἐφ. 6,14.

54. Γρηγορίου Θεολογου, *Λόγος 45, Εἰς τὸ ἅγιον Πάσχα* 18, (PG 36,649A9–10), καὶ Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, Ἅπαντα Γρηγορίου τοῦ Θεολόγου, τόμ. 5, σ. 192,8–9.

ρω τὴ μέση σας μὲ τὴν ἀλήθεια»[53] καὶ τὰ ὑπόλοιπα ὅπλα τῆς πνευματικῆς παράταξης;

ΑΠΟΚΡΙΣΗ

Τὸ «ἀφοῦ ζώσετε τὴ μέση σας μὲ τὴν ἀλήθεια» τὸ ἑρμήνευσε ὀρθὰ ὁ ἐπώνυμος τῆς θεολογίας Γρηγόριος[54] 'χωρὶς ποτὲ νὰ περιορίζει ἡ θεωρητικὴ δύναμη τὴν ἐπιθυμία', ἐνῶ τὸ «ἀφοῦ ντυθεῖτε τὸ θώρακα τῆς δικαιοσύνης»[55] σημαίνει τοῦτο· ἐπειδὴ ἡ δικαιοσύνη εἶναι ἡ ἰδιότητα ποὺ ἀπονέμει τὸ ἴσο καὶ ὁ τρεῖς δυνάμεις τῆς ψυχῆς μας πρέπει νὰ ἰσοζυγίζουν καὶ μ' αὐτὲς οἱ τέσσερες γενικὲς ἀρετὲς νὰ εἶναι ἰσοδύναμες –γιατὶ αὐτὸ εἶναι ἡ δικαιοσύνη– καὶ μὲ τὴ φρόνηση λειτουργώντας τὸ λογικὸ γιὰ τὴν ἐξέταση τῶν ὄντων σὰν ἁλυσιδωτὸς θώρακας ἀποδεσμεύει τὸ λόγο μὲ τὸ λόγο· ὅμοια συνάπτοντας μέσα στὸ ἕνα τοὺς διάφορους λόγους τῆς σωφροσύνης καὶ τῶν λοιπῶν ἀρετῶν, πρέπει νὰ ἀσφαλίζει τὸν ἑαυτό του ὥστε νὰ μὴν τὸν πληγώνουν τὰ βέλη ποὺ ρίχνει ὁ ἐχθρός. Θυρεὸ (ἀσπίδα)[56] τῆς πίστης πρέπει νὰ ἐννοοῦμε τὴ νέκρωση γιὰ χάρη τοῦ Ἰησοῦ ποὺ πιάνει τὸ σῶμα. Γιατὶ ἡ ἀσπίδα καμωμένη ἀπὸ ξύλο καὶ δέρμα μᾶς ὑποδηλώνει τὸ μυστήριο τοῦ σταυροῦ καὶ τὴ νέκρωση τοῦ σώματος[57]. Ὅποιοι διαθέτουν αὐτὰ τὰ δύο, τοὺς γίνονται θυρεοὶ τῆς πίστης[58].

Τὸ λόγο πάλι «φορώντας ὑποδήματα στὰ πόδια γιὰ νὰ εἶστε ἕτοιμοι γιὰ τὸ Εὐαγγέλιο τῆς εἰρήνης»[59] πρέπει νὰ τὸν ἐννοήσομε ὡς ἑξῆς· ἐπειδὴ ὑπαινιχθήκαμε ὅτι «εὐαγγέλιο τῆς εἰρήνης» εἶναι τὸ χάρισμα τῆς ἀπάθειας, αὐτὸν ποὺ δὲν τὸ ἔχει φτάσει ἀκόμα ὁ Ἀπόστολος τὸν προτρέπει γιὰ νὰ εἶναι ἕτοιμος γιὰ τὸ χάρισμα αὐτὸ νὰ φορέσει τὶς βάσεις τῆς ψυχῆς μὲ τὴ νεκρότητα τοῦ σώματος. Γιατὶ ἔτσι θὰ μείνει ἀπλήγωτος ἀπὸ τ' ἀγκάθια τῶν παθῶν καὶ ἄτρωτος ἀπὸ τὰ φίδια καὶ τοὺς σκορπιούς[60], ἐννοῶ τοὺς πονηροὺς λογισμούς. «Σωτήρια περικεφα-

55. Ἐφ. 6,14. 56. Ἐφ. 6,16. 57. Β' Κορ. 4,10.
58. Ἐφ. 6,16. 59. Ἐφ. 6,15.
60. Λουκᾶ 10,19.

φαλαία» δὲ «σωτηρίου» ἐστὶν ἡ ἐλπίς· ἐπειδὴ γὰρ ἡ αἰσθητὴ περικεφαλαία ἐστὶν ἡ κάσσις, ἐκ χαλκοῦ ἔχουσα τὴν κατασκευήν, ὁ δὲ χαλκὸς στιβαρὸς καὶ στίλβων καὶ μὴ δεχόμενος μείωσίν ἐστιν, ἡ δὲ κεφαλὴ τὴν πίστιν δηλοῖ, δεῖ νοεῖν ὅτι ἡ κατασφαλιζομένη τὴν πίστιν ἐστὶν ἡ ἐλπίς· αὕτη γὰρ στερρὰ καὶ ἀμείωτος οὖσα, οὐκ ἐᾷ τὴν πίστιν παραβλάπτεσθαι. Πάντα γὰρ ἐλπίζει καὶ οὐκ ἐξίσταται τῆς περὶ Θεὸν πεποιθήσεως, ἀλλ' εἰ καὶ δοξάζει κατὰ τὸν Ἰὼβ τοῖς πολλοῖς ἰοῦ δίκην ἐξουδενοῦσθαι, ἀλλ' ἔνδον ὁ τοιοῦτος στίλβων ἐστὶν καὶ φαιδρός, τῇ ἐλπίδι γαννύμενος.

Ἡ δὲ «μάχαιρα τοῦ Πνεύματός» ἐστιν ἡ διάκρισις «ἡ διαιροῦσα τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος»· ταύτην δὲ μετὰ χεῖρας ἔχειν ἀεὶ ὁ Ἀπόστολος παραγγέλλει, τουτέστι διὰ τῆς πράξεως ἀεὶ ἐνεργὸν ἔχοντας μεταχειρίζεσθαι· ὡς γὰρ ἡ ἐκ σιδήρου μαχαίρα ἀεὶ χειριζομένη φοβερὰ τοῖς ὑπεναντίοις ἐστίν, εἰ δὲ ἀποτεθῇ καὶ ἀργήσῃ, τῷ ἰῷ δαπανᾶται, οὕτω καὶ ἡ διάκρισις, εἰ μὴ συνῆπται τῇ πράξει, ἀνόνητός ἐστιν καὶ ἄχρηστος καὶ ὑπὸ τῆς κακίας δαπανᾶται.

ΕΡΩΤΗΣΙΣ 49

Τί σημαίνει Δωὴκ ὁ Σύρος ὁ φονεύσας τοὺς τριακοσίους πεντήκοντα ἱερεῖς;

ΑΠΟΚΡΙΣΙΣ

Δωὴκ ὁ Σύρος 'ὁ ὑπερήφανός' ἐστιν 'λογισμὸς' ἢ 'τὸ τῶν παθῶν σάλος', κατὰ τὴν τοῦ ὀνόματος ἑρμηνείαν. Καὶ εἰκότως τὰς ἡμιόνους βόσκει ὁ τοιοῦτος Σαούλ, τὴν ἄγονον τῆς ἀρετῆς ἕξιν. Καὶ ἀντίκειται τῷ Δαυΐδ, τῷ λογισμῷ τῆς ταπεινώσεώς

---

61. Ἐφ. 6,17. 62. Ἐφ. 6,17.

63. Γρηγορίου Θεολόγου, *Λογος 39. Εἰς τὰ Ἅγια Φῶτα* 15 (PG 36,352D5-6), Γρηγορίου Θεολόγου, Ἅπαντα τὰ ἔργα, Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, τόμ. 5, σ. 102,2-3.

λαία»[61] εἶναι ἡ ἐλπίδα· ἐπειδὴ δηλαδὴ ἡ αἰσθητικὴ περικεφαλαία εἶναι ἡ κάσσις (τὸ κράνος) κατασκευασμένη ἀπὸ χαλκὸ καὶ ὁ χαλκὸς εἶναι βαρὺς καὶ γυαλίζει καὶ δὲν δέχεται μείωση, καὶ τὸ κεφάλι ἐξάλλου δηλώνει τὴν πίστη, πρέπει νὰ ἐννοήσομε ὅτι ἡ ἀσφάλεια τῆς πίστης εἶναι ἡ ἐλπίδα. Γιατί, ὄντας αὐτὴ στερεὴ κι ἀπαραμείωτη, δὲν ἀφήνει τὴν πίστη νὰ παραβλέπει. Ἐλπίζει δηλαδὴ γιὰ ὅλα καὶ δὲν ἀπομακρύνεται ἀπὸ τὴν ἐμπιστοσύνη της στὸ Θεό, ἀλλά, ἂν καὶ οἱ πολλοί, σύμφωνα μὲ τὸν Ἰώβ, θεωροῦν καλὸ νὰ τὸν ἀφανίζουν ὅπως τὴ σκουριά, ἀπὸ μέσα ὁ ἄνθρωπος αὐτὸς ἀστράφτει καὶ φεγγοβολᾶ, λάμποντας ἀπὸ τὴν ἐλπίδα.

Ἡ μάχαιρα τοῦ Πνεύματος[62] εἶναι ἡ διάκριση ποὺ διαχωρίζει τὸ καλύτερο ἀπὸ τὸ χειρότερο[63]· τὴ μάχαιρα αὐτὴν παραγγέλει ὁ Ἀπόστολος νὰ τὴν ἔχομε πάντοτε στὸ χέρι, μὲ τὴν πράξη μας δηλαδὴ νὰ τὴν ἔχομε πάντοτε σ' ἐνέργεια καὶ νὰ τὴν χρησιμοποιοῦμε. Γιατί, ὅπως τὸ σιδερένιο ξίφος ὅταν τὸ χειρίζεται κάποιος συνεχῶς γίνεται φοβερὸ γιὰ τοὺς ἀντίπαλους, ἂν ὅμως μπεῖ στὸ θηκάρι του κι ἀδρανήσει καταστρέφεται ἀπὸ τὴ σκουριά, ἔτσι καὶ ἡ ἀρετὴ τῆς διάκρισης, ἂν δὲν ἔχει ἑνωθεῖ μὲ τὴν πράξη, εἶναι ἀνώφελη καὶ ἄχρηστη καὶ καταστρέφεται ἀπὸ τὴν κακία.

ΕΡΩΤΗΣΗ 49

Τί σημαίνει ὁ Δωὴκ ὁ Σύρος ποὺ φόνευσε τοὺς τριακόσιους πενήντα ἱερεῖς[64];

ΑΠΟΚΡΙΣΗ

Ὁ Δωὴκ ὁ Σύρος εἶναι 'ὁ ὑπερήφανος λογισμὸς' ἢ 'ὁ σάλος τῶν παθῶν' σύμφωνα μὲ τὴν ἑρμηνεία τῆς λέξης. Καὶ εἶναι πολὺ εὔλογο νὰ βόσκει καὶ ἡμιόνους[65] αὐτὸς ὁ Σαούλ, τὴν ἄγονη δηλαδὴ κατοχὴ τῆς ἀρετῆς. Καὶ εἶναι ἀντίθετος στὸ Δαβίδ,

64. Α' Βασ. 22,18.
65. Α' Βασ. 21,8.

φημι· Δαυΐδ γὰρ κατὰ μίαν τοῦ ὀνόματος αὐτοῦ ἑρμηνείαν 'ἐξουδενωμένος' ἑρμηνεύεται. Οὗτος φονεύει τοὺς ἱερεῖς Νόμβα, τουτέστι τοὺς ἐγκαθημένους τῇ ἀρετῇ θείους ἱλαστικοὺς λογισμοὺς –Νόμβα γὰρ 'ἐγκαθισμὸς' ἑρμηνεύεται–, τριακοσίους δὲ πεντήκοντα, ἐπειδὴ διὰ τῶν αἰσθήσεων προσβάλλοντες τῇ κτίσει τοῦ Θεοῦ τῇ ἐν ἓξ ἡμέραις γεγενημένῃ, τὸν ταύτης δημιουργὸν ὑπερθαυμάζοντες δοξάζομεν διὰ τῆς τῶν λογισμῶν ἐπιστημονικῆς γνώσεως· ἑξάκις δὲ πεντήκοντα ποιεῖ τὸν τριακόσια ἀριθμόν· πάλιν δὲ τὰς δέκα ἐντολὰς τοῦ νόμου διὰ τῶν αἰσθήσεων ἐκπληροῦντες ἀποτελοῦμεν τὸν πεντήκοντα. Τοὺς λογισμοὺς οὖν τοὺς ἐκ τούτων ἱερουργοῦντας τῷ Θεῷ καὶ τῇ ἀρετῇ ἐγκαθημένους ἀποκτέννειν πέφυκεν ὁ ὑπερήφανος λογισμὸς ἢ καὶ ὁ τῶν παθῶν σάλος.

ΕΡΩΤΗΣΙΣ 50

Πῶς χρὴ νοεῖν τὸ ἐν τῷ Συμβόλῳ λεγόμενον «σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου»;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν ἁγίων ὅτι ἐκ Πνεύματος μὲν ἁγίου δίκην γονῆς ἀνδρὸς τὴν ψυχὴν καταβληθῆναι, τὴν δὲ σάρκα διαπλασθῆναι ἐκ τῶν παρθενικῶν αἱμάτων.

ΕΡΩΤΗΣΙΣ 51

Τί ἐστιν τὸ τῶν Παροιμιῶν «χειρὶ χεῖρα ἐμβαλὼν οὐκ ἀθῳωθήσεται»;

ΑΠΟΚΡΙΣΙΣ

Πράξει ἐναρέτῳ ὁ πρᾶξιν μίσγων φαύλην «οὐκ ἀθῳωθήσεται».

---

66. Α' Βασ. 22,19. 67.. Παρμ. 16,5.

ἐννοῶ στὸ λογισμὸ τῆς ταπείνωσης. Γιατὶ τὸ ὄνομα Δαβὶδ σύμφωνα μὲ μιὰ ἑρμηνεία τοῦ ὀνόματός του σημαίνει 'ἐξουδενωμένος'. Αὐτὸς φονεύει τοὺς ἱερεῖς Νόμβα[66], δηλαδὴ τοὺς θείους καὶ ἐξιλαστήριους λογισμοὺς ποὺ εἶναι ἐγκαταστημένοι στὴν ἀρετὴ –γιατὶ Νόμβα ἑρμηνεύεται 'ἐγκατάσταση'–, καὶ οἱ ἱερεῖς εἶναι τριακόσιοι πενήντα ἐπειδή, ἀντικρύζοντας μὲ τὶς αἰσθήσεις τὴν κτίση τοῦ Θεοῦ ποὺ ἔγινε σὲ ἕξι ἡμέρες, θαυμάζομε ἄμετρα τὸν δημιουργό της μὲ τὴν σίγουρη γνώση τῶν λογισμῶν· ἕξι φορὲς πάλι τὸ πενήντα κάνει τὸν ἀριθμὸ τριακόσια, κι ἀκόμα ὅταν πολλαπλασιάσομε τὶς δέκα ἐντολὲς τοῦ νόμου μὲ τὶς (πέντε) αἰσθήσεις κάνομε τὸν ἀριθμὸ πενήντα. Τοὺς λογισμοὺς λοιπὸν ποὺ ἀπὸ αὐτοὺς προσφέρουν τὴν ἱερὴ ὑπηρεσία τους στὸ Θεὸ καὶ ποὺ εἶναι ἐγκαταστημένοι στὴν ἀρετή, τοὺς φονεύει ὡς ἀπὸ τὴ φύση του ὁ ὑπερήφανος λογισμὸς ἢ καὶ τῶν παθῶν ὁ σάλος.

ΕΡΩΤΗΣΗ 50

Πῶς πρέπει νὰ ἐννοοῦμε αὐτὸ ποὺ λέγεται στὸ Σύμβολο τῆς πίστεως «σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου»;

ΑΠΟΚΡΙΣΗ

Μερικοὶ ἀπὸ τοὺς ἁγίους λένε ὅτι τὸ ἅγιο Πνεῦμα ἔβαλε τὴν ψυχὴ σὰν σπέρμα ἀνδρός, ἐνῶ ἡ σάρκα διαπλάσθηκε ἀπὸ τὰ παρθενικὰ αἵματα.

ΕΡΩΤΗΣΗ 51

Τί σημαίνει ὁ λόγος τῶν Παροιμιῶν, «δὲ θὰ ἀθωωθεῖ αὐτὸς ποὺ θὰ δώσει τὸ χέρι του στὸν ἄλλο»[67];

ΑΠΟΚΡΙΣΗ

Ὅποιος ἀναμίξει μιὰ πράξη ἀρετῆς μὲ πράξη φαύλη δὲ θὰ κριθεῖ ἀθῶος.

ΕΡΩΤΗΣΙΣ 52

Ἐκ τῶν αὐτῶν· «μὴ ἐγγυήσῃς σὸν φίλον· εἰ γὰρ μὴ ἔχεις» ἀποδοῦναι, «λήψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου».

ΑΠΟΚΡΙΣΙΣ

Φίλον λέγει τὸ σῶμα διὰ τὴν πρὸς αὐτὸ τῆς ψυχῆς σχέσιν· τοῦτο μὴ ἐγγυᾶσθαί φησιν, τουτέστι μὴ φειδοῦς ἀξιοῦν, μηδὲ τοὺς ὑπὲρ ἀρετὴν πόνους ἀποδιδόναι ὀφείλοντα, τὴν ἄνεσιν ἐᾶν μεταδιώκειν. Εἰ γὰρ τῇ ἀσκήσει προσανέχων ὁ νοῦς ἄρξηται ὑπενδιδόναι, μὴ εὑρίσκων ἀποδοῦναι ὁ νοῦς τὸν ὑπὲρ ἀρετῆς λόγον, λαμβάνουσιν οἱ δαίμονες καὶ εἰς ἃ ἐπανεπαύετο ἀσκήσεις ἐξ αὐτοῦ· τοῦτο γὰρ δηλοῖ τὸ στρῶμα.

ΕΡΩΤΗΣΙΣ 53

Τί δηλοῖ τὸ Ἡσαΐου ῥητόν, «τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί;».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ τὸν προφήτην Ἀμβακοὺμ «ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ» τοῦ Κυρίου, τουτέστιν ἡ κατὰ σάρκα αὐτοῦ πολιτεία τὴν τῶν ἐν οὐρανοῖς ἀγγέλων ἀρετήν, αὐτὸς τῇ πράξει –τοῦτο γὰρ ἡ χεὶρ– ἐμέτρησε πᾶσαν τὴν γνῶσιν, ὕδωρ τροπικῶς ὀνομασθεῖσαν· ἡ γὰρ ἑνωθεῖσα τῷ Λόγῳ φύσις πᾶσαν τὴν γνῶσιν κατείληφεν. «Τὸν» δὲ «οὐρανὸν σπιθαμῇ»· οὐρανὸν λέγων τὸν ὑψηλότερον τῶν ὄντων Λόγον, σπιθαμὴν δὲ τὴν μετὰ πράξεως ἐκτεταμένην γνῶσιν τῶν αἰσθήσεων διὰ τὸ πέντε δακτύλοις ἔχειν τὴν χεῖρα· τούτους οὖν τοὺς λόγους ἐνανθρωπή-

---

68. Παρμ. 6,1· 22,27.
69. Ἠσ. 40,12.

ΕΡΩΤΗΣΗ 52

Ἀπὸ τὶς Παροιμίες πάλι· «μὴν ἐγγυηθεῖς γιὰ τὸ φίλο σου· ἂν δὲν μπορέσεις νὰ πληρώσεις θὰ σοῦ πάρουν τὸ στρῶμα ὅπου πλαγιάζεις»[68].

ΑΠΟΚΡΙΣΗ

Φίλο λέει τὸ σῶμα ἐξαιτίας τῆς σχέσης μὲ αὐτὸ τῆς ψυχῆς. Νὰ μὴν ἐγγυηθεῖς, λέει, γι' αὐτό, δηλαδὴ νὰ μὴν τὸ κρίνεις ἄξιο γιὰ τὸ ἐνδιαφέρον σου, οὔτε ἂν ὀφείλεις ν' ἀποδώσεις τοὺς μόχθους γιὰ τὴν ἀρετή, νὰ τὸ ἀφήνεις νὰ ἐπιδιώκει τὴν ἄνεση. Γιατί, ἂν ὁ νοῦς πραγματοποιώντας τὴν ἄσκηση ἀρχίσει νὰ ὑποχωρεῖ, μὴ βρίσκοντας ὁ νοῦς ν' ἀνταποδώσει τὸ λόγο γιὰ τὴν ἀρετή, ἀφαιροῦν οἱ δαίμονες ἀπὸ αὐτὸν ἀκόμα καὶ τὶς ἀσκήσεις μὲ τὶς ὁποῖες ἀναπαυόταν· γιατὶ αὐτὸ δηλώνει τὸ στρῶμα.

ΕΡΩΤΗΣΗ 53

Τί σημαίνει ὁ λόγος τοῦ Ἠσαΐα, «ποιός μέτρησε μὲ τὸ χέρι του τὸ νερό, μὲ τὴ σπιθαμή του τὸν οὐρανὸ καὶ μὲ τὴ φούχτα του ὅλη τὴ γῆ»[69];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ κατὰ τὸν προφήτη Ἀββακοὺμ «ἡ ἀρετὴ τοῦ Κυρίου σκέπασε τοὺς οὐρανούς»[70], δηλαδὴ ἡ κατὰ σάρκα πολιτεία του σκέπασε τὴν ἀρετὴ τῶν ἀγγέλων στοὺς οὐρανούς, αὐτὸς μὲ τὴν πράξη –γιατὶ αὐτὸ εἶναι τὸ χέρι– μέτρησε ὅλη τὴ γνώση, ποὺ μεταφορικὰ εἰπώθηκε νερό· γιατὶ ἡ φύση, ἀφοῦ ἑνώθηκε μὲ τὸ Λόγο, ἔχει καταλάβει ὅλη τὴ γνώση. «Καὶ μέτρησε μὲ τὴ σπιθαμή του τὸν οὐρανό»[71]· οὐρανὸ λέει τὸν ὑψηλότερο ἀπὸ τα ὄντα λόγο καὶ σπιθαμὴ ἐννοεῖ τὴ γνώση τῶν αἰσθητῶν ποὺ παρακολουθεῖ τὴν πράξη, ἐπειδὴ τὸ χέρι ἔχει πέντε δάχτυλα. Αὐτοὺς λοιπὸν τοὺς λόγους μέτρησε ὅταν ὁ Κύριος ἐνανθρώπησε

70. Ἀββακ. 3,3. 71. Ἠσ. 40,12.

σας ὁ Κύριος ἐξεμέτρησεν «ἀνακεφαλαιωσάμενος τὰ πάντα ἐν αὐτῷ». Τὸ δὲ «πᾶσαν τὴν γῆν δρακὶ» τοῦτο δηλοῖ, ὅτι οὕτως ὁ Κύριος τὴν ἑαυτοῦ σάρκα, γηΐνην οὖσαν, περιέσφιγξεν, ὡς μηδὲ τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη μὴ ἐφιέντος αὐτοῦ ἐνεργεῖν.

ΕΡΩΤΗΣΙΣ 54

Τίς ὁ Ἐζεκίας καὶ τίς ἡ ἀσθένεια καὶ τίς ἡ παλάθη ἐξ ἧς ἰάθη τὸ τραῦμα;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Ἐζεκίας εἰς πρόσωπον λαμβάνεται τῆς ἀνθρωπότητος, τὸ δὲ τραῦμα τὸ ἐν τῷ μηρῷ σημαίνει τὸν νόμον τῆς ἁμαρτίας, διὰ τὸ παρακεῖσθαι τῷ μηρῷ τὰ γεννητικὰ μέρη· ἡ δὲ παλάθη ἐστὶν ἡ σὰρξ ἡ ζωοποιὸς τοῦ Κυρίου, μὴ ἔχουσα ὀπὸν ἁμαρτίας, ἐξ ἧς ἴασις ἡμῖν γέγονε τῆς πληγῆς τῆς παραβάσεως.

ΕΡΩΤΗΣΙΣ 55

Τί σημαίνει τὸ ἐκπεσὸν σίδηρον ἐν τῷ Ἰορδάνῃ ἀφ' ἑνὸς τῶν υἱῶν τῶν προφητῶν, ὅπερ ὁ προφήτης Ἐλισσαῖος ἐμβαλὼν ξύλον, ἐπιπολάσαι πεποίηκεν;

ΑΠΟΚΡΙΣΙΣ

Εἰρηναῖος λέγει «δι' ἔργου» δεῖξαι τὸν προφήτην ἐν τῷ ἀναγαγεῖν τὸ σιδήριον, ὅτι «τὸν στερεὸν λόγον τοῦ Θεοῦ, ὃν ἀμελῶς ἀποβαλόντες οὐχ εὑρίσκομεν, ἀποληψόμεθα πάλιν διὰ τῆς τοῦ ξύλου οἰκονομίας. Ὅτι δὲ ἀξίνῃ ἔοικεν ὁ λόγος τοῦ Θεοῦ, διδάσκει Ἰωάννης ὁ Βαπτιστὴς λέγων, 'ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται', καὶ Ἰερεμίας δὲ λέγων, 'ὁ λόγος Κυρίου ὡς πέλεκυς κόπτων πέτραν'».

---

72. Ἐφ. 1,10. 73. Δ' Βασ. 20,1–7. Ἠσ. 38,1–22.
74. Δ' Βασ. 4–6. 75. Εἰρηναίου, *Κατὰ αἱρέσεων*, V, 17,4.

ἀνακεφαλαιώνοντας ὅλα στὸν ἑαυτό του[72]. Τὸ «ὅλη τὴ γῆ μὲ τὴ φούχτα του», σημαίνει τοῦτο· ὅτι ὁ Κύριος τὴ σάρκα του ποὺ ἦταν γήινη τὴν ἔσφιξε γύρω του μὲ τέτοιο τρόπο, ὥστε οὔτε τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη νὰ δέχεται, χωρὶς νὰ τὸ θέλει.

ΕΡΩΤΗΣΗ 54

Ποιός εἶναι ὁ Ἐζεκίας, ποιά ἡ ἀσθένειά του καὶ τί εἶναι ἡ παλάθη ποὺ θεράπευσε τὸ τραῦμα του[73].

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἐζεκίας ἐκπροσωπεῖ τὴν ἀνθρωπότητα, ἐνῶ τὸ τραῦμα του στὸ μηρὸ σημαίνει τὸ νόμο τῆς ἁμαρτίας, ἐπειδὴ κοντὰ στὸ μηρὸ βρίσκονται τὰ γεννητικὰ μέρη· ἡ παλάθη πάλι εἶναι ἡ σάρκα ἡ ζωοποιὸς τοῦ Κυρίου, ποὺ δὲν ἔχει τὴν ἰκμάδα τῆς ἁμαρτίας, ἀπὸ τὴν ὁποία πραγματοποιήθηκε ἡ ἴαση τῆς πληγῆς ἀπὸ τὴν παράβαση.

ΕΡΩΤΗΣΗ 55

Τί σημαίνει τὸ τσεκούρι ποὺ ξέπεσε ἀπὸ τὸ στειλιάρι του στὸν Ἰορδάνη ἀπὸ κάποιον ἀπὸ τοὺς υἱοὺς τῶν προφητῶν καὶ ποὺ ὁ Ἐλισσαῖος ρίχνοντας μέσα ξύλο τὸ ἔκανε νὰ βγεῖ στὴν ἐπιφάνεια[74];

ΑΠΟΚΡΙΣΗ

Ὁ Εἰρηναῖος λέει[75] ὅτι ὁ προφήτης ἔδειξε ἔμπρακτα, ἀναφέροντας τὸ τσεκούρι, ὅτι τὸν στερεὸ λόγο τοῦ Θεοῦ, ποὺ ἀπὸ ἀμέλειά μας χάσαμε καὶ δὲ βρίσκομε, θὰ τὸν ξαναβροῦμε μὲ τὴν οἰκονομία τοῦ ξύλου τοῦ σταυροῦ. Ὅτι ὁ λόγος τοῦ Θεοῦ μοιάζει μὲ τσεκούρι τὸ διδάσκει ὁ Ἰωάννης ὁ Βαπτιστὴς λέγοντας, «ἤδη τὸ τσεκούρι εἶναι στὴ ρίζα τοῦ δένδρου»[76], καὶ ὁ Ἱερεμίας λέγοντας, «ὁ λόγος τοῦ Κυρίου κόβει τὴν πέτρα ὅπως τὸ πελέκυ»[77].

---

76. Λουκᾶ 3,9. Ματθ. 3,10. 77. Ἱερ. 23,29.

ΕΡΩΤΗΣΙΣ 56

Τί σημαίνει ὁ ἐν τῷ Εὐαγγελίῳ τῶν ρνγ' ἰχθύων ἀριθμός;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδήπερ ἀπὸ μιᾶς ἀρχόμενος κατὰ σύνθεσιν μέχρι τῶν δέκα ἑπτὰ πληροῖς τὸν ἀριθμὸν τοῦτον, σημαίνει ὅτιπερ διά τε τῆς ἐκπληρώσεως τῶν δέκα ἐντολῶν καὶ τῶν ἑπτὰ ἐνεργειῶν τοῦ ἁγίου Πνεύματος εἰσέρχονται οἱ σῳζόμενοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἢ καὶ τοὺς διὰ πίστεως τῆς ἁγίας Τριάδος καὶ τῆς τῶν μελλόντων ἐλπίδος –ὑπερθετικὸς γὰρ τοῦ ἑβδοματικοῦ χρόνου ὁ πεντηκοστὸς ἀριθμός ἐστιν– καὶ τῆς διὰ τῶν ἐντολῶν ἐνεργείας, ὅπερ σημαίνεται διὰ τοῦ ἑκατοστοῦ ἀριθμοῦ, σῳζομένους καὶ τὴν βασιλείαν ἀξιουμένους.

ΕΡΩΤΗΣΙΣ 57

Τίνες εἰσὶν οἱ ἄνδρες καὶ αἱ γυναῖκες καὶ οἱ ὄφεις ὑπὲρ ὧν ὁ Κύριος κατὰ Γρηγόριον τὸν Νύσσης τὰς γ' ἐν τῷ ᾅδῃ ἡμέρας πεποίηκεν;

ΑΠΟΚΡΙΣΙΣ

Τρεῖς εἰσι τῆς ψυχῆς δυνάμεις, λογικόν, θυμικόν, ἐπιθυμητικόν· οἱ μὲν οὖν ἄνδρες λαμβάνονται εἰς τὸ λογικόν, αἱ δὲ γυναῖκες εἰς τὸ ἐπιθυμητικόν, οἱ δὲ ὄφεις εἰς τὸ θυμικόν. Ἀποκαθίστανται οὖν ἐν τῷ μέλλοντι αἰῶνι αἱ τρεῖς αὗται δυνάμεις τῇ ἐπιγνώσει· ὑπὲρ αὐτῶν δὲ καὶ ὁ Κύριος τὸ ζωοποιὸν κατεδέξατο πάθος καὶ τὴν εἰς ᾅδου κάθοδον.

ΕΡΩΤΗΣΙΣ 58

Ἐκ τῶν Παροιμιῶν, τὸ «διορατικὸν ἄνδρα καὶ ὀξὺν»

---

78. Ἰω. 21,11.

79. Γρηγορίου Νύσσης, *Περὶ τῆς τριημέρου προθεσμίας τῆς ἀναστάσεως*

ΕΡΩΤΗΣΗ 56

Τί σημαίνει ὁ ἀριθμὸς τῶν ἑκατὸν πενήντα τριῶν ψαριῶν ποὺ ἀναφέρεται στὸ Εὐαγγέλιο[78];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ἀρχίζοντας ἀπὸ τὸ ἕνα καὶ προσθέτοντας ὡς τὸ δέκα ἑπτὰ συμπληρώνεις αὐτὸν τὸν ἀριθμό, σημαίνει ὅτι συμπληρώνοντας τὶς δέκα ἐντολὲς καὶ τὶς ἑπτὰ ἐνέργειες τοῦ ἁγίου Πνεύματος εἰσέρχονται οἱ σωζόμενοι στὴ βασιλεία τῶν οὐρανῶν· ἢ ἀκόμα σημαίνει κι ὅτι αὐτοὶ ποὺ πιστεύουν στὴν ἁγία Τριάδα κι ἐλπίζουν τὰ μελλοντικὰ –γιατὶ ὁ ἀριθμὸς πενήντα εἶναι πολλαπλάσιος τοῦ ἑβδομαδιαίου χρόνου– καὶ ἐκτελοῦν τὶς ἐντολές, πράγμα ποὺ σημαίνεται μὲ τὸ ἀριθμὸ ἑκατό, αὐτοὶ εἶναι ποὺ σώζονται κι ἀξιώνονται τὴ βασιλεία.

ΕΡΩΤΗΣΗ 57

Ποιοί εἶναι οἱ ἄνδρες καὶ οἱ γυναῖκες καὶ τὰ φίδια ποὺ γιὰ χάρη τους ὁ Κύριος, σύμφωνα μὲ τὸ Γρηγόριο Νύσσης[79], ἔκανε τὶς τρεῖς ἡμέρες στὸν ᾅδη;

ΑΠΟΚΡΙΣΗ

Τρεῖς εἶναι οἱ δυνάμεις τῆς ψυχῆς, τὸ λογικό, τὸ θυμικὸ καὶ τὸ ἐπιθυμητικό. Οἱ ἄνδρες ἔχουν τὴ θέση τοῦ λογικοῦ, οἱ γυναῖκες τοῦ ἐπιθυμητικοῦ καὶ τὰ φίδια τοῦ θυμικοῦ. Μὲ τὴν ἐπίγνωση λοιπὸν ἀποκαθίστανται στὸ μελλοντικὸ αἰώνα αὐτὲς οἱ τρεῖς δυνάμεις. Γιὰ χάρη αὐτῶν καὶ ὁ Κύριος καταδέχτηκε τὸ ζωοποιὸ πάθος καὶ τὴν κάθοδο στὸν ᾅδη.

ΕΡΩΤΗΣΗ 58

Πῶς θὰ ἐννοήσομε τὸ λόγο τῶν Παροιμιῶν, «ὁ διορα-

τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Ἅπαντα τὰ ἔργα, Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, τόμ. 10, σ. 460,18-21 καὶ ἑξῆς.

τοῦ νοῆσαι «βασιλεῦσιν δεῖ παρεστάναι», πῶς νοήσωμεν;

ΑΠΟΚΡΙΣΙΣ

Τὸν ὀξὺν περὶ τὸ πρακτικὸν καὶ θεωρητικὸν περὶ τὸ γνωστικὸν τοῖς τρισὶν νόμοις παρεστάναι ὁ λόγος βούλεται, τῷ φυσικῷ καὶ τῷ γραπτῷ καὶ τῷ τῆς χάριτος, ἵνα, ἐξ αὐτῶν ὁδηγούμενος, κατορθώσῃ δεόντως πρακτικὴν καὶ φυσικὴν καὶ θεολογικὴν φιλοσοφίαν.

ΕΡΩΤΗΣΙΣ 59

Ἐκ τῶν αὐτῶν· «ἑπτάκις πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσεται».

ΑΠΟΚΡΙΣΙΣ

Δίκαιον ἐνταῦθα τὸν μόνον ἀληθῶς δίκαιον τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὑπολαμβάνειν χρεών. Ἐπεὶ οὖν αὐτὸς ἐν ἡμῖν λέγεται καὶ πίπτειν καὶ ἀνίστασθαι ὡς τὰ ἡμέτερα πάντα διὰ φιλανθρωπίαν καταδεξάμενος, ἔπεσαν δὲ ἡ φύσις ἡμῶν ἑπτάκις –κατά τε τὴν τοῦ προπάτορος παράβασιν πρώτην γενομένην, δευτέραν δὲ τὴν τολμηθεῖσαν τοῦ Κάϊν μιαιφονίαν, πρῶτον τῇ φύσει καινοτομήσαντος φόνον, τρίτην ἐπὶ τῆς κατὰ τὸν Νῶε γενεᾶς, ἐφ' ἧς οὐ κατέμεινε τὸ Πνεῦμα τοῦ Θεοῦ «διὰ τὸ εἶναι σάρκας», τετάρτην ἐπὶ τῆς πυργοποιΐας, πέμπτην ἐπὶ τῆς κατὰ τὸν Ἀβραὰμ γενεᾶς, ἐξ ἧς μόνος αὐτὸς τῷ Θεῷ εὐηρέστησεν, ἕκτην ἐπὶ τοῦ Μωυσέως, εἰς τοσοῦτον τῆς ἐπ' αὐτοῦ γενεᾶς ἀθεΐας ἐξοκειλάσης, ὡς αὐτὸν εἰς ἐπικουρίαν τῆς τοσαύτης ἀσεβείας ἀπὸ Θεοῦ πεμφθῆναι, ἑβδόμην ἐπὶ τῆς τῶν προφητῶν γενεᾶς, ἥτις τὰς προλαβούσας γενεὰς εἰς κακίας μέτρον πάσας ὑπερηκόντισεν– ἐπεὶ οὖν, ὡς εἴρηται, ἑπτάκις ἔπεσεν ἡ

---

80. Παρμ. 22,29.
81. Παρμ. 24,16.

τικὸς καὶ ὀξύνους ἄνδρας πρέπει νὰ παραστέκεται μπροστὰ στὸ βασιλιά»[80];

ΑΠΟΚΡΙΣΗ

Ὁ λόγος θέλει τὸν ὀξὺ στὴν πράξη καὶ θεωρητικὸ στὴ γνώση νὰ παραστέκεται στοὺς τρεῖς νόμους, τὸ φυσικό, τὸ γραπτὸ καὶ τὸ νόμο τῆς χάριτος, ὥστε, ὁδηγούμενος ἀπὸ αὐτούς, νὰ κατορθώσει ὅπως πρέπει τὴν πρακτική, τὴ φυσικὴ καὶ τὴ θεολογικὴ φιλοσοφία.

ΕΡΩΤΗΣΗ 59

Ἀπὸ τὶς Παροιμίες πάλι· «ἑφτὰ φορὲς θὰ πέσει ὁ δίκαιος καὶ ἑφτὰ θὰ σηκωθεῖ»[81].

ΑΠΟΚΡΙΣΗ

Ὡς δίκαιο ἐδῶ πρέπει νὰ ἐννοήσομε τὸν μόνο ἀληθινὸ δίκαιο, τὸν Κύριό μας Ἰησοῦ Χριστό. Αὐτὸς λοιπὸν λέγεται ὅτι πέφτει καὶ σηκώνεται μέσα μας ἀφοῦ ἀναδέχτηκε ἀπὸ φιλανθρωπία ὅλες τὶς ἰδιότητές μας καὶ ἡ δική μας φύση ἔπεσε ἑφτὰ φορές. Ἡ πρώτη φορὰ ἦταν κατὰ τὴν παράβαση τοῦ προπάτορά μας[81], ἡ δεύτερη ἦταν ὁ μιαρὸς φόνος τοῦ Κάιν[82], ποὺ γιὰ πρώτη φορὰ εἰσήγαγε στὴ φύση τὸ φόνο· ἡ τρίτη συνέβηκε στὴ γενιὰ τοῦ Νῶε, στὴν ὁποία δὲν ἔμεινε τὸ Πνεῦμα τοῦ Θεοῦ, «γιατὶ ἦταν σάρκες»[83]· τέταρτη φορὰ στὸ χτίσιμο τοῦ πύργου[84]· πέμπτη στὴ γενιὰ τοῦ Ἀβραάμ, ἀπὸ τὴν ὁποία ἐκεῖνος μόνο εἶχε εὐαρεστήσει τὸ Θεό[85]· ἕκτη στὶς ἡμέρες τοῦ Μωυσῆ, ποὺ τόσο εἶχε ἐξοκείλει ἡ γενιά του στὴν ἀθεΐα, ὥστε νὰ σταλεῖ ἐκεῖνος ἀπὸ τὸ Θεὸ γιὰ τὴν ἀντιμετώπιση τόσης ἀσέβειας· ἑβδόμη συνέβηκε στὴ γενιὰ τῶν προφητῶν, ποὺ ὑπερέβαλε ὅλες τὶς προηγούμενες γενιὲς στὸ μέτρο τῆς κακίας. Ἐπειδὴ λοιπόν, ὅπως λέχθηκε, ἡ φύση μας ἔπεσε ἑφτὰ φορές, αὐτήν,

82. Γεν. 3,6. 83. Γεν. 4,8.
84. Γεν. 6,3.

φύσις ἡμῶν, ταύτην ἀφάτῳ φιλανθρωπίᾳ κινηθεὶς ἀνέστησεν ὁ Κύριος, αὐτὴν τὴν φύσιν ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν.

ΕΡΩΤΗΣΙΣ 60

Τίνας σημαίνει ὁ Ἀπόστολος λέγων, «τοὺς προηλπικότας ἐν τῷ Χριστῷ», πρὸς Ἐφεσίους γράφων;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς τις τῶν ἁγίων τῶν πρὸ τῆς ἐπιδημίας τοῦ Κυρίου, οἱανοῦν ἀρετὴν ἐξασκῶν, κἂν εἰ μὴ τὸ ὅλον τῆς οἰκονομίας μυστήριον ἐγίνωσκεν, ἀλλ' ἐκ μέρους φυσικῶς κινούμενος ἤλπιζε καὶ προσεδόκα ὅτι, ὁ τὴν φύσιν ποιήσας, αὐτὸς καὶ παραφθαρεῖσαν ἀνασώσηται.

ΕΡΩΤΗΣΙΣ 61

Ἐκ τοῦ αὐτοῦ· «εἰς τὸ εἰδέναι ἡμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ».

ΑΠΟΚΡΙΣΙΣ

«Ἡ τῆς κλήσεως ἐλπίς» ἐστιν ἡ κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου πολιτείαν διὰ πράξεως ἀπάθεια· «πλοῦτος» δὲ «τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις» ἐστὶν ὁ κατὰ τὴν γνῶσιν τῆς ἀληθείας πλοῦτος· «ὑπερβάλλον» δὲ «μέγεθος τῆς δυνάμεως αὐτοῦ» ἐστιν ἡ τοῖς ἀξίοις δωρηθησομένη θέωσις, ὡς ὑπὲρ φύσιν οὖσα καὶ θεοὺς ἐξ ἀνθρώπων κατὰ χάριν τοὺς μετόχους ἀποτελοῦσα.

---

85. Γεν. 11,4. 86. Ἐφ. 1,12.
87. Ἐφ. 1,18–19.

κινούμενος ἀπὸ ἄφατη φιλανθρωπία, τὴ σήκωσε ὁ Κύριος, ἑνώνοντας στὴν ὑπόστασή του τὴν ἴδια τὴ φύση μας.

ΕΡΩΤΗΣΗ 60

Ποιούς ἐννοεῖ ὁ Ἀπόστολος γράφοντας πρὸς τοὺς Ἐφεσίους καὶ λέγοντας, «ἐκεῖνοι ποὺ ἀπὸ πρὶν στήριξαν τὴν ἐλπίδα τους στὸ Θεό»[86];

ΑΠΟΚΡΙΣΗ

Καθένας ἀπὸ τοὺς ἁγίους πρὶν ἀπὸ τὴν ἐπιδημία τοῦ Κυρίου στὴ γῆ, ὅποια ἀρετὴ καὶ ἂν ἐξασκοῦσε, κι ἂν ἀκόμα δὲν γνώριζε ὅλο τὸ μυστήριο τῆς οἰκονομίας, ἀλλὰ κινούμενος ἀπὸ ἕνα μέρος της, ἀπὸ φυσικὰ σημεῖα ἔλπιζε καὶ προσδοκοῦσε ὅτι, αὐτὸς ποὺ δημιούργησε τὴ φύση, αὐτὸς καὶ μετὰ τὴν παραφθορά της θὰ τὴν ξανασώσει.

ΕΡΩΤΗΣΗ 61

Ἀπὸ τὸν ἴδιο Ἀπόστολο· «γιὰ νὰ γνωρίσομε ποιά εἶναι ἡ ἐλπίδα ποὺ μᾶς ὑπόσχεται ἡ κλήση του καὶ ποιός εἶναι ὁ πλοῦτος τῆς δόξας τῆς κληρονομιᾶς του ποὺ ἑτοίμασε γιὰ τοὺς ἁγίους καὶ ποιό τὸ ὑπερβολικο μέγεθος τῆς δύναμής του»[87].

ΑΠΟΚΡΙΣΗ

«Ἡ ἐλπίδα τῆς κλήσης του» εἶναι ἡ ἔμπρακτη ἀπάθεια σύμφωνα μὲ τὴν πολιτεία τοῦ ἴδιου τοῦ Κυρίου· «ὁ πλοῦτος τῆς δόξας τῆς κληρονομιᾶς του γιὰ τοὺς ἁγίους»[88] εἶναι ὁ πλοῦτος τῆς ἀληθινῆς γνώσης· ἐνῶ «τὸ ὑπερβολικὸ μέγεθος τῆς δύναμής του» εἶναι ἡ θέωση ποὺ θὰ δωρηθεῖ στοὺς ἄξιους[89], γιατὶ εἶναι ἀνώτερη ἀπὸ τὴ φύση, καὶ ἀπὸ ἀνθρώπους κάνει θεοὺς κατὰ χάρη ὅσους τὴ μετέχουν.

88. Ἐφ. 1,18. 89. Ἐφ. 1,19.

ΕΡΩΤΗΣΙΣ 62

Τοῦ αὐτοῦ Ἀποστόλου· «αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐπὶ ἔργοις ἀγαθοῖς».

ΑΠΟΚΡΙΣΙΣ

Τοῦτο εἴρηται τῷ Ἀποστόλῳ, ὡς οἶμαι, ἐπειδὴ κατα' ἀρχὰς ποιήσας ὁ Θεὸς τὸν ἄνθρωπον, διὰ δὲ τῆς παραβάσεως παραπεσόντα, ἀνέκτισε πάλιν διὰ τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας καὶ εἰς τὸ ἀρχαῖον ἀπεκατέστησεν.

ΕΡΩΤΗΣΙΣ 63

Τοῦ αὐτοῦ· «ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ» καὶ τὰ λοιπά.

ΑΠΟΚΡΙΣΙΣ

Εἴτε τοὺς δύο λαοὺς συνάψας ἐποίησεν ἕν, εἴτε τὰ ἐπίγεια καὶ τὰ οὐράνια –συνῆψε γὰρ καὶ ταῦτα, διεστηκότα πρὸς ἄλληλα–, εἴτε καὶ εἰς τὸν καθένα λαμβάνεις· συνῆψε ψυχὴν καὶ σῶμα ἀεὶ πρὸς ἑαυτὰ στασιάζοντα· ὑπέταξε γὰρ «τὸ φρόνημα τῆς σαρκὸς τῷ νόμῳ τοῦ πνεύματος»· «καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας»· μεσότοιχον ἢ τὴν σάρκα ἢ τὰ αἰσθητὰ ἢ τὴν νομικὴν λατρείαν ἐκάλεσε, φραγμὸν δὲ τὴν ἁμαρτίαν· ταῦτα γὰρ τοίχου δίκην, μὴ ἐπιστημόνως μηδὲ μετὰ γνώσεως πνευματικῆς κεχρημένοις αὐτοῖς ἡμῖν, διετείχιζον ἡμᾶς ἐκ τοῦ Θεοῦ καὶ τῇ ἁμαρτίᾳ ὑπέβαλλον. «Τὴν ἔχθραν ἐν τῇ σαρκί»· τὴν ἁμαρτίαν ἔχθραν εἰπών· αὕτη γὰρ ἡμᾶς ἐχθροὺς τοῦ Θεοῦ κατέστησε. «Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας»· νόμος ἐντολῆς ἐστι τὸ «οὐ φονεύσῃς» καὶ τὰ λοιπά· ὁ δὲ φυσικῶς τῇ ἐντολῇ ἐπιβάλλων καὶ γινώσκων τὸν λόγον τῆς ἐντολῆς οἶδεν ὅτι οὐ μόνον σωματικοῦ φόνου ἀπέχεσθαι δεῖ, ἀλλὰ καὶ παντὸς

90. Ἐφ. 2,10. 91. Ἐφ. 2,14.
92. Ρωμ. 8,7· 8,2. 93. Ἐφ. 2,14.

ΕΡΩΤΗΣΗ 62

Τοῦ ἴδιου Ἀποστόλου· «γιατὶ εἴμαστε πλάσματα ἐκείνου, πλασμένοι γιὰ νὰ πράττομε ἔργα ἀγαθά»[90].

ΑΠΟΚΡΙΣΗ

Αὐτὸ τὸ εἶπε ὁ Ἀπόστολος, ὅπως νομίζω, ἐπειδὴ ὁ Θεός, ἀφοῦ ἔπλασε στὴν ἀρχὴ τὸν ἄνθρωπο καὶ ἐξέπεσε αὐτὸς μὲ τὴν παράβασή του, τὸν ξαναέπλασε πάλι μὲ τὴν ἔνσαρκη ἐπιδημία του στὴ γῆ καὶ τὸν ἀποκατέστησε στὴν ἀρχική του μορφή.

ΕΡΩΤΗΣΗ 63

Τοῦ ἴδιου Ἀποστόλου· «αὐτὸς ποὺ ἔκανε τὰ δύο ἕνα καὶ γκρέμισε τὸν ἐνδιάμεσο φράχτη, τὴν ἔχθρα μέσα στὴ σάρκα» καὶ τὰ ὑπόλοιπα[91].

ΑΠΟΚΡΙΣΗ

Εἴτε συνένωσε τοὺς δύο λαοὺς καὶ τοὺς ἔκανε ἕνα, εἴτε τὰ ἐπίγεια καὶ οὐράνια –γιατὶ τὰ ἕνωσε κι αὐτὰ ποὺ ἦταν σ' ἀπόσταση μεταξύ τους– εἴτε παίρνεις τὸ πράγμα καὶ στὸν καθένα ἄνθρωπο· ἕνωσε δηλαδὴ τὴν ψυχὴ καὶ τὸ σῶμα ποὺ πάντοτε πολεμοῦσε τὸ ἕνα τὸ ἄλλο, γιατὶ ὑπέταξε «τὸ φρόνημα τῆς σάρκας στὸ νόμο τοῦ πνεύματος»[92]. Καὶ «κατάργησε τὸν ἐνδιάμεσο φραγμό»[93]· ἐνδιάμεσο ὀνόμασε ἢ τὴ σάρκα ἢ τὰ αἰσθητὰ ἢ τὴ νομικὴ λατρεία, ἐνῶ φραγμὸ τὴν ἁμαρτία· γιατὶ αὐτὰ σὰν ἕνας τοῖχος, χρησιμοποιώντας τὸν ἑαυτό μας χωρὶς ἐπιστήμη καὶ γνώση πνευματική, μᾶς χώριζαν σὰν μὲ τοῖχο ἀπὸ τὸ Θεὸ καὶ μᾶς ὑπέτασσαν στὴν ἁμαρτία. «Τὴν ἔχθρα μέσα στὴ σάρκα»[94]· ἔχθρα εἶπε τὴν ἁμαρτία· γιατὶ αὐτὴ μᾶς ἔκανε ἐχθροὺς τοῦ Θεοῦ. «Κατάργησε τὸ νόμο τῶν ἐντολῶν μὲ τὰ δόγματά του». Νόμος ἐντολῶν εἶναι τὸ «οὐ φονεύσεις»[95] καὶ τὰ λοιπά. Κι αὐτὸς ποὺ ἀντιμετωπίζει τὴν ἐντολὴ καὶ γνωρίζει φυσικὰ τὸ λόγο της, γνωρίζει ὅτι δὲν πρέπει ν' ἀπέχει μόνο ἀπὸ τὸ σωματικὸ

94. Ἐφ. 2,15. 95. Ἐξ. 20,15.

πάθους λυμαινομένου τὴν φύσιν· καὶ γὰρ καὶ φθόνος καὶ καταλαλιὰ καὶ πάντα τὰ πάθη φθαρτικὰ τῆς φύσεώς εἰσιν. Ὁ Κύριος οὖν ἐλθὼν «ἐν δόγμασι κατήργησε τὸν νόμον», ἀντὶ τοῦ 'ἔπαυσεν', λέγων «ἐρρήθη τοῖς ἀρχαίοις 'οὐ φονεύσῃς'· ἐγὼ δὲ λέγω ὑμῖν· 'πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται'», ἀλλ' οὐ μόνον διδάξας, ἀλλὰ γὰρ καὶ ποιήσας. Καὶ τὰς θυσίας δὲ τὰς κατὰ νόμον δογματίσας κατήργησε, πνευματικῶς νοεῖσθαι παρασκευάσας· μᾶλλον δὲ τὰς πολλάς, τύπον οὔσας τοῦ κατ' αὐτὸν μυστηρίου δείξας, κατέπαυσεν.

ΕΡΩΤΗΣΙΣ 64

Ἐκ τῶν Παροιμιῶν· «τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη; τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; τίς συνέτριψεν ὕδωρ ἐν ἱματίῳ; τίς ἐκράτησε τῶν ἄκρων τῆς γῆς; τί ὄνομα αὐτῷ;».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατ' ἀρχὰς ὁ ἄνθρωπος ἐπὶ τοῦτο ἐπλάσθη, ὥστε πρὸς τὴν αἰτίαν ἀναβῆναι τῷ πόθῳ καὶ εἶθ' οὕτως εἰς τὰ μετὰ τὴν αἰτίαν κτίσματα κατελθεῖν καὶ ταῦτα καλῶς τῇ γνώσει ἐπισκοπήσαντα ἀναβιβάσαι πρὸς τὸν ποιητὴν τούτων, τοῦτο δὲ οὐκ ἐποίησεν, ἀλλὰ πρὶν ὑψωθῆναι πρὸς τὸν Θεὸν κατένευσε πρὸς τὴν ὕλην, ἐλθὼν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ δεύτερος Ἀδάμ, «ἀνακεφαλαιώσατο ἐν αὐτῷ τὰ πάντα» καὶ ἔδειξεν εἰς τί παρήχθη ὁ πρῶτος ἄνθρωπος. Κατὰ γὰρ τὴν πρόσληψιν τῆς ἀνθρωπείας φύσεως πρῶτον ἀνέβη κινηθεὶς πρὸς τὸν αἴτιον, εἶτα καὶ κατέβη κατὰ τὴν θεότητα, τὴν τοῦ «δούλου μορφὴν» ὑποδύς, καὶ πάλιν δὲ ἀνέβη κατὰ τὸ συναμφότερον ἐν τῇ

---

96. Ἐφ. 2,15. 97. Ματθ. 5,21–22.
98. Ματθ. 5,19. 99. Παρμ. 30,4.

φόνο, ἀλλὰ κι ἀπὸ κάθε πάθος ποὺ φθείρει τὴ φύση μας. Γιατὶ κι ὁ φθόνος κι ἡ καταλαλιὰ καὶ ὅλα τὰ πάθη φθείρουν τὴ φύση μας. Ἐρχόμενος λοιπὸν ὁ Κύριος «κατάργησε τὸ νόμο μὲ τὴ διδασκαλία του»[96], ἀντὶ νὰ πεῖ 'τὸν ἔπαυσε', λέγοντας· «λέχθηκε στοὺς παλαιοὺς 'Δὲ θὰ φονεύσεις'· ἐγὼ ὅμως σᾶς λέγω, 'ὅποιος ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του χωρὶς λόγο εἶναι ἔνοχος'»[97]· καὶ δὲν δίδαξε μόνο, ἀλλὰ καὶ ἔπραξε[98] πολλά. Μὲ τὴ διδασκαλία του κατάργησε καὶ τὶς νομικὲς θυσίες, διδάσκοντάς μας νὰ τὶς νοοῦμε πνευματικά. Ἢ καλύτερα σταμάτησε τὶς πολλές, δείχνοντας πὼς ἦταν τύποι τοῦ σχετικοῦ μ' ἐκεῖνον μυστηρίου.

ΕΡΩΤΗΣΗ 64

Ἀπὸ τὶς Παροιμίες· «ποιός ἀνέβηκε στὸν οὐρανὸ καὶ πάλι κατέβηκε; ποιός συγκέντρωσε τοὺς ἀνέμους στὸν κόλπο του; ποιός συνέτριψε τὸ νερὸ μὲ τὸ ἱμάτιό του; ποιός κράτησε τὶς ἄκρες τῆς γῆς; ποιό εἶναι τὸ ὄνομά του;»[99]

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ ἄνθρωπος ἀρχικὰ πλάστηκε γι' αὐτό, γιὰ ν' ἀνεβεῖ μὲ τὸν πόθο του στὴν αἰτία κι ἔτσι ἔπειτα νὰ κατεβεῖ στὰ κτίσματα ποὺ ἀκολουθοῦν τὴν αἰτία κι ἀφοῦ τὰ παρατηρήσει καλὰ καὶ τὰ γνωρίσει ν' ἀνεβεῖ στὸν ποιητή τους, ὅμως αὐτὸ δὲν τὸ ἔκαμε, ἀλλὰ προτοῦ ὑψωθεῖ στὸ Θεὸ ἔσκυψε στὴν ὕλη, γι' αὐτό ἀφοῦ ἦρθε ὁ Κύριός μας Ἰησοῦς Χριστός, ὁ δεύτερος Ἀδάμ, ἀνακεφαλαίωσε μέσα του τὰ πάντα[1] καὶ ἔδειξε γιὰ ποιό σκοπὸ δημιουργήθηκε ὁ πρῶτος ἄνθρωπος. Κατὰ τὴν πρόσληψη δηλαδὴ τῆς ἀνθρώπινης φύσης κατὰ πρῶτον ἀνέβηκε προχωρώντας πρὸς τὸν αἴτιο, ἔπειτα καὶ κατέβηκε κατὰ τὴ θεότητα, ἀφοῦ ἔλαβε «τὴ μορφὴ τοῦ δούλου»[2]. Καὶ ἀνέβηκε καὶ πάλι καὶ μὲ τὰ δύο– θεότητα καὶ ἀνθρωπότητα– κατὰ τὴν ἀνάληψή

1. Ἐφ. 1,10. 2. Φιλ. 2,7.

μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀναλήψει. Οὕτω δεῖ καὶ ἡμᾶς πρῶτον ὑψοῦσθαι πρὸς τὸν Θεὸν καὶ στομοῦντας τὴν ψυχὴν τὸν ὅλον αὐτῆς πόθον πρὸς αὐτὸν τείνειν καὶ εἶθ' οὕτω καταβαίνειν ἐπὶ τὴν ἔρευναν τῶν ὄντων καὶ ἕκαστον ὡς ἔχει φύσεως ἐπισκοπεῖν καὶ πάλιν δι' αὐτῶν ἀναβιβάζεσθαι τῇ θεωρητικῇ γνώσει εἰς τὸν τούτων δημιουργόν.

Ὁ τοιοῦτος συνάγει «ἀνέμους ἐν κόλπῳ»· τοὺς γὰρ διαφόρους λόγους τῶν ὄντων τροπικῶς ἀνέμους ὀνομασθέντας συνάγει εἰς τὸν κόλπον τῆς ἑαυτοῦ καρδίας. Ἐπεὶ οὖν κόλπος ἐστὶν ὁ ὀμφαλὸς ἐν ᾧ φασιν τὸν πρῶτον γόνον τὴν ἀρχὴν λαμβάνειν, χρὴ νοεῖν ὅτι ἐν τῷ γονίμῳ καὶ θεωρητικῷ μέρει τῆς καρδίας συνάγων τοὺς διαφόρους λόγους ἀποτίκτει ἕνα λόγον Θεοῦ· οἱ γὰρ πολλοὶ τῶν ὄντων λόγοι εἰς ἓν συνάγονται. Ἀλλὰ καὶ συντρίβει «ὕδωρ ἐν ἱματίῳ»· ὕδωρ εἰσίν, ὡς πολλαχοῦ τῆς Γραφῆς εὑρήσεις λεγούσης, οἱ πειρασμοί· τούτους ἐν τῷ ἰδίῳ σώματι ἢ καὶ ἐν τῷ ἠθικῷ μέρει τῆς φιλοσοφίας πάσχων μεθ' ὑπομονῆς συντρίβει, ἀπράκτους αὐτοὺς ἀποπέμπων. Κρατεῖ δὲ καὶ «τῶν ἄκρων τῆς γῆς», μηδὲ τὰ φυσικὰ τοῦ σώματος πάθη συγχωρῶν ἀλόγως ἐκφέρεσθαι.

ΕΡΩΤΗΣΙΣ 65

Ἐκ τοῦ Ἡσαΐου· «καὶ ἔσονται οἱ καταλελειμμένοι ὑπὲρ τὸ χρυσίον τὸ ἄπυρον».

ΑΠΟΚΡΙΣΙΣ

Οἱ δοκιμασθέντες διὰ τῶν πειρασμῶν καὶ ἐγκαταλειφθέντες πρὸς πλείονα πεῖραν ὡς Ἰώβ, ὁ Ἰωσὴφ καὶ οἱ κατ' αὐτούς, οὗτοι ὑπὲρ «τὸ χρυσίον τὸ ἄπυρόν» εἰσιν, ὑπὲρ τὸν δίκην χρυσοῦ εὐθῆ πλασθέντα Ἀδάμ, τὸν μὴ πυρωθέντα διὰ πειρασμῶν καὶ βαστάσαντα.

---

3. Παρμ. 30,4. 4. Παρμ. 30,4.
5. Παρμ. 30,4.

του μετὰ τὴν ἀνάστασή του ἀπὸ τοὺς νεκρούς. Ἔτσι πρέπει κι ἐμεῖς· πρῶτα νὰ ὑψωνόμαστε πρὸς τὸ Θεὸ καὶ νὰ κατευθύνομε τὴν ψυχή μας μὲ ὅλο τὸν πόθο της πρὸς αὐτόν, κι ἔτσι πάλι νὰ κατεβαίνομε στὴν ἔρευνα τῶν ὄντων ἐξετάζοντας τὴ φύση τοῦ καθενὸς καὶ πάλι μέσω αὐτῶν ν' ἀνεβαίνομε μὲ τὴ θεωρητικὴ γνώση στὸ Δημιουργό της.

Ἕνας τέτοιος «συγκεντρώνει τοὺς ἀνέμους στὸν κόλπο του»[3]· τοὺς διάφορους λόγους δηλαδὴ τῶν ὄντων ποὺ ὀνομάστηκαν μεταφορικὰ 'ἄνεμοι' τοὺς συγκεντρώνει στὸ βάθος τῆς καρδιᾶς του. Κι ἐπειδὴ 'κόλπος' εἶναι ὁ ὀμφαλός, ὅπου λένε ὅτι πρωτογεννιέται στὴν ἀρχὴ ἡ ψυχή, πρέπει νὰ ἐννοήσομε ὅτι συγκεντρώνοντας κανεὶς στὸ γόνιμο καὶ θεωρητικὸ μέρος τῆς καρδιᾶς του τοὺς διάφορους λόγους γεννᾶ τὸν ἕνα Λόγο τοῦ Θεοῦ. Οἱ πολλοὶ δηλαδὴ λόγοι τῶν ὄντων μαζεύονται σὲ ἕνα. Ἀλλὰ «καὶ συντρίβει τὸ νερὸ μὲ τὸ ἱμάτιό του»[4]. Νερὸ εἶναι, ὅπως σὲ πολλὰ σημεῖα τῆς Γραφῆς θὰ βρεῖς νὰ λέγεται, οἱ πειρασμοί. Ὑποφέροντάς τους αὐτοὺς στὸ ἴδιο του τὸ σῶμα ἢ καὶ στὸ ἠθικὸ μέρος τῆς φιλοσοφίας τοὺς συντρίβει μὲ τὴν ὑπομονή του, ἐξαποστέλλοντάς τους ἄπρακτους. Ἐπίσης, «ἐξουσιάζει καὶ τὶς ἄκρες τῆς γῆς»[5] μὴ ἐπιτρέποντας ἀκόμα καὶ τὰ φυσικὰ πάθη τοῦ σώματος νὰ ἐκφέρονται μὲ τρόπο ἄλογο.

ΕΡΩΤΗΣΗ 65

Ἀπὸ τὸν Ἠσαΐα· «καὶ θὰ γίνουν ὅσοι ἔχουν ἐγκαταλειφθεῖ ἀνώτεροι ἀπὸ τὸ γνήσιο χρυσάφι»[6].

ΑΠΟΚΡΙΣΗ

Ὅσοι δοκιμάστηκαν μὲ τοὺς πειρασμοὺς κι ἐγκαταλείφθηκαν γιὰ περισσότερη δοκιμασία, ὅπως ὁ Ἰώβ, ὁ Ἰωσὴφ καὶ οἱ ὅμοιοί τους, αὐτοὶ εἶναι ἀνώτεροι ἀπὸ τὸ γνήσιο χρυσάφι[7], ἀνώτεροι ἀπὸ τὸν σὰν τὸ χρυσάφι πρωτόπλαστο Ἀδάμ, ποὺ δὲν πυρώθηκε ἀπὸ τοὺς πειρασμοὺς καὶ οὔτε βάσταξε αὐτούς.

6. Ἠσ. 13,12. 7. Ἠσ. 13,12.

ΕΡΩΤΗΣΙΣ 66

Τί σημαίνει ὁ ἐν τῇ Γενέσει «ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος»;

ΑΠΟΚΡΙΣΙΣ

Ἑκάτεροι τὸν Κύριον δηλοῦσιν· ὁ μὲν ἄνθραξ ὡς φωτιστικὸς καὶ καυστικός, διὰ τὸ παρεκτικὸν εἶναι τὸν Κύριον γνώσεως, δαπανητικὸν δὲ τῆς μοχθηρίας· ὁ δὲ πράσινος λίθος ἐπειδὴ τονωτικός ἐστιν τῆς ὁρατικῆς δυνάμεως, δηλοῖ καὶ αὐτὸς τὸν Κύριον, ὡς τοῦ θεωρητικοῦ τῆς ψυχῆς τόνου ποιητικόν.

ΕΡΩΤΗΣΙΣ 67

Τί σημαίνει κατὰ θεωρίαν ἡ τύφλωσις τοῦ Σαμψών;

ΑΠΟΚΡΙΣΙΣ

Σαμψὼν ἑρμηνεύεται 'ἥλιος', ἡ δὲ Δαλιδὰ 'πτωχεύσασα'· ἐπέπεσεν οὖν ὁ Σαμψὼν ἐπὶ τὸν μηρὸν τῆς Δαλιδά, τουτέστιν ἐπὶ τὸ παθητὸν μέρος τῆς ἡδονῆς, καὶ ἐπτώχευσε τῆς φωτιζούσης αὐτὸν ἀρετῆς. Τότε ἤνεγκε κουρέα καὶ ξυρὸν «καὶ ἐξύρησεν αὐτοῦ τοὺς ζ βοστρύχους»· κουρεύς ἐστιν ὁ διάβολος, ξυρὸν δὲ ἡ ἀπάτη κατὰ τὸ γεγραμμένον «ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον», οἱ δὲ ζ βόστρυχοι ἑπτὰ ἐνέργειαι κατὰ τὸν προφήτην Ἠσαΐαν τοῦ Πνεύματος. Ὅτ' ἂν οὖν ἤρξαντο φύειν αὐτοῦ αἱ τρίχες, τουτέστιν ὅτ' ἂν εἰς μετάμελον ἦλθε τῶν αὐτῷ πεπραγμένων, τότε χειραγωγεῖ αὐτὸν τὸ παιδάριον, τουτέστιν ὁ νόμος τοῦ Θεοῦ, καὶ ἄγει αὐτὸν ἐπὶ τοὺς στύλους «ἐφ' ὧν ἐπεστήρικτο ὁ οἶκος» τῶν ἀλλοφύλων, οἵτινές εἰσιν θυμὸς καὶ ἐπιθυμία, ὑφ' ὧν πᾶς ἀλλόφυλος ἁλίσκεται νοῦς. Τὸ δὲ συναποθανεῖν τὸν Σαμψὼν τῶν ἀλλοφύλων, σημαίνει τὴν συντέλειαν, ἤγουν νέκρωσιν τοῦ σαρκικοῦ φρονήματος.

---

8. Γεν. 2,12. 9 Κριτ. 16,24. 10. Κριτ. 16,19.
11. Κριτ. 16,19. 12. Ψαλμ. 51,4. 13. Ἠσ. 11,2.

ΕΡΩΤΗΣΗ 66

Τί σημαίνει «ὁ ἄνθρακας καὶ ὁ πράσινος λίθος» τῆς Γένεσης[8];

ΑΠΟΚΡΙΣΗ

Καὶ τὰ δύο δηλώνουν τὸν Κύριο· ὁ ἄνθρακας ἐπειδὴ φωτίζει καὶ καίει, ἐπειδὴ ὁ Κύριος εἶναι χορηγὸς γνώσης ἀλλὰ καὶ καίει τὴν κακία. Ἡ πράσινη πέτρα ἐπειδὴ ἐνισχύει τὴ δύναμη τῆς ὅρασης δηλώνει κι αὐτὴ τὸν Κύριο ποὺ ἐνισχύει τὴ θεωρητικὴ δύναμη τῆς ψυχῆς.

ΕΡΩΤΗΣΗ 67

Τί σημαίνει θεωρητικὰ ἡ τύφλωση τοῦ Σαμψών[9];

ΑΠΟΚΡΙΣΗ

Σαμψὼν ἑρμηνεύεται 'ἥλιος', ἐνῶ Δαλιδὰ 'αὐτὴ ποὺ εἶναι φτωχή'. Ἔπεσε λοιπὸν ὁ Σαμψὼν πάνω στὸ μηρὸ τῆς Δαλιδᾶς[10], δηλαδὴ στὸ πάθος τῆς ἡδονῆς, κι ἔγινε φτωχὸς ἀπὸ τὴν ἀρετὴ ποὺ τὸν φώτιζε. Τότε ἔφερε κουρέα καὶ ξυράφι καὶ «κούρεψε τὶς ἑφτὰ πλεξοῦδες του»[11]. Κουρέας εἶναι ὁ διάβολος καὶ ξυράφι ἡ ἀπάτη, σύμφωνα μὲ τὸ λόγο τῆς Γραφῆς «ἔκανες σὰν ξυράφι ἀκονισμένο τὸ δόλο»[12]. Οἱ ἑφτὰ πλεξοῦδες εἶναι οἱ ἑφτὰ ἐνέργειες τοῦ Πνεύματος, σύμφωνα μὲ τὸν προφήτη Ἠσαΐα[13]. Ὅταν λοιπὸν ἄρχισαν νὰ φυτρώνουν τὰ μαλλιά του[14], ὅταν δηλαδὴ μετάνοιωσε γιὰ ὅ,τι εἶχε κάνει, τότε τὸν ὁδηγεῖ ἀπὸ τὸ χέρι ὁ μικρός[15], δηλαδὴ ὁ νόμος τοῦ Θεοῦ, καὶ τὸν φέρει στοὺς στύλους «ποὺ στήριζαν τὸ σπίτι τῶν ἀλλοφύλων»[16], ποὺ εἶναι ὁ θυμὸς καὶ ἡ ἐπιθυμία, πάθη ἀπὸ τὰ ὁποῖα αἰχμαλωτίζεται κάθε ἀλλόφυλος νοῦς. Ὁ κοινὸς τέλος θάνατος τοῦ Σαμψὼν μὲ τοὺς ἀλλόφυλους[17] σημαίνει τὴ συντέλεια, δηλαδὴ τὴ νέκρωση τοῦ σαρκικοῦ φρονήματος.

14. Κριτ. 16,22. 15. Κριτ. 16,26.
16. Κριτ. 16,26. 17. Ρωμ. 8,6.

ΕΡΩΤΗΣΙΣ 68

Τί σημαίνει αὐτὸς ὁ Σαμψὼν ἐν τῇ σιαγόνι τοῦ ὄνου ἀποκτείνας τοὺς ἀλλοφύλους;

ΑΠΟΚΡΙΣΙΣ

Ἐνταῦθα τύπον ὁ Σαμψὼν φέρει τοῦ ἀληθινοῦ Ναζιραίου τοῦ Χριστοῦ· αὐτὸς γὰρ τὴν ἡμετέραν σάρκα λαβὼν ἄνικμον πάσης ἁμαρτίας, τοὺς ἀλλοφύλους ἀνεῖλε δαίμονας. Τὸ δὲ δεθῆναι ἐκ τῶν ἰδίων τὸν Σαμψὼν καὶ παραδοθῆναι τοῖς ἀλλοφύλοις σαφῶς ἐπὶ τοῦ Κυρίου πεπλήρωται· δήσαντες γὰρ αὐτὸν οἱ δοκοῦντες ἴδιοι εἶναι Ἰουδαῖοι παρέδωκαν τοῖς ἔθνεσιν. Ἀλλὰ καὶ ἐπήγασεν ἐκ τοῦ σώματος τοῦ Κυρίου ὥσπερ ἐκ τῆς σιαγόνος τὸ τῆς γνώσεως ὕδωρ, ὅπερ ἐδίψα, λέγων «ἵνα γινώσκουσί σε τὸν ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν». Ἀλλὰ καὶ ἕκαστος Σαμψών, τουτέστι Ναζιραῖος, διὰ τῆς σιαγόνος, τουτέστι διὰ τῆς ἐγκρατείας τοῦ σώματος, ὅπερ ἐστὶν ἑτερογενὲς τῆς ψυχῆς καθὰ καὶ ὁ ὄνος τῆς ἐθνικῆς μερίδος τῷ νομικῷ, ἀποκτέννει τὰ πάθη διὰ τῆς πρακτικῆς. Εἶτα καὶ διψᾷ θείας γνώσεως καὶ διὰ τῆς ἐπικλήσεως ἐξ αὐτῆς τῆς ἐναρέτου πράξεως καταπέμπεται αὐτῷ θεία γνῶσις, ποτίζουσα αὐτὸν καὶ ἀναψύχουσα. Εἰ δὲ καὶ συνσχεθῇ ἔσω τειχῶν τῆς Γάζης, τουτέστιν ὑπὸ τῶν αἰσθητῶν, τοῖς ὤμοις τῆς πρακτικῆς ἀναλαμβάνει τὰς πόρτας, τουτέστι τὰς αἰσθήσεις, καὶ ἀνάγει εἰς τὸ ὄρος τῆς ὑψηλῆς γνώσεως.

ΕΡΩΤΗΣΙΣ 69

Τίνος χάριν τὰ μὲν ἔθνη παρακελεύεται ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ ἀπολέσαι, τὰς δὲ πέντε σατραπείας οὐδαμῶς;

---

18. Κριτ. 15,16. 19. Κριτ. 15,13. 20. Κριτ. 15,19.
21. Ἰω. 17,3. 22. Κριτ. 15,18–19. 23. Κριτ. 16,2.

ΕΡΩΤΗΣΗ 68

Τί σημαίνει τὸ ὅτι ὁ Σαμψὼν ὁ ἴδιος σκοτώνει τοὺς ἀλλόφυλους μὲ τὴ σιαγόνα τοῦ ὄνου[18];

ΑΠΟΚΡΙΣΗ

Ἐδῶ ὁ Σαμψὼν εἶναι ὁ τύπος τοῦ ἀληθινοῦ Ναζιραίου τοῦ Χριστοῦ. Γιατὶ ὁ Χριστός, ἀφοῦ ἔλαβε τὴ δική μας σάρκα χωρὶς ἰκμάδα καμμιᾶς ἁμαρτίας, σκότωσε τοὺς ἀλλόφυλους δαίμονες. Τὸ ὅτι ὁ Σαμψὼν δέθηκε ἀπὸ τοὺς δικούς του καὶ παραδόθηκε στοὺς ἀλλόφυλους[19] πραγματοποιήθηκε σαφῶς στὸν Κύριο. Γιατί, ἀφοῦ τὸν ἔδεσαν οἱ Ἑβραῖοι, ποὺ θεωροῦνταν δικοί του, τὸν παρέδωσαν στὰ ἔθνη[20]. Ταυτόχρονα ὅμως πήγασε ἀπὸ τὸ σῶμα τοῦ Κυρίου, ὅπως ἀπὸ τὴ σιαγόνα, τὸ νερὸ τῆς γνώσης ποὺ διψοῦσε (ὁ κόσμος) λέγοντας «γιὰ νὰ σὲ γνωρίζουν ἐσένα τὸν ἀληθινὸ Θεὸ καὶ τὸν Ἰησοῦ Χριστὸ ποὺ ἀπέστειλες»[21]. Ἀλλὰ καὶ καθένας Σαμψών, δηλαδὴ Ναζιραῖος, μὲ τὴ σιαγόνα, δηλαδὴ μὲ τὴν ἐγκράτεια τοῦ σώματος, εἶναι στοιχεῖο ἄλλου γένους ἀπὸ τὴν ψυχὴ ὅπως καὶ ὁ ὄνος τῆς μερίδας τῶν ἐθνῶν ἀπὸ τὸ νόμο, φονεύει τὰ πάθη μὲ τὴν ἄσκηση τῶν ἔργων. Ἔπειτα νιώθει καὶ τὴ δίψα τῆς θείας γνώσης καὶ μὲ τὴν ἐπίκληση ἀπὸ τὴν ἴδια τὴν ἐνάρετη πράξη στέλλεται σ' αὐτὸν ἡ θεία γνώση, ποτίζοντας καὶ δροσίζοντάς τον[22]. Κι ἂν συμβεῖ νὰ κλειστεῖ μέσα στὰ τείχη τῆς Γάζας[23], δηλαδὴ μέσα στὰ αἰσθητά, παίρνει πάνω στοὺς ὤμους τῆς πρακτικῆς ἐνεργητικότητάς του τὶς πύλες, δηλαδὴ τὶς αἰσθήσεις, καὶ τὶς ὑψώνει στὸ ὄρος τῆς ὑψηλῆς γνώσης[24].

ΕΡΩΤΗΣΗ 69

Γιὰ ποιό λόγο ὁ Θεὸς προτρέπει τοὺς υἱοὺς τοῦ Ἰσραὴλ νὰ ἀφανίσουν τὰ ἑφτὰ ἔθνη[25], ὄχι ὅμως τὶς πέντε σατραπεῖες[26];

---

24. Κριτ. 16,3. 25. Δευτ. 7,1-2. 26. Κριτ. 3,1-3.

ΑΠΟΚΡΙΣΙΣ

Πάντα τὰ παρὰ φύσιν πάθη μισῶν ὁ Θεὸς κελεύει ἀπόλλυσθαι, τὰς δὲ κατὰ φύσιν τῶν πέντε αἰσθήσεων δυνάμεις οὐ βούλεται ἀναιρεθῆναι, εἰ δὲ ἄρα παρὰ φύσιν ποτὲ κινηθῶσιν, τὰς ἐνεργείας αὐτῶν ἀποκτέννυσθαι.

ΕΡΩΤΗΣΙΣ 70

Τί σημαίνει τὸ Εὐαγγέλιον λέγων «νίψαι σου τὸ πρόσωπον καὶ ἄλειψαί σου τὴν κεφαλήν»;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ πρόσωπον ἡμῶν ἐστιν ὁ βίος, χαρακτηρίζων καθάπερ ἡ ὄψις ὁποῖοί τινές ἐσμεν «κατὰ τὸν ἔσω ἄνθρωπον». Τοῦτο οὖν ὁ λόγος παρακελεύεται νίπτειν, τουτέστι καθαίρειν τὸν βίον κηλίδος πάσης ἁμαρτιῶν. Κεφαλὴ δέ ἐστιν ὁ ἡμέτερος νοῦς, ὃν ὁ λόγος ἀλείφειν κελεύει, τουτέστι τῇ θείᾳ καταφαιδρύνειν γνώσει.

ΕΡΩΤΗΣΙΣ 71

Τί ἐστιν ἡ τοῦ Κυρίου ἀπόκρισις λέγοντος «εἴπατε τῇ ἀλώπηκι» –περὶ τοῦ Ἡρῴδου λέγων– ὅτι «σήμερον καὶ αὔριον ἰάσεις ἐπιτελῶ καὶ τῇ τρίτῃ τελειοῦμαι»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡρῴδης 'δερμάτινος' ἑρμηνεύεται· χρὴ οὖν τοὺς σαρκικοὺς λογισμοὺς τοὺς θέλοντας ἀποσπάσαι τὸν νοῦν ἐκ τῆς πρακτικῆς ἀρετῆς βδελύττεσθαι καὶ λέγειν αὐτοῖς ὅτι «σήμερον καὶ αὔριον ἰάσεις ἐπιτελῶ καὶ τῇ τρίτῃ τελειοῦμαι», τουτέστιν ἰῶμαι διὰ τῆς πρακτικῆς τὰ ἴδια μέλη πρῶτος, εἶτα καὶ τὰς αἰσθήσεις πρὸς τὸ τοῖς αἰσθητοῖς ὑγιῶς ἐπιβαλεῖν, «καὶ τῇ τρίτῃ τελειοῦμαι», τῇ θεωρίᾳ τῆς θείας γνώσεως τὸ τέλειον λαμβάνων.

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ Θεὸς μισεῖ ὅλα τὰ παρὰ φύση πάθη προστάζει ν' ἀφανιστοῦν. Δὲν θέλει ὅμως νὰ χαθοῦν οἱ φυσικὲς δυνάμεις τῶν πέντε αἰσθήσεων. Ἂν ὅμως κάποτε λειτουργήσουν παρὰ φύση, οἱ ἐνέργειές τους νὰ ἐξοντώνονται.

ΕΡΩΤΗΣΗ 70

Τί θέλει νὰ πεῖ τὸ Εὐαγγέλιο λέγοντας «νίψε τὸ πρόσωπό σου καὶ ἄλλειψε τὸ κεφάλι σου»[27];

ΑΠΟΚΡΙΣΗ

Τὸ πρόσωπό μας εἶναι ὁ βίος μας ποὺ μᾶς χαρακτηρίζει, ὅπως καὶ ἡ ὄψη μας, ποιοί εἴμαστε ὡς πρὸς τὸν ἐσωτερικό μας ἄνθρωπο[28]. Αὐτὸ λοιπὸν μᾶς προτρέπει ὁ λόγος νὰ νίπτομε, δηλαδὴ νὰ καθαρίζομε τὸ βίο μας ἀπὸ κάθε κηλίδα ἁμαρτίας. Κεφαλὴ πάλι εἶναι ὁ νοῦς μας, ποὺ προστάζει ὁ λόγος νὰ τὴν ἀλείφομε, δηλαδὴ νὰ τὴν κάνομε νὰ λάμπει μὲ τὴ θεία γνώση.

ΕΡΩΤΗΣΗ 71

Τί σημαίνει ἡ ἀπόκριση τοῦ Κυρίου «πέστε στὴν ἀλεποῦ» -ἐννοώντας τὸν Ἡρώδη- «ὅτι σήμερα καὶ αὔριο κάνω θεραπεῖες καὶ τὴν τρίτη ἡμέρα τελειοποιοῦμαι»[29];

ΑΠΟΚΡΙΣΗ

Ἡρώδης ἐξηγεῖται 'δερμάτινος'· πρέπει λοιπὸν νὰ σιχαινόμαστε τοὺς σαρκικοὺς λογισμοὺς ποὺ θέλουν ν' ἀποσπάσουν τὸ νοῦ μας ἀπὸ τὴν πρακτικὴ ἀρετή, καὶ νὰ τοὺς λέμε, «σήμερα κι αὔριο κάνω ἰάσεις καὶ τὴν τρίτη ἡμέρα τελειοποιοῦμαι, δηλαδὴ θεραπεύω μὲ τὴν πρακτικὴ τὰ μέλη μου πρῶτα κι ἔπειτα καὶ τὶς αἰσθήσεις γιὰ νὰ προσεγγίσω ὀρθὰ τὰ αἰσθητά, «καὶ τὴν τρίτη ἡμέρα τελειοποιοῦμαι», ἀποκτώντας τὸ τέλειο μὲ τὴ θεωρία τῆς θείας γνώσης.

27. Ματθ. 6,17. 28. Ρωμ. 7,22. 29. Λουκᾶ 13,32.

ΕΡΩΤΗΣΙΣ 72

Τί ἐστιν κατὰ τὸν Ἀπόστολον ὅτι «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται»;

ΑΠΟΚΡΙΣΙΣ

Σάρξ ἐστιν ἡ ἐπιθυμία, αἷμα δὲ ὁ θυμός· καὶ εἰκότως ὁ μὴ τούτων καθαρεύων «βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται».

ΕΡΩΤΗΣΙΣ 73

Τί δηλοῖ τὸ ἐν Χωρὴβ Σινᾶ ὄρος καὶ τί τὰ γενάμενα ἐν αὐτῷ μυστήρια;

ΑΠΟΚΡΙΣΙΣ

Σινᾶ ἑρμηνεύεται 'πειρασμός', Χωρὴβ δὲ 'νέωσις'. Χρὴ οὖν τὸν τοῦ ὕψους τῆς γνώσεως ἐφιέμενον πρῶτον ἐν τῇ ὑπομονῇ γενέσθαι τῶν πειρασμῶν καὶ νεῶσαι καὶ σπεῖραι καρπὸν γνώσεως καὶ δικαιοσύνης καὶ ἁγνίσασθαι ἀπὸ παντὸς πάθους, τρεῖς δὲ ἡμέρας, ἀντὶ τοῦ τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις, πάσης κεκαθάρθαι σαρκικῆς ἡδονῆς, μὴ συμπαραλαμβάνειν δὲ τὸ θῆλυ, μήτε μὴν ἄλογον, τοῦτο δηλοῦντος τοῦ λόγου, ὡς χρὴ τὸν ἄξιον θέλοντα γενέσθαι θείας φωνῆς μηδὲν ἔχοντα θηλυδριῶδες μήτε ἀλόγιστον, ἀλλὰ λαμπροῖς τοῖς ἱματίοις τῆς ἀρετῆς ἠμφιεσμένον προσβαίνειν τῷ ὄρει τῆς γνώσεως. Οὕτω γὰρ κατὰ τὸν θεσπέσιον Μωυσέα διὰ τῆς φυσικῆς θεωρίας καὶ τῆς τοῦ χρόνου ἰδιότητος –ὅπερ δηλοῖ τοὺς ἑβδομήκοντα πρεσβυτέρους– γενόμενον καὶ παρελθόντα τὰς φωνὰς καὶ τοὺς ἤχους, τὰς ἐκ τῶν φαινομένων δηλώσεις, μόνους ἐπιφέρεται μεθ' ἑαυτοῦ Ἀαρὼν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ναδὰβ καὶ Ἀβιούδ, τουτέστιν Ἀαρὼν τὸν λόγον καὶ τοὺς αὐτοῦ υἱοὺς θυμὸν καὶ ἐπιθυ-

---

30. Α' Κορ. 15,50. 31. Δευτ. 4,10. Ἐξ. 19·24.

ΕΡΩΤΗΣΗ 72

Τί σημαίνει κατὰ τὸν Ἀπόστολο ὅτι «σάρκα καὶ αἷμα δὲν μποροῦν νὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ»[30];

ΑΠΟΚΡΙΣΗ

Σάρκα εἶναι ἡ ἐπιθυμία καὶ αἷμα ὁ θυμός. Καὶ εἶναι φυσικὸ ὅτι δὲν μπορεῖ νὰ κληρονομήσει τὴ βασιλεία τοῦ Θεοῦ ὅποιος δὲν εἶναι καθαρὸς ἀπὸ αὐτά.

ΕΡΩΤΗΣΗ 73

Τί δηλώνει τὸ ὄρος Σινὰ στὴ Χωρὴβ καὶ τί τὰ μυστήρια ποὺ διαδραματίστηκαν σ' αὐτό[31];

ΑΠΟΚΡΙΣΗ

Σινὰ ἑρμηνεύεται 'πειρασμός' καὶ Χωρὴβ 'ὄργωμα'. Πρέπει λοιπὸν αὐτὸς ποὺ ἐπιθυμεῖ τὸ ὕψος τῆς γνώσης νὰ δείξει πρῶτα ὑπομονὴ στοὺς πειρασμούς, νὰ ὀργώσει καὶ νὰ σπείρει τὸν καρπὸ τῆς γνώσης καὶ τῆς δικαιοσύνης καὶ νὰ ἐξαγνιστεῖ ἀπὸ κάθε πάθος καὶ ἐπὶ τρεῖς ἡμέρες, σὲ ἀντιστοιχία μὲ τὶς τρεῖς δυνάμεις τῆς ψυχῆς, νὰ καθαρθεῖ ἀπὸ κάθε σαρκικὴ ἡδονὴ καὶ νὰ μὴν παίρνει μαζί του τὸ θηλυκὸ οὔτε καὶ τὸ ἄλογο στοιχεῖο, γιατὶ ὁ λόγος δηλώνει τοῦτο, ὅτι πρέπει, ὅποιος θέλει νὰ γίνει ἄξιος ν' ἀκούσει τὴ θεία φωνή, νὰ μὴν ἔχει τίποτε τὸ θηλυκὸ οὔτε ἀλόγιστο, ἀλλὰ ντυμένος μὲ τὰ λαμπρὰ ἱμάτια τῆς ἀρετῆς νὰ πλησιάζει στὸ ὄρος τῆς γνώσης[32]. Ἔτσι, κατ' ἀναλογία μὲ τὸν θεσπέσιο Μωυσῆ, περνώντας τὴ φυσικὴ θεωρία καὶ τὴν ἰδιότητα τοῦ χρόνου –ποὺ δηλώνει τοὺς ἑβδομήντα πρεσβυτέρους[33]– καὶ ἀποφεύγοντας τὶς φωνὲς καὶ τοὺς ἤχους, ποὺ εἶναι οἱ ἐκδηλώσεις τῶν φαινομένων, φέρνει μαζί του ὁ Ἀαρὼν μόνο τοὺς δυὸ υἱούς του Ναδὰβ καὶ Ἀβιούδ[34], δηλαδὴ τὸν λόγο τοῦ Ἀαρὼν καὶ τὰ τέκνα του, τὸ θυμὸ καὶ τὴν ἐπιθυμία. Ἀλλὰ

32. Ἐξ. 19,10–15. 33. Ἐξ. 24,1· 9. 34. Ἐξ. 24,1· 9.

μίαν. Ἀλλὰ καὶ τούτους καταλιπεῖν χρὴ δίκην καπνοῦ καὶ θυέλλης καὶ μόνον ἔχειν τὸν Ἀαρών, τὸν ἁπλοῦν πρὸς τὴν νόησίν φημι λόγον, δίκην ἀστραπῶν καταλαμπόμενον ταῖς θείαις ἐλλάμψεσιν, εἶτα καὶ τοῦτον καταλιπεῖν ἔξω καὶ εἰς τὸν γνόφον τῆς ἀγνωσίας εἰσδῦναι, ἔνθα πᾶσα ἀλογία καὶ ἀνοησία. Τοὺς δὲ ὑπὸ τὸ ὄρος ἁγνισθέντας τοῦ λαοῦ σημαίνειν οἶμαι τοὺς πρακτικούς, τοὺς δὲ ἑβδομήκοντα πρεσβυτέρους τοὺς τὴν φυσικὴν θεωρίαν μετερχομένους, τοὺς δὲ περὶ τὸν Ἀαρὼν τοὺς τὴν θεολογίαν μετιόντας, τοὺς δὲ κατὰ Μωυσέα τοὺς δι' ἀποφάσεως καὶ ἀγνωσίας ἑνουμένους τῷ Θεῷ.

ΕΡΩΤΗΣΙΣ 74

Τί ἐστιν διάψαλμα;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι ὅτι ἡ ἀπὸ νοήματος εἰς νόημα μεταβολὴ ἢ καὶ τρόπου διδασκαλίας εἰς ἕτερον τρόπον.

ΕΡΩΤΗΣΙΣ 75

Τί ἐστιν τὸ «συνήφερεν αὐτῷ, ἵνα μύλος ὀνικὸς περιτεθῇ ἐν τῷ τραχήλῳ αὐτοῦ καὶ ριφῇ ἐν τῇ θαλάσσῃ, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν»;

ΑΠΟΚΡΙΣΙΣ

Μικρούς, οἶμαι, λέγει τοὺς κατὰ διάνοιαν ἀφελεῖς καὶ διὰ σμικρότητα νοὸς μὴ δυναμένους διακρίνειν τὰ τῆς προνοίας κρίματα. Ὅστις οὖν σκανδαλίσῃ τοὺς τοιούτους, συνέφερεν αὐτῷ ἑλληνικῆς εἶναι μοίρας, οἳ δίκην ὄνου ἐν μυλῶνι μόνῃ τῇ κινήσει τοῦ κόσμου ἐνήσχηνται, καὶ ἵνα ριφῇ 'ἐν τῷ πελάγει τῆς

---

35. Ἐξ. 19,24. 36. Ἐξ. 19,17.
37. Ματθ. 18,6. Μάρκ. 9,42. Λουκᾶ 17,2.

κι αὐτὰ πρέπει ὅμοια μὲ καπνὸ καὶ θύελλα νὰ τὰ ἐγκαταλείψει καὶ νὰ κρατήσει μόνο τὸν Ἀαρών[35], τὸν ἁπλὸ ἐννοῶ στὴν κατανόηση λόγο, ποὺ καταλάμπεται μὲ τὶς θεῖες λάμψεις σὰ νά 'ναι ἀστραπές. Κι ἔπειτα νὰ τὸν ἀφήσει ἔξω κι αὐτὸν καὶ νὰ εἰσδύσει στὸ γνόφο τῆς ἀγνωσίας, ὅπου κυριαρχεῖ ἡ ἔλλειψη λόγου καὶ νόησης. Κι ὅποιοι ἀπὸ τὸ λαὸ ἀγνίστηκαν κάτω στοὺς πρόποδες τοῦ βουνοῦ[36] αὐτοὶ νομίζω δηλώνουν τοὺς πρακτικούς, οἱ ἑβδομήντα πρεσβύτεροι δηλώνουν ἐκείνους ποὺ χρησιμοποιοῦν τὴ φυσικὴ θεωρία, οἱ γύρω ἀπὸ τὸν Ἀαρὼν ἐκείνους ποὺ ἀσκοῦν τὴ θεολογία καὶ οἱ κοντινοὶ τοῦ Μωϋσῆ αὐτοὺς ποὺ ἑνώνονται μὲ τὸ Θεὸ μὲ τὸν τρόπο τῆς ἀπόφασης καὶ τῆς ἀγνωσίας.

ΕΡΩΤΗΣΗ 74

Τί εἶναι τὸ διάψαλμα;

ΑΠΟΚΡΙΣΗ

Εἶναι νομίζω ἡ μεταβολὴ ἀπὸ νόημα σὲ νόημα ἢ καὶ ἀπὸ ἕνα τρόπο διδασκαλίας σὲ ἄλλο τρόπο.

ΕΡΩΤΗΣΗ 75

Τί σημαίνει ὁ λόγος «τοῦ συνέφερε νὰ προσδεθεῖ στὸν τράχηλό του μιὰ μυλόπετρα καὶ νὰ ριχτεῖ στὴ θάλασσα, παρὰ νὰ σκανδαλίσει ἕνα ἀπὸ τοὺς ἀσήμαντους»[37];

ΑΠΟΚΡΙΣΗ

Μικρούς, νομίζω, λέγει αὐτοὺς ποὺ ἔχουν ἀφελὴ σκέψη καὶ ἀπὸ τὴ μικρότητα τοῦ νοῦ τους δὲν μποροῦν νὰ διακρίνουν τὶς ἐπιλογὲς τῆς πρόνοιας. Ὅποιος λοιπὸν τοὺς σκανδαλίσει αὐτοὺς τοῦ συμφέρει νὰ ἔχει τὴν τύχη τῶν Ἑλλήνων, οἱ ὁποῖοι σὰν τοὺς ὄνους στὸ μύλο, συγκρατοῦνται ἀπὸ μόνη τὴν κίνηση τοῦ κόσμου, καὶ «νὰ ριχτεῖ στὸ πέλαγος τῆς θάλασσας»[38], δη-

38. Ματθ. 18,6.

θαλάσσης', τουτέστιν ἐν τῇ συγχύσει τοῦ βίου. Τοῦτο δὲ καὶ ὁ ἀπόστολος Πέτρος βεβαιοῖ λέγων· «κρεῖσσον ἦν αὐτοῖς μὴ ἐπιγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν εἰς τὰ ὀπίσω ἀνακάμψαι».

ΕΡΩΤΗΣΙΣ 76

Τίνος ἕνεκεν μετὰ τὸ λιθοβοληθῆναι κατὰ πρόσταξιν Θεοῦ τὸν τὰ ξύλα ἐν σαββάτῳ συλλέξαντα, κελεύει εἰς τὰ κράσπεδα τῶν ἱματίων ἀποδεσμεῖσθαι κλῶσμα ὑακίνθινον;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ πράξει καὶ γνώσει σαββατίζων, εἶτα ῥᾳθυμήσας, ἄρξηται τὰς ἐξαπτικὰς τῶν παθῶν ὕλας ἑαυτῷ ξύλων δίκην συλλέγειν, ἢ καὶ ὁ γνωστικὸς περὶ τὴν ἐπιφάνειαν τῶν ὁρατῶν στραφείς· εἰκότως τοῖς θείοις λόγοις οἱονεὶ λίθοις τὰ τοιαῦτα ἀποκτέννονται πάθη. Ἀλλ' ἐπειδὴ ὁρῶν ὁ Θεὸς τὸ ῥᾴθυμον καὶ εὐόλισθον τῶν ἀνθρώπων, πρὸς τὸ μὴ τῇ λήθῃ κρατουμένους ἐκπίπτειν τῆς ἐντολῆς, κελεύει εἰς τὰ κράσπεδα τῶν ἱματίων ἀποδεσμεῖσθαι κλῶσμα ὑακίνθινον, ἵνα, βλέποντες, εἰς μνήμην ἔρχωνται τοῦ προστάγματος. Ταῦτα μὲν ὁ φαινόμενος τοῦ νόμου σκοπός, ὁ δὲ πνευματικὸς καὶ τὰ βάθη καθαίρων ἐστὶν οὗτος· ἐπειδὴ τὸ κράσπεδον ἐκ τοῦ στήμονος τοῦ ἱματίου ἐστί, τοῦτο σημαίνει ὅτι δεῖ τῷ ἱματίῳ τῆς πρακτικῆς καὶ ἠθικῆς φιλοσοφίας ἠρτῆσθαι τὴν πίστιν –τοῦτο γὰρ ὁ στήμων– καὶ ἁπλῶς συμπεπλέχθαι πίστιν καὶ πρᾶξιν, ἐκ τούτων δὲ ἀποδεσμεῖσθαι ὑακίνθου τρόπον τὴν γνῶσιν, ἤτουν σοφίαν· σοφίαν γὰρ κατὰ τοὺς ἐτυμολογοῦντας ἡ σοφία λέγεται, ὅπερ ἡ τῆς ὑακίνθου χρόα διὰ τῆς μελάνσεως ἐνδείκνυται.

---

39. Β' Πέτρ. 2,21. 40. Ἀριθμ. 15,32–36.
41. Ἀριθμ. 15,38.

λαδὴ στὴ σύγχυση τοῦ βίου. Αὐτὸ τὸ βεβαιώνει καὶ ὁ Ἀπόστολος Πέτρος λέγοντας «εἶναι καλύτερο γι' αὐτοὺς νὰ μὴ λάβουν ἐπίγνωση τῆς ὁδοῦ τῆς δικαιοσύνης, παρὰ νὰ λάβουν καὶ νὰ ἐπιστρέψουν πίσω»[39].

ΕΡΩΤΗΣΗ 76

Γιὰ ποιό λόγο μετὰ τὸ λιθοβολισμό, ἔπειτα ἀπὸ προσταγὴ τοῦ Θεοῦ, ἐκείνου ποὺ μάζεψε ξύλα τὸ Σάββατο[40], ὁρίζει νὰ βάλουν στὰ κράσπεδα τῶν ρούχων τους ὑακίνθινη κλωστή[41];

ΑΠΟΚΡΙΣΗ

Ὅποιος τηρεῖ τὸ Σάββατο πρακτικὰ καὶ θεωρητικὰ κι ἔπειτα δείξει ραθυμία, ἀρχίζει νὰ μαζεύει ὅπως τὰ ξύλα τὴν ἐρεθιστικὴ ὕλη τῶν παθῶν μέσα του ἢ καὶ ὁ κάτοχος τῆς γνώσης ποὺ στρέφεται στὴν ἐπιφάνεια τῶν ὁρατῶν· εἶναι πολὺ εὔλογο λοιπὸν νὰ φονεύονται τὰ πάθη αὐτὰ μὲ τὰ λιθάρια τῶν θείων λόγων. Ἐπειδὴ ὅμως ὁ Θεὸς βλέπει ὅτι οἱ ἄνθρωποι εἶναι ράθυμοι καὶ εὔκολα ὀλισθαίνουν, γιὰ νὰ μὴ λησμονοῦν καὶ παραμελοῦν τὴν ἐντολή, προστάζει νὰ τοποθετοῦν ὑακίνθινη κλωστὴ στὶς ἄκρες τῶν ρούχων τους καὶ βλέποντάς την νὰ ἔρχεται στὴ μνήμη τους ἡ προσταγή. Αὐτὸς εἶναι ὁ φαινομενικὸς σκοπὸς τοῦ νόμου· ὁ πνευματικὸς ὅμως σκοπὸς ποὺ καθαρίζει τὸ βάθος εἶναι ὁ ἑξῆς· ἐπειδὴ ἡ οὔγια τοῦ ἐνδύματος γίνεται ἀπὸ τὸ στημόνι τοῦ ρούχου, αὐτὸ σημαίνει ὅτι πρέπει ἡ πίστη –γιατὶ αὐτὴ εἶναι τὸ στημόνι– νὰ συνδεθεῖ μὲ τὸ ἱμάτιο τῆς πρακτικῆς καὶ ἠθικῆς φιλοσοφίας καὶ νὰ συμπλεχτοῦν ἡ πίστη καὶ ἡ πράξη καὶ σ' αὐτὲς νὰ τοποθετηθοῦν ὅμοια μὲ τὴν ὑακίνθινη κλωστὴ ἡ γνώση, δηλαδὴ ἡ σοφία· γιατὶ σοφία[42], σύμφωνα μ' αὐτοὺς ποὺ κάνουν τὶς ἐτυμολογίες τῶν λέξεων, λέγεται ἡ σοφία, πράγμα ποὺ δείχνει μὲ τὸ μαύρισμά του τὸ χρῶμα τῆς ὑακίνθου.

---

42. Ὑπάρχει μικρὸ χάσμα στὸ χειρόγραφο.

ΕΡΩΤΗΣΙΣ 77

Τίς ἡ κατὰ τὸν Ἄβελ καὶ τὸν Κάιν κατ᾽ ἀναγωγὴν θεωρία;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Κάιν λαμβάνεται ἐπὶ τοῦ φρονήματος τῆς σαρκός, ὁ δὲ Ἄβελ ἐπὶ τοῦ πένθους, ἤγουν τῆς μετανοίας. Ὅτ᾽ ἂν οὖν μήπω τελείως κατορθώσας τὴν πρακτικὴν ἕξιν ὁ νοῦς χλευάζεται ὑπὸ τοῦ φρονήματος τῆς σαρκὸς καὶ ἐκβαίνει μετ᾽ αὐτοῦ εἰς τὸ πεδίον, τουτέστιν εἰς τὸ πλάτος τῆς φυσικῆς θεωρίας, ἀποκτέννεται μὴ ἰσχύων τὰς ἐπιφανείας τῶν ὄντων διαπερᾶσαι, ἀλλ᾽ ἐν αὐταῖς ἐναπομένων. Ὅστις οὖν ἀποκτέννει τὸν Κάιν, τουτέστι τὸ φρόνημα τῆς σαρκός, ὅπερ ἐστὶν ἡ συγκατάθεσις –ὁ γὰρ φονεύων τὸ πένθος συγκατατίθεται τῇ κακίᾳ–, ἑπτὰ ἐκδικούμενα παραλύει, τουτέστι τὰ ἑπτὰ τῆς πονηρίας πνεύματα ἢ καὶ τὰ ὑπ᾽ αὐτῶν ἐνεργούμενα ἑπτὰ τῆς κακίας πάθη καταργεῖ. Ἡ δὲ κατάρα τοῦ στένειν τὸν Κάιν δηλοῖ τὴν τοῦ συνειδότος ἐπανάστασιν τοῦ ἀεὶ τύπτοντος καὶ κατασείοντος αὐτοῦ τὴν διάνοιαν.

ΕΡΩΤΗΣΙΣ 78

Τί δηλοῖ ἡ κατὰ τὸν Λάμεχ ἱστορία;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν τὰ θεῖα πεπαιδευμένων, ὅτι ἐν τοῖς καιροῖς τοῦ Λάμεχ ἀταξίας καὶ ἀναρχίας οὔσης ὁ δυνατὸς τὸν ἀσθενοῦντα κατεδυνάσευεν. Οὗτος οὖν ὁ Λάμεχ ὑπαντήσας ἄνδρα μετὰ τῆς γυναικὸς ἀπέκτεινεν αὐτὸν καὶ ἔλαβε τὴν γυναῖκα αὐτοῦ. Ἀπαντήσας δὲ καὶ ἀδελφὸν μετὰ ἀδελφῆς ἀπέκτεινε καὶ αὐτὸν καὶ ἔλαβε τὴν ἀδελφὴν αὐτοῦ. Καὶ τὸν μὲν ἐκάλεσεν ἡ

---

43. Γεν. 4,1–16. 44. Ρωμ. 8,6.
45. Γεν. 4,8. 46. Ρωμ. 8,6.

ΕΡΩΤΗΣΗ 77

Ποιά εἶναι ἡ μεταφορικὴ ἐξήγηση τοῦ περιστατικοῦ μὲ τὸν Ἄβελ καὶ τὸν Κάιν[43];

ΑΠΟΚΡΙΣΗ

Ὁ Κάιν ἀντιπροσωπεύει τὸ φρόνημα τῆς σάρκας[44], ἐνῶ ὁ Ἄβελ ἐκφράζει τὸ πένθος, δηλαδὴ τὴ μετάνοια. Ὅταν λοιπὸν ὁ νοῦς, χωρὶς νὰ ἔχει κατορθώσει ἀκόμα τὴν πρακτικὴ ἕξη, δέχεται τὴ χλεύη ἀπὸ τὸ σαρκικὸ φρόνημα καὶ βγαίνει μαζί του στὴν πεδιάδα[45], δηλαδὴ στὸ πλάτωμα τῆς φυσικῆς θεωρίας, τότε φονεύεται ἐπειδὴ δὲν ἔχει τὴ δύναμη νὰ διαπεράσει τὶς ἐπιφάνειες τῶν ὄντων, ἀλλὰ παραμένει μέσα σ' αὐτές. Ὅποιος λοιπὸν φονεύει τὸν Κάιν, δηλαδὴ «τὸ σαρκικὸ φρόνημα[46] ποὺ εἶναι ἡ συγκατάθεση –γιατὶ ὅποιος φονεύει τὸ πένθος, δίνει τὴ συγκατάθεσή του στὴν κακία– κάνει νὰ παραλύσουν ἑπτὰ τιμωροί μας[47], δηλαδὴ τὰ ἑπτὰ πνεύματα τῆς κακίας, ἢ καὶ καταργεῖ τὰ ἑπτὰ πάθη τῆς κακίας ποὺ θέτονται σὲ κίνηση ἀπὸ αὐτά. Ἡ κατάρα κατὰ τοῦ Κάϊν νὰ στενάζει[48] δηλώνει τὴν ἐξέγερση τῆς συνείδησης ποὺ τὸν χτυπᾶ ἀδιάκοπα καὶ συγκλονίζει τὴ διάνοιά του.

ΕΡΩΤΗΣΗ 78

Τί δηλώνει ἡ ἱστορία σχετικὰ μὲ τὸν Λάμεχ[49];

ΑΠΟΚΡΙΣΗ

Λένε μερικοί, ἀπὸ ἐκείνους ποὺ ἔχουν παιδευτεῖ στὰ θεῖα, ὅτι στοὺς καιροὺς τοῦ Λάμεχ ἐπικρατοῦσε ἀταξία καὶ ἀναρχία καὶ ὁ δυνατὸς καταδυνάστευε τὸν ἀδύνατο. Αὐτὸς λοιπὸν ὁ Λάμεχ συναντώντας ἕναν ἄνδρα μὲ τὴ γυναίκα του, σκοτώνει τὸν ἄνδρα καὶ παίρνει τὴ γυναίκα του. Συναντώντας πάλι ἕναν ἀδελφὸ μὲ τὴν ἀδελφή του, τὸν σκοτώνει κι αὐτὸν καὶ παίρνει τὴν ἀδελφή του. Τὸν ἕνα ἡ Γραφὴ τὸν χαρακτήρισε ἄνδρα, ἐνῶ τὸν

47. Γεν. 4,15. 48. Γεν. 4,12. 49. Γεν. 4,19,23–24.

Γραφὴ ἄνδρα, τὸν δὲ νεανίσκον. Ταῦτα μὲν κατὰ τὴν ἱστορίαν· κατὰ δὲ θεωρίαν λαμβάνεται ὁ Λάμεχ ἐπὶ τῆς ἐνεργείας τῆς κακίας. Ἀπέκτεινε γὰρ ἐν ἡμῖν τὸν ἄνδρα, τὸν φυσικὸν νόμον, καὶ ἔλαβεν ἐξ αὐτοῦ τὴν αἴσθησιν· ἀπέκτεινε δὲ καὶ τὸν νεανίσκον, τὸν πνευματικόν φημι νόμον, καὶ ἔλαβεν ἐξ αὐτοῦ τὴν διάνοιαν, ὅπως ταύταις μιγνύμενος ὁ τῆς κακίας σπορεὺς ἀποτεκεῖν ποιήσῃ τὴν ἁμαρτίαν. Ἐκ τούτου οὖν τοῦ Λάμεχ «ἑβδομηκοντάκις ἑπτὰ ἐκδικεῖται», τουτέστιν ὑπὲρ τῆς συγκαταθέσεως καὶ ἐνεργείας δίκας εἰσπράττεται. Ὅθεν ὁ Κύριος, λέγοντι τῷ Πέτρῳ «ποσάκις ἐὰν ἁμάρτῃ εἰς ἐμὲ ὁ ἀδελφός μου ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;», ἀπεκρίθη ὁ Κύριος· «οὐ μόνον ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά», τουτέστι «τῷ μετανοοῦντί σοι μὴ μόνον τὰ μικρὰ τὰ ἐν συγκαταθέσει γινόμενα, ἀλλὰ καὶ τὰς ἐνεργείας ἀφήσεις».

ΕΡΩΤΗΣΙΣ 79

Τί δηλοῖ τὸ χωνευτὸν καὶ τὸ γλυπτὸν καὶ τὸ θεραφίν, ἅπερ ἐποίησαν ἐπὶ τοῦ Γεδεών, καὶ τί τὰ ἐνώτια καὶ οἱ μηνίσκοι, ἅπερ ἐποίησεν ὁ Γεδεὼν ἐφοὺδ καὶ ἔστησεν ἐν τῇ πύλῃ καὶ γέγονεν εἰς σκάνδαλον τοῦ οἴκου αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ἐκεῖνος ποιεῖ χωνευτὸν κατὰ τὴν Γραφὴν ὁ ἐκ τῶν ἔξωθεν προλήψεων ἔχων τοὺς τύπους τῆς κακίας καὶ ἐξ αὐτῶν χωνεύων καὶ εἰς ἐνέργειαν φέρων τὴν ἁμαρτίαν· γλυπτὸν δὲ ποιεῖ ὁ ἐξ ἑαυτοῦ δημιουργῶν τὸ πάθος· θεραφὶν δὲ ποιεῖ ὁ τὴν ἕξιν τῶν παθῶν κεκτημένος ὥσπερ δοχεῖον· φασὶ γὰρ τὸ θεραφὶν δοχεῖον εἶναι τοῦ αἵματος τῶν θυομένων. Τὸ δὲ ποιῆσαι τὸν Γεδεὼν ἀπὸ τῶν ἐνωτίων καὶ τῶν μηνίσκων ἐφούδ, τοῦτο

50. Γεν. 4,24. 51. Ματθ. 18,21.

ἄλλο νεαρό. Αὐτὰ λέει ἡ ἱστορία. Κατὰ μεταφορικὴ ὅμως ἐξήγηση ὁ Λάμεχ συμβολίζει τὴν ἐνέργεια τῆς κακίας. Γιατὶ αὐτὴ σκότωσε μέσα μας τὸν ἄνδρα, δηλαδὴ τὸ φυσικὸ νόμο, καὶ πῆρε ἀπὸ αὐτὸν τὴν αἴσθηση· σκότωσε καὶ τὸ νεαρό, ἐννοῶ τὸν πνευματικὸ νόμο, καὶ πῆρε ἀπὸ αὐτὸν τὸ νόηση, ὥστε μοιχευόμενος μ' αὐτὲς ὁ σπορέας τῆς κακίας νὰ τὶς κάνει νὰ γεννήσουν τὴν ἁμαρτία. Ἀπὸ αὐτὸν λοιπὸν τὸν Λάμεχ παίρνει ἐκδίκηση ἑβδομήντα φορὲς τὸ ἑπτὰ[50], δηλαδὴ τιμωρεῖται γιὰ τὴ συγκατάθεσή του στὴν κακία καὶ τὴν ἐνέργεια τῆς κακίας. Γι' αὐτὸ ὁ Κύριος ὅταν τὸν ρώτησε ὁ Πέτρος «πόσες φορὲς θὰ συγχωρήσω τὸν ἀδελφό μου ὅταν ἁμαρτήσει σ' ἐμένα; ἑφτὰ φορές;»[51], ἀπάντησε «ὄχι μονάχα ἑφτά, ἀλλὰ ἑβδομήντα φορὲς τὸ ἑπτά»[52], δηλαδὴ 'σ' αὐτὸν ποὺ θὰ μετανοήσει θὰ συγχωρήσεις ὄχι μόνο τὰ μικρὰ ἁμαρτήματα στὰ ὁποῖα συγκατατίθεται μόνο, ἀλλὰ κι αὐτὰ ποὺ ἐνεργεῖ'.

ΕΡΩΤΗΣΗ 79

Τί σημαίνουν τὸ χωνευτὸ καὶ τὸ γλυπτὸ καὶ τὸ θεραφὶν ποὺ ἔκαναν στὸν Γεδεὼν καὶ τί τὰ σκουλαρίκια καὶ τὰ στέμματα ποὺ ἔκανε ὁ Γεδεὼν[53] ἐφοὺδ καὶ τὰ ἔστησε στὴν πύλη καὶ ἔγιαν αἰτία σκανδάλου γιὰ τὸ σπίτι του[54];

ΑΠΟΚΡΙΣΗ

Χωνευτὸ κάνει, σύμφωνα μὲ τὴ Γραφή, ἐκεῖνος ποὺ ἀπὸ τὶς ἐντυπώσεις ποὺ προσλαμβάνει ἀπ' ἔξω ἔχει τοὺς τύπους τῆς κακίας καὶ ἀπὸ αὐτοὺς ἀναχωνεύει καὶ κάνει τὴν ἁμαρτία νὰ ἐνεργεῖ. Γλυπτὸ κάνει ὅποιος δημιουργεῖ τὸ πάθος ἀπὸ τὸν ἑαυτό του. Θεραφὶν πάλι κάνει ὅποιος ἔχει τὴν ἕξη τῶν παθῶν σὰν ἕνα δοχεῖο· γιατὶ τὸ θεραφὶν λένε εἶναι δοχεῖο ὅπου συλλέγεται τὸ αἷμα τῶν ζώων τῆς θυσίας. Τὸ ὅτι ὁ Γεδεὼν ἔκανε ἀπὸ τὰ σκουλαρίκια καὶ τὰ στέμματα ἐφούδ, αὐτὸ σημαίνει ὅτι ὅποιος

52. Ματθ. 18,22. 53. Κριτ. 17,3–5. 54. Κριτ. 8,24–27.

σημαίνει ὅτι ὅστις τῶν διδασκάλων ἀφ' ἑκάστου λαμβάνων λόγον ἢ δόγμα –τοῦτο γὰρ ἐνώτια καὶ μηνίσκοι– περί τινος τῶν κατὰ τὴν κτίσιν προφαινομένων, εἶτα ἐξ ὅλων συναγείρων ἓν μυστικὸν λόγον θεωρίας καὶ τοῦτον προτιθεὶς ἐν φανερῷ εἴτε καὶ ἐν βίβλοις κατατιθέμενος –τοῦτο γὰρ ἡ πύλη–, ὅσοι μὴ δύνανται νοῆσαι ἐκ νηπίας φρενὸς τὸ μυστικὸν τοῦ λόγου καὶ ἑνιαῖον, σκανδαλίζονται εἰς τὸν εἰπόντα διδάσκαλον.

ΕΡΩΤΗΣΙΣ 80

Τί σημαίνει ἡ κατ' αὐτὸν τὸν Γεδεὼν ἱστορία καὶ ὁ πόκος καὶ ὁ πόλεμος πρὸς τοὺς Μαδιηναίους καὶ τὰ λοιπά;

ΑΠΟΚΡΙΣΙΣ

Ἄγαρ, ἡ παιδίσκη Σάρρας, λαμβάνεται ἐπὶ τῆς αἰσθήσεως· αὐτὴ συλλαμβάνουσα διὰ τῆς φυσικῆς θεωρίας γεννᾷ τὸν φυσικὸν νόμον. Εἰ δὲ κατεξαναστῇ αὐτὴ τοῦ νοὸς ὥσπερ ἐκείνη τῇ Σάρρᾳ –'ἄρχουσα' δὲ ἡ Σάρρα ἑρμηνεύεται– παρωθεῖται ἡ αἴσθησις καὶ συλλαμβάνει ὁ νοῦς τὸν Ἰσαάκ, τὸν πνευματικὸν νόμον, ἐξ οὗ ὁ Ἰσραήλ, τουτέστιν 'ὁ νοῦς ὁ τὸν Θεὸν ὁρῶν'. Οὗτος ἐπειδὰν τυραννεῖται ὑπὸ τοῦ Μαδιάμ, τουτέστι τῆς πορνείας, παραδίδοται κατὰ συγχώρησιν ἑπτὰ ἔτη, τουτέστιν ἐν τοῖς χρονικοῖς καὶ ἐπικαίροις πάθεσιν. «Καὶ ἐποίησαν», φησίν, «οἱ υἱοὶ Ἰσραὴλ ἐν τοῖς ὄρεσιν τρυμαλιὰς καὶ σπήλαια»· πολεμούμενος γὰρ ὁ νοῦς δοκεῖ ἐπινοεῖν κακώσεις καὶ πόνους, ἀλλὰ χωρὶς γνώσεως τούτους ποιῶν ἀνοήτως κοπιᾷ. «Ἔσπειρε», γάρ φησιν, «ἀνὴρ Ἰσραὴλ καὶ ἀνέβαινε Μαδιὰμ καὶ Ἀμαλὴκ καὶ οἱ υἱοὶ ἀνατολῶν καὶ διέφθειρον τὸν καρπὸν τῆς γῆς»· Ἀμαλὴκ

---

55. Κριτ. 6–7. 56. Γεν. 16,3–4· 16,15.
57. Γεν. 16,4. 58. Γεν. 16,6.

ἀπὸ τοὺς δασκάλους παίρνει ἀπὸ τὸν καθένα ἕνα λόγο ἢ μιὰ διδασκαλία –αὐτὴ εἶναι τὰ σκουλαρίκια καὶ τὰ στέμματα– γιὰ κάποιο ἀπὸ τὰ φαινόμενα τῆς κτίσης κι ἔπειτα ἀπὸ ὅλα συλλέγοντας ἕνα, τὸ μυστικὸ λόγο τῆς θεωρίας καὶ ἀνακοινώνοντάς τον ἢ καταθέτοντάς τον καὶ μέσα σὲ βιβλία –γιατὶ αὐτὸ σημαίνει ἡ πύλη– ὅσοι δὲν μποροῦν νὰ ἐννοήσουν ἐξαιτίας τῆς νηπιάζουσας σκέψης τους τὴ μυστικότητα καὶ τὸ ἑνιαῖο τοῦ λόγου σκανδαλίζονται ἀπὸ τὸ δάσκαλο ποὺ τὸν δίδαξε.

ΕΡΩΤΗΣΗ 80

Τί σημαίνει ἡ διήγηση γιὰ τὸν Γεδεὼν καὶ τὸ ποκάρι τὸ μαλλὶ καὶ ὁ πόλεμος κατὰ τῶν Μαδιανιτῶν καὶ τὰ ἄλλα[55];

ΑΠΟΚΡΙΣΗ

Ἡ Ἄγαρ, ἡ ὑπηρέτρια τῆς Σάρρας, ἀντιπροσωπεύει τὴν αἴσθηση· αὐτὴ συλλαμβάνει μὲ τὴ φυσικὴ θεωρία καὶ γεννᾶ παιδὶ τὸ φυσικὸ νόμο[56]. Ἂν ἡ φυσικὴ θεωρία ξεσηκωθεῖ ἐναντίον τοῦ νοῦ, ὅπως ἡ Ἄγαρ ἐναντίον τῆς Σάρρας[57] –ἡ Σάρρα ἑρμηνεύεται 'αὐτὴ ποὺ ἄρχει'– παραμερίζεται ἡ αἴσθηση καὶ ὁ νοῦς συλλαμβάνει τὸν Ἰσαάκ[58], τὸν πνευματικὸ δηλαδὴ νόμο, ἀπὸ τὸν ὁποῖο προέρχεται ὁ Ἰσραήλ, δηλαδὴ 'ὁ νοῦς ποὺ βλέπει τὸν Θεό'[59]. Αὐτὸς ἐπειδὴ κατατυραννεῖται ἀπὸ τὸν Μαδιάμ, δηλαδὴ τὴν πορνεία, παραδίδεται σ' αὐτὴν κατὰ παραχώρηση γιὰ ἑπτὰ ἔτη[60], δηλαδὴ στὰ χρονικὰ κι ἐπίκαιρα πάθη. «Καὶ ἔκαναν», λέει, «οἱ Ἰσραηλίτες στὰ βουνὰ τρύπες καὶ σπήλαια»[61]· ὅταν δηλαδὴ πολεμᾶται ὁ νοῦς φαίνεται ὅτι ἐπινοεῖ κακουχίες καὶ πόνους, ἀλλὰ ὅταν τοὺς κάνει χωρὶς γνώση, κοπιάζει ἀνώφελα. Γιατί, λέει, «ἔσπειρε ὁ Ἰσραηλίτης κι ἀνέβαινε ὁ Μαδιανίτης καὶ ὁ Ἀμαλικίτης καὶ οἱ υἱοὶ τῆς ἀνατολῆς καὶ κατέστρεφαν τὸν καρπὸ τῆς γῆς»[62]. Γιατὶ ὁ Ἀμαλὴκ εἶναι ἡ κοι-

59. Γεν. 21,2–3. 60. Κριτ. 6,1.
61. Κριτ. 6,2. 62. Κριτ. 6,3–4.

γὰρ ἡ γαστριμαργία καὶ Μαδιὰμ ἡ πορνεία καὶ υἱοὶ ἀνατολῶν ἡ κενοδοξία· διαφθείρουσι πάντα τὸν σπόρον τῆς καρδίας, ὅνπερ ἄνευ γνώσεως ἐπιτηδεύειν δοκεῖ «καὶ οὐχ ὑπελείποντο ὑπόστασιν ζωῆς ἐν τῷ Ἰσραήλ», φησίν, ἐκ ποιμνίου καὶ μόσχου καὶ ὄνου, τουτέστιν ἔκ τε τοῦ λογικοῦ καὶ θυμικοῦ καὶ ἐπιθυμητικοῦ. «Ἀνέβαινον δὲ καὶ αἱ κτήσεις αὐτῶν καὶ αἱ σκηναὶ σὺν τοῖς καμήλοις αὐτῶν, ὧν οὐκ ἦν ἀριθμός», τουτέστι τὰ ποικίλα εἴδη τῶν παθῶν καὶ αἱ μνῆμαι αὐτῶν καὶ αἱ φαντασίαι. «Καὶ ἐπτώχευσε», φησίν, «ὁ Ἰσραὴλ ἀπὸ προσώπου Μαδιὰμ καὶ ἐκέκραξαν πρὸς Κύριον οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐξαπέστειλε Κύριος ἄνδρα προφήτην»· ἡνίκα γὰρ πτωχεύσει ὁ νοῦς πάσης ἀρετῆς, οἱ δὲ λογισμοὶ τούτου ἐκ μεταμελείας βοήσωσιν πρὸς Κύριον, ἐξαποστελεῖ Κύριος λόγον ἀναμιμνήσκοντα τὴν ἐξ Αἰγύπτου ἄνοδον, τουτέστι τὴν ἐκ τοῦ σκοτασμοῦ τῶν ἁμαρτιῶν λύτρωσιν. «Καὶ ἦλθε», φησίν, «ἄγγελος Κυρίου καὶ ἐκάθισεν ὑπὸ τὴν τερέβινθον» –τὸ τοῦ σταυροῦ μυστήριον αἰνιττόμενος– «καὶ ἦν», φησί, «Γεδεὼν ῥαβδίζων σῖτον ἐν ληνῷ», τουτέστι τὴν πρακτικὴν μετερχόμενος μετὰ τῆς γνώσεως· τοῦτο γὰρ ἡ ληνὸς τοῦ οἴνου. «Καὶ ὤφθη αὐτῷ ἄγγελος καὶ εἶπεν αὐτῷ· Κύριος μετὰ σοῦ, δυνατὸς ἰσχύϊ»· τὸν γὰρ ὑποτάξαντα καὶ δουλωσάμενον τὰ πάθη καὶ τὸ κῦρος διὰ πρακτικῆς καὶ γνώσεως κατ' αὐτὸν ἔχοντα, ἐκ τῶν ἰδιωμάτων αὐτὸν καλεῖ, «Κύριος μετὰ σοῦ». Καὶ δείκνυται τὸ ταπεινὸν τοῦ τοιούτου νοὸς ἐκ τῆς ἀποκρίσεως· εἶπε γάρ· «Καὶ εἰ ἔστι Κύριος ἐν ἡμῖν, εἰς τί ηὗρεν ἡμᾶς τὰ κακὰ ταῦτα;». «Καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄγγελος· Πορεύου ἐν τῇ ἰσχύϊ σου· ταύτῃ σώσῃς τὸν Ἰσραήλ», τουτέστιν ἐν τῇ ἰσχύϊ τῆς πράξεως καὶ τῆς γνώσεως. «Καὶ εἶπε πρὸς τὸν ἄγγελον· Εἰ εὗρον χάριν ἐν ὀφθαλμοῖς σου, μὴ δὴ κινηθῇς ἐντεῦθεν ἕως τοῦ ἐλθεῖν με πρὸς σέ». «Καὶ Γεδεὼν εἰσῆλθε καὶ

---

69. Κριτ. 6,13.
70. Κριτ. 6,14.

λιοδουλεία, Μαδιὰμ εἶναι ἡ πορνεία καὶ υἱοὶ τῆς ἀνατολῆς ἡ κενοδοξία· αὐτοὶ καταστρέφουν ὅλο τὸ σπόρο τῆς καρδιᾶς, ποὺ φαίνεται ὅτι τὸν γεωργεῖ χωρὶς γνώση. «Καὶ δὲν ἄφηναν», λέει, «στὸν Ἰσραὴλ κανένα πόρο ζωῆς»[63], ἀπὸ πρόβατο καὶ μοσχάρια καὶ ὄνους, δηλαδὴ ἀπὸ τὸ λογικό, τὸ θυμικὸ καὶ τὸ ἐπιθυμητικό. Γιατὶ «ἀνέβαιναν κι αὐτοὶ καὶ τὰ κτήματά τους καὶ οἱ σκηνὲς μαζὶ μὲ τὶς καμῆλες τους ποὺ δὲν εἶχαν μετρημό»[64], δηλαδὴ τὰ διάφορα εἴδη τῶν παθῶν καὶ ὅσα θυμοῦνταν καὶ ὅσα φαντάζονταν. «Κι ἔπεσε», λέει, «σὲ φτώχεια ὁ Ἰσραὴλ ἐξαιτίας τοῦ Μαδιὰμ καὶ ὕψωσαν φωνὴ στὸν Κύριο οἱ Ἰσραηλίτες καὶ ὁ Κύριος τοὺς ἔστειλε ἕνα προφήτη»[65]. Ὅταν δηλαδὴ ὁ νοῦς γίνει φτωχὸς ἀπὸ κάθε ἀρετὴ καὶ οἱ λογισμοὶ τοῦ ἀνθρώπου ποὺ μετανοεῖ ὑψώσουν φωνὴ πρὸς τὸν Κύριο, θὰ στείλει ὁ Κύριος λόγο ποὺ θὰ τοὺς ὑπενθυμίσει τὴν ἔξοδό τους ἀπὸ τὴν Αἴγυπτο, δηλαδὴ τὴ λύτρωσή του ἀπὸ τὸ σκότος τῶν ἁμαρτιῶν[66]. «Καὶ ἦρθε», λέει, «ἄγγελος Κυρίου καὶ κάθισε κάτω ἀπὸ τὴν τερέβινθο» –κάνοντας ὑπαινιγμὸ γιὰ τὸ μυστήριο τοῦ σταυροῦ– «καὶ ὁ Γεδεών», λέει, «ἦταν ἀπασχολημένος μὲ τὸ ράβδισμα τοῦ σιταριοῦ μέσα στὸ ληνό»[67], δηλαδὴ ἀσκοῦσε τὴν πρακτικὴ ἀπασχόληση μὲ γνώση· γιατὶ αὐτὸ εἶναι τὸ πατητήρι τῶν σταφυλιῶν. «Καὶ παρουσιάστηκε ἕνας ἄγγελος καὶ τοῦ εἶπε· "Ὁ Κύριος εἶναι μαζί σου, ὁ μεγαλοδύναμος'»[68]. Γιατὶ σ' αὐτὸν ποὺ ὑπόταξε καὶ ὑποδούλωσε τὰ πάθη καὶ τὴ δύναμη τῆς πράξης καὶ τῆς γνώσης ἀποτείνει τὸ λόγο γι' αὐτὲς τὶς ἰδιότητές του· «ὁ Κύριος μαζί σου». Ἡ ταπείνωση αὐτοῦ τοῦ νοῦ φαίνεται ἀπὸ τὴν ἀπάντηση τοῦ Γεδεών. Γιατὶ εἶπε· «ἂν εἶναι ὁ Κύριος μαζί μας, γιὰ ποιό λόγο μᾶς βρῆκαν αὐτὰ τὰ δεινά;»[69]. Καὶ ὁ ἄγγελος τοῦ εἶπε· «προχώρησε μὲ τὴ δύναμή σου· ἔτσι θὰ σώσεις τὸν Ἰσραήλ»[70], δηλαδὴ μὲ τὴ δύναμη τῆς πράξης καὶ τῆς γνώσης. Καὶ εἶπε πάλι στὸν ἄγγελο· «ἂν μοῦ ἔχεις χαρίσει τὸ ἔλεος σου, μὴν μετακινηθεῖς ἀπὸ ἐκεῖ ὥσπου νὰ γυρίσω σ' ἐσένα». «Ὁ Γε-

63. Κριτ. 6,4. 64. Κριτ. 6,5.
65. Κριτ. 6,6,8. 66. Κριτ. 6,11.
67. Κριτ. 6,11. 68. Κριτ. 6,12.

ἐποίησεν ἔριφον αἰγῶν καὶ ἔλαβεν οἰφὶ σεμιδάλεως καὶ ἄζυμα καὶ τὰ κρέα ἔθηκεν ἐν τῷ κοφίνῳ καὶ τὸν ζωμὸν ἔθηκεν ἐν τῇ χύτρᾳ καὶ ἐξήνεγκε πρὸς αὐτὸν ὑπὸ τὴν τερέβινθον καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄγγελος· Λάβε τὰ κρέα καὶ τοὺς ἀζύμους καὶ θὲς πρὸς τὴν πέτραν ἐκείνην καὶ τὸν ζωμὸν ἔκχεον ἐπ' αὐτῇ. Καὶ ἐποίησεν οὕτως». Ὅτ' ἂν γὰρ νόημα πνευματικὸν καταπεμφθῇ τῷ νῷ καὶ εὕρῃ ὁ νοῦς ἁρμόσαι τῇ τοιαύτῃ γνώσει διὰ τῶν προσφυῶν πράξεων τὰ ἐπιβάλλοντα, οὐκ ἀποκινεῖται ἡ γνῶσις. Τὸ δὲ ἐξενεγκεῖν τὰ κρέα καὶ τοὺς ἀζύμους καὶ τὸν ζωμὸν σημαίνει τὴν πρᾶξιν μετὰ τοῦ ἀτύφου περικεχυμένην τῇ γνώσει· τοῦτο γὰρ δηλοῖ ὁ ζωμός. Θεῖναι δὲ ταῦτα πρὸς τὴν πέτραν προστέταχεν· δεῖ γὰρ γνῶσίν τε καὶ πρᾶξιν τῇ εἰς Χριστὸν πίστει συνάπτεσθαι. «Καὶ ἐξέτεινεν ὁ ἄγγελος τὸ ἄκρον τῆς ῥάβδου τῆς ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἥψατο τῶν κρεῶν καὶ ἀνέβη πῦρ ἐκ τῆς πέτρας καὶ κατέφαγε τὰ κρέα καὶ τοὺς ἀζύμους καὶ ὁ ἄγγελος ἀπῆλθεν ἐξ ὀφθαλμῶν αὐτοῦ». Ὅτ' ἂν γὰρ ἡ τοιαύτη πρᾶξις καὶ γνῶσις τῇ πίστει τελειωθῶσιν, τότε τὸ πῦρ τοῦ Πνεύματος φωτεινὰς ἀπεργέζεται ταύτας καὶ ὁ τῆς ἀρχῆς τῆς γνώσεως λόγος συναφίπταται· οὐκέτι γὰρ ὡς τὸ πρότερον παρέπεται ὑπομιμνήσκων· ὅλῳ γὰρ τῷ φωτὶ τοῦ Πνεύματος ὁ νοῦς ἐγκραθεὶς οὐκέτι τοῖς ἐναρχθεῖσιν προσκάθηται.

Ὁ δὲ πόκος σημαίνει τὴν ἰουδαϊκὴν λατρείαν· ἐπ' αὐτὴν γὰρ ἐγένετο δρόσος· εἶχε γὰρ δικαιώματα λατρείας. Εἰς δὲ «πᾶσαν τὴν γῆν ξηρασία»· πάντα γὰρ τὰ ἔθνη ξηρὰ ἐτύγχανον τῆς τοῦ Θεοῦ γνώσεως. Τὸ δὲ ἐκπιάσαι εἰς τὴν λεκάνην τὸ ὕδωρ ἐσήμανε τὴν μέλλουσαν τοῦ βαπτίσματος χάριν· εἶχε γὰρ ἡ Παλαιὰ ἐν πολλοῖς τύπους τοῦ ἁγίου βαπτίσματος· οὗτοι οὖν ἐκπιασθέντες ἐν τῇ λεκάνῃ τοῦ βαπτίσματος τὸ κατ' αὐτὸ μυστήριον ἡμῖν ὑπέδειξαν. Τὸ δὲ δευτερῶσαι καὶ ἀνάπαλιν τὸν μὲν πόκον ἔχειν τὴν ξερασίαν, πᾶσαν δὲ τὴν γῆν δρόσον, ἐσήμαινε τὴν χάριν τοῦ Εὐαγγελίου· πᾶσα γὰρ ἡ γῆ τῆς εὐαγγελικῆς

---

71. Αἰγυπτιακὸ μέτρο βάρους, μισὸ κιλὸ περίπου. 72. Κριτ. 6,17–20.

δεὼν μπῆκε, ἑτοίμασε ἕνα ἐριφάκι, ἔλαβε ἕνα σιμιγδάλι[71] καὶ ἄζυμα καὶ ἔβαλε τὰ κρέατα σὲ πανέρι καὶ τὸ ζουμὶ σὲ χύτρα καὶ τὰ ἔφερε στὸν ἄγγελο κάτω ἀπὸ τὴν τερέβινθο. Τοῦ εἶπε ὁ ἄγγελος· 'πάρε τὰ κρέατα καὶ τὰ ἄζυμα καὶ βάλε τα κοντὰ σ' ἐκείνη τὴν πέτρα καὶ χύσε τὸ ζουμὶ πάνω της'. Καὶ ἔκανε ὅπως τοῦ εἶπε»[72]. Ὅταν δηλαδὴ σταλεῖ στὸ νοῦ κάποια πνευματικὴ σκέψη καὶ βρεῖ ὁ νοῦς τὸν τρόπο νὰ συνδέσει μ' αὐτὴ τὴ γνώση στὶς σκέψεις του τὶς κατάλληλες πράξεις, ἡ γνώση δὲν ἀπομακρύνεται. Τὸ ὅτι ἔβγαλε τὰ κρέατα καὶ τὰ ἄζυμα καὶ τὸ ζουμὶ σημαίνει τὴν πράξη ποὺ περιβάλλει τὴ γνώση μὲ τὴν ἔλλειψη ὑπερηφάνειας· γιατὶ αὐτὸ δηλώνει τὸ ζουμί. Τοῦ παράγγειλε ἐπίσης νὰ τὰ τοποθετήσει κοντὰ στὴν πέτρα· γιατὶ πρέπει ἡ γνώση κι ἡ πράξη νὰ συνάπτονται μὲ τὴν πίστη στὸ Χριστό. «Καὶ ἅπλωσε ὁ ἄγγελος τὴν ἄκρη τοῦ ραβδιοῦ ποὺ κρατοῦσε στὸ χέρι του κι ἄγγιξε τὰ κρέατα καὶ ξεπετάχτηκε φωτιὰ ἀπὸ τὴν πέτρα καὶ κατέφαγε τὰ κρέατα καὶ τὰ ἄζυμα καὶ ὁ ἄγγελος χάθηκε ἀπὸ τὰ μάτια του»[73]. Ὅταν δηλαδὴ ἡ πράξη αὐτὴ καὶ ἡ γνώση ὁλοκηρωθοῦν, τότε ἡ φωτιὰ τοῦ Πνεύματος τὶς κάνει φωτεινὲς καὶ ὁ λόγος τῆς ἀρχῆς τῆς γνώσης φτερουγίζει καὶ φεύγει. Γιατὶ δὲν ἀκολουθεῖ πιὰ ὅπως πρῶτα ὑπενθυμίζοντας. Ἐπειδὴ ὁ νοῦς ἔχει ἀναμιχθεῖ μὲ ὅλο τὸ φῶς τοῦ Πνεύματος, δὲν παραμένει πιὰ στὰ ἀρχικά.

Τὸ ποκάρι σημαίνει τὴν ἰουδαϊκὴ λατρεία· γιατὶ πάνω σ' αὐτὴν κάθισε ἡ δροσιά, ἀφοῦ περιεῖχε δίκαιες πράξεις, «ἐνῶ σ' ὅλη τὴ γῆ ἐπικρατοῦσε ξηρασία»[74]· ὅλα τὰ ἔθνη δηλαδὴ ἦταν ξηρὰ ἀπὸ γνώση Θεοῦ. Τὸ ὅτι στράγγισε τὸ νερὸ στὴ λεκάνη[75] σήμανε τὴ μελλοντικὴ χάρη τοῦ βαπτίσματος· γιατὶ ἡ Παλαιὰ Διαθήκη εἶχε σὲ πολλὰ σημεῖα τύπους τοῦ ἁγίου βαπτίσματος· αὐτοὶ οἱ τύποι στραγγισμένοι στὴ λεκάνη τοῦ ἁγίου βαπτίσματος μᾶς ὑποδήλωσαν τὸ μυστήριό του. Τὸ ὅτι ἔγινε γιὰ δεύτερη φορὰ καὶ τὸ ἀντίθετο τὸ νὰ στεγνώσει τὸ ποκάρι καὶ ὅλη ἡ γῆ νὰ ἔχει ἡ δροσιά[76], σήμαινε τὴ χάρη τοῦ Εὐαγγελίου· γιατὶ ὅλη

73. Κριτ. 6,21. 74. Κριτ. 6,37–38. 75. Κριτ. 6,38.
76. Κριτ. 6,39–40.

ἐπληρώθη δρόσου, κατελείφθη δὲ ξηρὸς πάσης πίστεως ὁ Ἰουδαίων λαός. Εἰς δὲ τὸν καθένα, πόκος ἐστὶν ἡ ἠθικὴ φιλοσοφία ἐκπιεζομένη εἰς τὴν λεκάνην τῆς γνώσεως· τὸ δὲ «τὴν γῆν πᾶσαν ἔχειν τὴν δρόσον» σημαίνει ὅτι μετὰ τὴν κατόρθωσιν τῆς ἠθικῆς φιλοσοφίας πᾶσα ἡ γῆ τῆς καρδίας πληροῦται θείας γνώσεως. Εἰ δὲ ἐπὶ μόνῃ τῇ τῶν ἠθῶν κατορθώσει δίχα τῆς προσφυοῦς γνώσεως ἐπαίρεταί τις, ὁ τοιοῦτος τὴν μὲν γῆν τῆς ἑαυτοῦ καρδίας ἄνικμον ἔχει, τὴν δὲ ἔξω σκηνὴν ὥσπερ πόκον καλλωπίζων φαίνεται.

Τὸ δὲ ἐξιόντι τῷ Γεδεὼν εἰς τὴν παράταξιν ὑποστρέψαι τὰς δέκα χιλιάδας, σημαίνει τοὺς δειλίᾳ τὸ ἐπίπονον τῆς ἀρετῆς ἀποδιδράσκοντας, προδιδούντων τὰς αἰσθήσεις καὶ τὰς αὐτῶν ἐνεργείας. Αἱ δὲ εἴκοσι χιλιάδες αἱ κύπτουσαι ἐπὶ κοιλίαν καὶ πίνουσαι τόδε τὸ ὕδωρ, εἰσὶν οἱ τὰ αἰσθητὰ προδώσαντες μετὰ τῶν αἰσθήσεων· τὰ γὰρ τέσσαρα στοιχεῖα συντιθέμενα ταῖς πέντε αἰσθήσεσιν ἀποτελεῖ τὸν εἴκοσι. Οὗτοι τῇ γῇ προσκυλινδούμενοι, τουτέστι τῇ γηΐνῃ προσπαθείᾳ ἡττημένοι, τὸ ὕδωρ τῆς γνώσεως πειρῶνται πίνειν, οὓς ὁ λόγος ἀποβλήτους τῆς πνευματικῆς παρατάξεως ὄντας ἀποβάλλεται. Τριακοσίους δὲ μόνον ἐκλέγεται τοὺς λάμψαντας· οὗτοι δέ εἰσιν οἱ σταυρώσαντες ἑαυτοὺς καὶ τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις τῇ ἑκατοντάδι τῆς τελειότητος σώας φυλάξαντες· ἑκατοντὰς γάρ ἐστιν ἡ δεκαπλουμένη τῶν ἐντολῶν δεκάς, ἑκάστης ἐντολῆς τὴν ἑτέραν ἐνπεριεχούσης καὶ σαφέστερον εἰπεῖν, ἡ μία δέκα οὖσα· ὅθεν καὶ τῇ Σάρρᾳ προκοψάσῃ προσετέθη τὸ ρό, δηλοῦντος τοῦ λόγου τὸ κατ' ἀρετὴν αὐτῆς τέλειον. Οὗτοι δὲ λάμποντες ταῖς χερσὶ τὸ ὕδωρ πίνουσι· διὰ γὰρ τῶν πόνων τῆς πράξεως τὸ ὕδωρ ἀρύονται τῆς γνώσεως. Κελεύει δὲ τούτοις ὁ τῆς πνευματικῆς πα-

---

77. Κριτ. 7,3.
78. Κριτ. 7,5–6.

ἡ γῆ ξεχείλισε ἀπὸ τὴν Εὐαγγελικὴ δροσιά, ἐνῶ ὁ Ἰουδαϊκὸς λαὸς ἔμεινε ξερὸς ἀπὸ κάθε πίστη. Γιὰ τὸν καθένα τώρα ποκάρι εἶναι ἡ ἠθικὴ φιλοσοφία ποὺ στραγγίζεται σὰν λεκάνη τῆς γνώσης. Τὸ ὅτι ἡ γῆ εἶχε ὅλη τὴ δροσιά, σημαίνει ὅτι μετὰ τὴν κατόρθωση τῆς ἠθικῆς φιλοσοφίας ὅλος ὁ χῶρος τῆς καρδιᾶς γεμίζει ἀπὸ τὴ θεία γνώση. Ἂν τώρα κάποιος καυχιέται μόνο γιὰ τὴν ἠθικὴ ἐπιτυχία του χωρὶς τὴν κατάλληλη γνώση, ὁ ἄνθρωπος αὐτὸς ἔχει δίχως ἰκμάδα τὴ γῆ τῆς καρδιᾶς του, ἐνῶ τὸ ἐξωτερικὸ σκήνωμά του τὸ καλλωπίζει φανερὰ σὰ νὰ εἶναι ποκάρι.

Τὸ ὅτι κατὰ τὴν ἔξοδο τοῦ Γεδεὼν στὴν παράταξη γύρισαν οἱ δέκα χιλιάδες[77], σημαίνει αὐτοὺς ποὺ ἀπὸ δειλία δραπετεύουν ἀπὸ τοὺς κόπους τῆς ἀρετῆς προδίδοντας τὶς αἰσθήσεις καὶ τὶς ἐνέργειές τους. Οἱ εἴκοσι χιλιάδες ποὺ σκύβουν στὴν κοιλιά τους καὶ πίνουν αὐτὸ τὸ νερὸ[78] εἶναι ὅσοι πρόδωσαν τὰ αἰσθητὰ μαζὶ μὲ τὶς αἰσθήσεις· γιατὶ πολλαπλασιασμένα τὰ τέσσερα στοιχεῖα μὲ τὶς πέντε αἰσθήσεις κάνουν τὸν ἀριθμὸ εἴκοσι. Αὐτοὶ κυλιόμενοι στὴ γῆ, ἡττημένοι δηλαδὴ ἀπὸ τὴν προσκόλλησή τους στὰ γήινα, προσπαθοῦν νὰ πιοῦν τὸ νερὸ τῆς γνώσης. Αὐτοὺς ὁ λόγος, ἀφοῦ εἶναι ἀποδιωγμένοι ἀπὸ τὴν πνευματικὴ παράταξη, τοὺς ἀποβάλλει. Ἐκλέγει τριακόσιους μόνο, ἐκείνους ποὺ διέπρεψαν[79]· αὐτοὶ εἶναι ὅσοι σταύρωσαν τὸν ἑαυτό τους καὶ τὶς τρεῖς δυνάμεις τῆς ψυχῆς φυλάγοντάς τες σῶες μέσα στὴν ἑκατοντάδα τῆς τελειότητας· γιατὶ ἑκατοντάδα εἶναι τὸ δεκαπλάσιο τῆς δεκάδας τῶν ἐντολῶν, καὶ κάθε μία ἐντολὴ περιέχει τὴν ἄλλη, καὶ γιὰ νὰ τὸ πῶ σαφέστερα ἡ μία εἶναι δέκα. Γι' αὐτὸ καὶ στὴ Σάρρα[80] ὅταν πρόκοψε προστέθηκε τὸ δεύτερο ρ, καὶ μ' αὐτὸ ὁ λόγος δηλώνει τὴν τελειότητα τῆς ἀρετῆς της. Αὐτοὶ πίνουν τὸ νερὸ τοποθετώντας το στὶς φοῦχτες τους· γιατὶ μὲ τοὺς κόπους τῆς πράξης ἀντλοῦν τὸ νερὸ τῆς γνώσης. Ὁ στρατηγὸς τῆς πνευματικῆς παράταξης τοὺς προ-

79. Κριτ. 7,6.
80. Γεν. 17,15.

ρατάξεως στρατηγὸς κρατεῖν ἐν μὲν τῇ ἀριστερᾷ ὑδρίας ἔνδον ἐχούσας λαμπάδας, ἐν δὲ δεξιᾷ κερατίνην, καὶ οὕτω τοῖς πολεμίοις συμπλέκεσθαι, σημαίνων διὰ τούτων ὅτι δεῖ τὸν πρὸς τοὺς ἀοράτους ἐχθροὺς παρατάττεσθαι μέλλοντα διὰ τῆς πρακτικῆς –τοῦτο γὰρ ἡ ἀριστερὰ χείρ– κρατεῖν τὸ σῶμα ἤδη διὰ τῆς ἀσκήσεως ἀποβάλλοντα πᾶσαν παθῶν νοτίδα καὶ ξηρὸν ὀστράκου τάξιν γενόμενον, ἔνδον ἔχον τὸ φῶς τῆς γνώσεως, τῇ δὲ δεξιᾷ, τουτέστι τῇ θεωρίᾳ, κατέχειν τὴν τοῦ λόγου διδασκαλίαν· αὐτὴ γὰρ ἡ κερατίνη. Τὸ δὲ συντρίβειν τὰς ὑδρίας σημαίνει ὅτι ἡ τελεία νέκρωσις τῆς σαρκὸς καὶ ἡ ταύτης ὑπεροψία ἐκκαλύπτει ἡμῖν τὸ φῶς τῆς γνώσεως.

Τὸ δὲ λέγειν, «ρομφαία τῷ Κυρίῳ καὶ τῷ Γεδεών», σημαίνει ὅτι ὁ τὸν λόγον τοῦ Κυρίου τὸν τμητικὸν ἐπιφερόμενος μετὰ καὶ τῆς ἰδίας σπουδῆς, ἀναιρεῖ τὰ πάθη. Τὸ δὲ ἐνύπνιον, ὅπερ εἶδον οἱ Μαδιηναῖοι, δηλοῖ ὅτι, ἡνίκα ἄρξηται ὁ νοῦς τῇ ἀσκήσει ἑαυτὸν ἐκδιδόναι καὶ κακουχεῖν τὸ σῶμα, τεκμαίρονται οἱ τῆς πορνείας δαίμονες ὥσπερ δι' ἐνυπνίου ὅτι «εἰ ἐξισχύσει ἐπεκτεῖναι ἑαυτὸν ὁ νοῦς τῇ τοιαύτῃ ἀσκήσει, ἀποκτέννει ἡμᾶς»· μαγὶς γὰρ κριθίνη κυλιομένη, τουτέστιν ἄσκησις προβαίνουσα, καταστρέφει τὰς σκηνὰς τῶν ἀλλοφύλων, τὰ συστατικὰ δηλαδὴ τῶν διαμόνων πάθη.

ΕΡΩΤΗΣΙΣ 81

Τί ἐστιν τὸ πρὸς τοὺς ἀποστόλους ἀπὸ τοῦ Κυρίου εἰρημένον τό, «ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος»;

ΑΠΟΚΡΙΣΙΣ

Αὐτὸς ὁ Κύριος λέγεται μεθ' ἡμῶν εἶναι ἐν τῷ νῦν αἰῶνι,

---

81. Κριτ. 7,16,20. 82. Κριτ. 7,20.
83. Ἑβρ. 4,12. 84. Κριτ. 7,13.

στάζει νὰ κρατοῦν στὸ ἀριστερὸ χέρι στάμνες μὲ λαμπάδες κρυμμένες μέσα τους[81] καὶ μὲ τὸ δεξὶ πολεμικὸ κέρας καὶ νὰ ἐπιτεθοῦν ἔτσι στοὺς ἐχθρούς, δηλώνοντας μὲ αὐτὸ ὅτι ὅποιος πρόκειται ν' ἀντιπαραταχθεῖ στοὺς ἀόρατους ἐχθροὺς μὲ τὴν πράξη –γιατὶ αὐτὸ εἶναι τὸ ἀριστερὸ χέρι– πρέπει νὰ κρατᾶ τὸ σῶμα του μὲ τὴν ἄσκηση μακριὰ ἀπὸ ὁποιαδήποτε ὑγρασία τῶν παθῶν καὶ νὰ γίνεται αὐτὸ ξηρὸ ὅπως ἕνα ὄστρακο, ἔχοντας μέσα του τὸ φῶς τῆς γνώσης. Μὲ τὸ δεξὶ χέρι, δηλαδὴ μὲ τὴ θεωρία, νὰ κατέχει τὴ διδασκαλία τοῦ λόγου· γιατὶ αὐτὴ εἶναι τὸ κέρας. Ἡ συντριβὴ πάλι τῆς στάμνας σημαίνει ὅτι ἡ τέλεια νέκρωση τῆς σάρκας καὶ ἡ περιφρόνησή της ἀποκαλύπτει σ' ἐμᾶς τὸ φῶς τῆς γνώσης.

Ὁ λόγος τους πάλι «ἡ ρομφαία τοῦ Κυρίου καὶ τοῦ Γεδεὼν»[82] σημαίνει ὅτι ἐκεῖνος ποὺ φέρει τὸ λόγο τοῦ Κυρίου ποὺ κομματιάζει[83] μαζὶ καὶ τὴν ἴδια του προθυμία, ἐξαφανίζει τὰ πάθη. Τὸ ὄνειρο ποὺ εἶδαν οἱ Μαδιανίτες[84] δηλώνει ὅτι ὅταν ἀρχίσει ὁ νοῦς νὰ παραδίνει τὸν ἑαυτό του στὴν ἄσκηση καὶ νὰ ταλαιπωρεῖ τὸ σῶμα, τότε οἱ δαίμονες τῆς πορνείας κάμνουν τὸ συλλογισμό, σὰν σὲ ὄνειρο, ὅτι 'ἂν βρεῖ ὁ νοῦς τὴ δύναμη νὰ ἐπεκταθεῖ σ' αὐτὴ τὴν ἄσκηση, μᾶς φονεύει'. Γιατὶ ζυμάρι κρίθινο ποὺ κυλάει[85], δηλαδὴ ἄσκηση ποὺ προχωρεῖ, καταστρέφει τὶς σκηνὲς τῶν ἀλλοφύλων, δηλαδὴ τὰ πάθη ποὺ συνιστοῦν τοὺς δαίμονες.

ΕΡΩΤΗΣΗ 81

Τί σημαίνει αὐτὸ ποὺ εἶπε ὁ Κύριος στοὺς ἀποστόλους, «νά, ἐγὼ θὰ εἶμαι μαζί σας ὡς τὴ συντέλεια τῆς ζωῆς αὐτῆς»[86];

ΑΠΟΚΡΙΣΗ

Ὁ ἴδιος ὁ Κύριος λέγεται στὴ Γραφὴ ὅτι εἶναι μαζί μας

85. Κριτ. 7,13. 86. Ματθ. 28,2.

ἐν δὲ τῷ μέλλοντι οἱ ἅγιοι μετ' αὐτοῦ ἔσονται, τῇ χάριτι θεωθέντες.

ΕΡΩΤΗΣΙΣ 82

Τί σημαίνει ἡ Ἱεριχὼ καὶ τίς ὁ Ἀχὰρ ὁ κλέψας ἐκ τοῦ ἀναθέματος καὶ διατί ὁ μὲν Θεὸς καῆναι αὐτὸν προστάσσει, ὁ δὲ Ἰησοῦς ἐλιθοβόλησεν αὐτόν;

ΑΠΟΚΡΙΣΙΣ

Ὅστις εἰς παράταξιν θείαν καταλεγεὶς κυκλοῖ τὴν Ἱεριχὼ ἑπτὰ περιόδοις σαλπίζων, τουτέστι διοδεύων τὸν ἑβδοματικὸν τοῦ χρόνου τούτου αἰῶνα τῇ σάλπιγγι τοῦ Εὐαγγελίου, διδάσκεται πάντα τὰ τοῦ αἰῶνος τούτου τῷ Θεῷ ἀνατιθέναι. Ὅστις δὲ νοσφίσηται γλῶσσαν καὶ κρύψει ἐν τῇ γῇ, τουτέστι τὸν λόγον ἐν τῇ γηΐνῃ τοῦ κόσμου σοφίᾳ, ἢ καὶ ψιλὴν –ὅπερ ἐστὶν ἱμάτιον– τουτέστι τὸ ἦθος πρὸς ἀρέσκειαν τῶν θεωμένων ἐξασκῶν, καὶ διακοσίους χρυσοῦς, τουτέστι τὰ αἰσθητὰ πάντα μετὰ τῶν αἰσθήσεων, οὕστινας χρυσοῦς ἐν τῇ γῇ τῆς ἰδίας σαρκικῆς ἀπολαύσεως κατακρύψας, οὗτος ὑπὸ τοῦ στρατηγοῦντος λόγου πρῶτον μὲν ἐπ' αὐτῷ πυρὸς δίκην ζέσαντος, ἔπειτα δὲ καὶ θείοις λόγοις οἱονεὶ λίθοις βαλλόμενος ἀποκτέννυται.

ΕΡΩΤΗΣΙΣ 83

Περὶ διαφόρων θελημάτων Θεοῦ.

ΑΠΟΚΡΙΣΙΣ

Τρία θελήματα ἐπὶ Θεοῦ χρὴ ὑπολαμβάνειν, κατ' εὐδοκίαν, κατ' οἰκονομίαν, κατὰ συγχώρησιν. Καὶ τὸ μὲν κατ' εὐδοκίαν δηλοῖ τὸ κατὰ τὸν Ἀβραάμ, λέγοντα πρὸς αὐτὸν «ἔξελθε

---

87. Ἰησ. Ναυῆ 6. 88. Ἰησ. Ναυῆ 2,11· 7,20–21.
89. Ἰησ. Ναυῆ 7,25. 90. Ἰησ. Ναυῆ 6,13–16,4.

στὴ ζωὴ αὐτὴ καὶ οἱ ἅγιοι θὰ εἶναι μαζί του στὴ μέλλουσα, γινόμενοι θεοὶ κατὰ χάρη.

ΕΡΩΤΗΣΗ 82

Τί σημαίνει ἡ Ἰεριχὼ[87] καὶ ποιός εἶναι ὁ Ἀχὰρ ποὺ ἔκλεψε ἀπὸ τὸ ἀνάθεμα καὶ γιατί, ἐνῶ ὁ Θεὸς διέταξε νὰ καεῖ[88], ὁ Ἰησοῦς τὸν λιθοβόλησε[89];

ΑΠΟΚΡΙΣΗ

Αὐτὸ ποὺ συγκαταλέχθηκε στὴ θεία παράταξη καὶ περικυκλώνει τὴν Ἰεριχὼ[90] σαλπίζοντας σὲ ἑπτὰ διαστήματα, περνώντας δηλαδὴ τὸν ἑβδοματικὸ χρόνο τοῦ αἰώνα τούτου μὲ τὴ σάλπιγγα τοῦ Εὐαγγελίου, διδάσκεται ν' ἀναθέτει ὅλα ὅσα εἶναι τοῦ αἰώνα τούτου στὸ Θεό. Ἂν ὅμως κάποιος ἰδιοποιηθεῖ πλάκα χρυσοῦ καὶ τὴν κρύψει μέσα στὴ γῆ, κρύψει δηλαδὴ τὸ λόγο στὴ γήινη σοφία τοῦ κόσμου ἢ ἰδιοποιηθεῖ κέρματα –πράγμα ποὺ εἶναι τὸ φόρεμα– δηλαδὴ ἐκδηλώνει συμπεριφορὰ γιὰ ν' ἀρέσει σ' αὐτοὺς ποὺ τὸν βλέπουν ἢ καὶ διακόσια χρυσά[91], ὅλα τὰ αἰσθητὰ δηλαδὴ μαζὶ μὲ τὶς αἰσθήσεις, καὶ τὰ κρύψει μέσα στὴ γῆ τῶν ἴδιων του σαρκικῶν ἀπολαύσεων, αὐτὸν τὸν φονεύει ὁ λόγος ποὺ εἶναι ὁ στρατηγός, κατακαίοντάς τον πρῶτα σὰ νὰ τοῦ ρίχνει φωτιὰ κι ἔπειτα χτυπώντας τον μὲ τοὺς θείους λόγους σὰ νὰ εἶναι πέτρες.

ΕΡΩΤΗΣΗ 83

Περὶ διαφόρων θελημάτων τοῦ Θεοῦ.

ΑΠΟΚΡΙΣΗ

Πρέπει νὰ πιστεύομε ὅτι ὁ Θεὸς ἔχει τρία θελήματα· κατ' εὐδοκία, κατ' οἰκονομία καὶ κατὰ παραχώρηση[92]. Τὸ κατ' εὐδοκία δηλώνεται μὲ ἐκεῖνο ποὺ γίνεται στὸν Ἀβραὰμ στὸν ὁποῖο

91. Ἰησ. Ναυῆ 7,21.
92. Μαξίμου Ὁμολογητοῦ *Ἐπιστολὴ 26*, PG 91,617A.

ἐκ τῆς γῆς σου»· τὸ δὲ κατ' οἰκονομίαν δηλοῖ τὰ κατὰ τὸν Ἰωσὴφ οἰκονομηθέντα πρὸς τὴν τῶν μελλόντων ἔκβασιν· τὸ δὲ κατὰ συγχώρησιν δηλοῖ τὰ κατὰ τὸν Ἰὼβ γενόμενα.

ΕΡΩΤΗΣΙΣ 84

Τί ἐστιν, «μὴ μακαρίσῃς ἄνδρα πρὸ τελευτῆς αὐτοῦ»;

ΑΠΟΚΡΙΣΙΣ

Καὶ κατὰ τὸν πρόχειρον τῶν πολλῶν νοῦν, διὰ τὸ ἄδηλον καὶ τὸ τῆς ἀνθρωπίνης προαιρέσεως εὐόλισθον, οὐ χρὴ μακαρίζειν τινὰ μέχρι διὰ πάσης ἀρετῆς διελθὼν ἀναντιρρήτῳ τέλει τὴν ζωὴν κατακλείσει. Πρὸς δὲ τὸν ὑψηλότερον νοῦν, ὁ ἀρξάμενος διὰ τῆς μετανοίας καὶ ἀσκήσεως τὸ ζῶν ἐν αὐτῷ γήϊνον φρόνημα ταπεινοῦν καὶ ἀσθενῆ ποιεῖν, οὔπω μακαριστὸς μέχρις ἂν διὰ τοῦ συντόνου τῆς ἀσκήσεως πόνου νεκρωθῇ καὶ συντέλειαν λάβῃ· ὁ γὰρ τοιοῦτος μακάριος, ὡς τῷ Χριστῷ συναποθανὼν διὰ τῆς τῶν κακῶν ἀπραξίας καὶ συνανιστάμενος πάλιν διὰ τοῦ ὕψους τῶν ἀρετῶν. Τοῦτο γὰρ καὶ ὁ ψαλμῳδὸς σημαίνει λέγων, «μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ», οἱ καθαροὶ δηλονότι κακίας, «οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου», οἱ διὰ τῶν ἀγαθῶν πράξεων ὁδεύοντες.

ΕΡΩΤΗΣΙΣ 85

Τί σημαίνει ὁ ψαλμῳδὸς περὶ ἐχθρῶν λέγων «τῶν κύκλῳ συνεπιτιθεμένων»;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ «κύκλῳ» ἐστὶν τὸ ἐμπρός, τὸ ὀπίσω, τὸ δεξιόν, τὸ ἀρι-

---

93. Γεν. 12,1. 94. Γεν. 37–47. 95. Ἰὼβ 1,13· 2,13.

96. Εἶναι βέβαια ἡ γνώμη τοῦ Σόλωνα ποὺ εἰπώθηκε κι ἐπαλήθευσε τραγικὰ στὸν Κροῖσο. Βλ. καὶ Σοφ. Σειρὰχ 11,28.

λέει, «βγὲς ἀπὸ τὴν πατρίδα σου»[93]. Τὸ κατ' οἰκονομία δηλώνεται μὲ ὅσα εἶχε κάνει γιὰ τὸν Ἰωσὴφ[94] γιὰ νὰ ἐπιτύχει ὅτι ἔγινε ἀργότερα. Καὶ τὸ κατὰ παραχώρηση δηλώνεται μὲ ὅλα ὅσα εἶχαν συμβεῖ στὸν Ἰώβ[95].

ΕΡΩΤΗΣΗ 84

Τί σημαίνει ἡ συμβουλή, «μὴ μακαρίσεις ἄνθρωπο πρὶν ἀπὸ τὸ τέλος του»[96];

ΑΠΟΚΡΙΣΗ

Κατὰ τὴν πρόχειρη σκέψη τῶν πολλῶν, ἐπειδὴ εἶναι ἄδηλη καὶ εὐμετάβολη ἡ ἀνθρώπινη προαίρεση, δὲν πρέπει νὰ καλοτυχίζομε κανένα μέχρι πού, διανύοντας ὅλο τὸ δρόμο τῶν ἀρετῶν, σφραγίσει τὴ ζωή του μ' ἕνα ἀδιαφιλονείκητο τέλος. Σύμφωνα ὅμως μὲ τὸ ἀνώτερο νόημα, ὅποιος ἄρχισε μὲ τὴ μετάνοια καὶ τὴν ἄσκηση νὰ ταπεινώνει καὶ ν' ἀποδυναμώνει τὸ ζωντανὸ μέσα του γήινο φρόνημα, δὲν μπορεῖ νὰ μακαριστεῖ ἀκόμα, ὡσποὺ μὲ τὸ σκληρὸ τόνο τῆς ἄσκησης νεκρωθεῖ καὶ πεθάνει. Αὐτὸς εἶναι μακάριος, ἐπειδὴ πέθανε μαζὶ καὶ γιὰ χάρη τοῦ Χριστοῦ μὲ τὴν ἀπραξία τῶν κακῶν καὶ ποὺ ἀνασταίνεται πάλι μαζί του μὲ τὸ ὕψος τῶν ἀρετῶν του. Τὸ ἴδιο σημαίνει κι ὁ ψαλμωδὸς λέγοντας· «μακάριοι ὅσοι πορεύονται ἄμωμοι»[97], οἱ καθαροὶ δηλαδὴ ἀπὸ κακία, «ὅσοι βαδίζουν σύμφωνα μὲ τὸ νόμο τοῦ Κυρίου»[98], αὐτοὶ ποὺ ὁδεύουν διὰ μέσου τῶν ἀγαθῶν πράξεων.

ΕΡΩΤΗΣΗ 85

Τί θέλει νὰ πεῖ ὁ Ψαλμωδὸς γιὰ τοὺς ἐχθροὺς λέγοντας, «αὐτοὶ ποὺ μοῦ ἐπιτέθηκαν ἀπὸ παντοῦ»[99];

ΑΠΟΚΡΙΣΗ

Τὸ «ἀπὸ παντοῦ» σημαίνει τὸ ἐμπρός, τὰ νῶτα, τὰ δεξιὰ

97. Ψαλμ. 118,1. 98. Ψαλμ. 118,1. 99. Ψαλμ. 3,7.

στερόν. Ἐπιτίθενται οὖν ἡμῖν οἱ δαίμονες ἔμπροσθεν μὲν ὅτ' ἂν διὰ τῶν τῆς ὕλης ἐπιφανειῶν δελεάζουσιν, ὀπίσω δὲ ὅτ' ἂν διὰ τῶν προλήψεων τῶν λογισμῶν τῆς κακίας τὴν μνήμην ἀνακινοῦσιν, ἀριστερὰ δὲ ὅτ' ἂν διὰ τῶν σαρκικῶν καὶ ἀκολάστων παθῶν τὴν ψυχὴν ἐκμοχλεύουσιν, δεξιὰ δὲ ὅτ' ἂν διὰ κενοδοξίας καὶ ὑπερηφανίας τῇ ψυχῇ ἐπιτίθενται.

ΕΡΩΤΗΣΙΣ 86

Τί ἐστιν, «λάβετε ψαλμὸν καὶ δότε τύμπανον»;

ΑΠΟΚΡΙΣΙΣ

Λάβετε διδασκαλίαν ἔνθεον καὶ δότε πρᾶξιν ἐνάρετον διὰ τῆς νεκρώσεως τοῦ σώματος.

ΕΡΩΤΗΣΙΣ 87

Τί ἐστιν στοιχείωσις;

ΑΠΟΚΡΙΣΙΣ

Τρία φασὶν λέγεσθαι σώματα· πρῶτον μὲν τὸ τῶν τεσσάρων στοιχείων, πυρός, ὕδατος, γῆς, ἀέρος· εἶτα ἐκ τούτων δεύτερα σώματα, πάντα τὰ φυόμενα δένδρα τε καὶ λαχανηρά· ἐκ τούτων δὲ τρίτον σῶμα τὸ ἀνθρώπινον καὶ τὸ τῶν ἀλόγων· ταῦτα γὰρ τρώγοντες γίνονται σάρκες. Ὥσπερ οὖν ἀρχὴ καὶ στοιχείωσίς ἐστι τῶν ἡμετέρων σωμάτων τὰ τέσσαρα στοιχεῖα, οὕτω καὶ τῆς ψυχῆς ἡ ἐκ τῶν τεσσάρων γενικῶν ἀρετῶν στοιχείωσις καὶ ἀρχὴ ποιεῖ τὴν τῶν ἠθῶν κατόρθωσιν· εἶτα ἐξ αὐτοῦ οἱονεὶ δεύτερον σῶμα ἡ ἕξις τῶν ἀρετῶν· εἶτα ἀπὸ ταύτης σωματοποιεῖται ἡ γνῶσις, ἤτουν θεωρία· «πρᾶξις γὰρ ἐπίβασις θεωρίας».

---

1. Ψαλμ. 80,3.
2. Γρηγορίου Θεολόγου, *Λόγος Κ', Περὶ δόγματος καὶ καταστάσεως ἐπι-*

καὶ τ' ἀριστερά. Ἀπὸ ἐμπρὸς λοιπὸν ὁρμοῦν οἱ δαίμονες ἐναντίον μας, ὅταν μᾶς δελεάζουν μὲ τὴν ἐξωτερικὴ ἐπιφάνεια τῆς ὕλης· ἀπὸ τὰ νῶτα, ὅταν μὲ τὶς διάφορες παραστάσεις ἀνακινοῦν στὴ μνήμη μας τοὺς λογισμοὺς τῆς κακίας· ἀπὸ ἀριστερά, ὅταν συνταράζουν τὴν ψυχὴ μὲ τὰ σαρκικὰ κι ἀκόλαστα πάθη· κι ἀπὸ τὰ δεξιά, ὅταν ὁρμοῦν στὴν ψυχὴ μὲ τὰ ὅπλα τῆς ματαιοδοξίας καὶ τῆς ὑπερηφάνειας.

ΕΡΩΤΗΣΗ 86

Τί σημαίνει «λάβετε ψαλμὸ καὶ δῶστε τύμπανο»[1];

ΑΠΟΚΡΙΣΗ

Λάβετε ἀπὸ ἐμένα διδασκαλία ἔνθεη καὶ δῶστε μου πράξη ἐνάρετη μὲ τὴ νέκρωση τοῦ σώματος.

ΕΡΩΤΗΣΗ 87

Τί σημαίνει στοιχείωση;

ΑΠΟΚΡΙΣΗ

Λένε ὅτι ἔχομε τριῶν εἰδῶν σώματα· πρῶτα τὰ φυσικὰ σώματα ποὺ ἀποτελοῦνται ἀπὸ τὰ τέσσερα στοιχεῖα, φωτιά, νερό, γῆ, ἀέρα· δεύτερα σώματα εἶναι ὅλα τὰ φυτά, δέντρα καὶ πόες· κοντὰ σ' αὐτὰ τρίτον εἶναι τὸ σῶμα τῶν ἀνθρώπων καὶ τῶν ζώων· ὅταν αὐτὰ τὰ τρῶνε μεταβάλλονται σὲ σάρκες. Ὅπως λοιπὸν ἀρχὴ καὶ στοιχείωση τῶν σωμάτων μας εἶναι τὰ τέσσερα στοιχεῖα, ἔτσι καὶ ἡ στοιχείωση καὶ ἡ ἀρχὴ τῆς ψυχῆς μας ἀπὸ τὶς τέσσερες γενικὲς ἀρετὲς προκαλεῖ τὴν ὀρθὴ κατεύθυνση τῆς συμπεριφορᾶς· ἀπὸ αὐτὸ ἔπειτα σὰν δεύτερο σῶμα εἶναι ἡ ἕξη τῶν ἀρετῶν· κι ἔπειτα, ἀπὸ αὐτὴν πραγματοποιεῖται ἡ γνώση, δηλαδὴ ἡ θεωρία· γιατὶ ἡ πράξη εἶναι ἡ ἐπισφράγιση τῆς θεωρίας[2].

σκόπων, 12(PG 35,1080B4-5), καὶ Γρηγορίου Θεολόγου, Ἅπαντα τὰ ἔργα, Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, τόμ. 4, σ. 2762-3.

ΕΡΩΤΗΣΙΣ 88

Τί σημαίνει ἡ τῷ Ἰακὼβ ὀφθεῖσα κλῖμαξ καὶ τίνες οἱ καταβαίνοντες καὶ ἀναβαίνοντες ἄγγελοι;

ΑΠΟΚΡΙΣΙΣ

Κλίμακα οἰόμεθα εἶναι τὴν εἰς Θεὸν εὐσέβειαν, ἄγγελοι δὲ κατερχόμενοι καὶ ἀνερχόμενοι, ἀνερχόμενοι μὲν οἱ τῶν ἀρετῶν λόγοι δι' ἡμῶν ὑψούμενοι, κατερχόμενοι δὲ οἱ διὰ τὴν τῶ ἀρετῶν ἡμῶν ὕψωσιν κατιόντες τῆς γνώσεως λόγοι.

ΕΡΩΤΗΣΙΣ 81

Τί σημαίνει τὸ δηνάριον τὸ ἐπιδιδόμενον τῷ Κυρίῳ ὑπὸ τῶν Φαρισαίων;

ΑΠΟΚΡΙΣΙΣ

Δηνάριόν ἐστιν ὁ κατὰ συγχώρησιν δεδομένος τῆς χρείας τοῦ σώματος νόμος· δεῖ οὖν προσαγόντων ἡμῖν τοῦτον τῶν εἰς τύπον τῶν δαιμόνων ὄντων Φαρισαίων κρατεῖν καὶ ἐξετάζειν διὰ τῆς διακρίσεως, καὶ τῇ μὲν φύσει ἀπονέμειν τὰ τῆς χρείας –τοῦτο γάρ ἐστιν δοῦναι τὰ Καίσαρος τῷ Καίσαρι–, τὴν δὲ πᾶσαν τῆς ψυχῆς ἔφεσιν ἀπονεῖμαι τῷ Θεῷ.

ΕΡΩΤΗΣΙΣ 90

Τί δηλοῖ τὸ «ἐὰν διώκουσιν ὑμᾶς ἀπὸ ταύτης τῆς πόλεως, φεύγετε εἰς τὴν ἄλλην»;

ΑΠΟΚΡΙΣΙΣ

Αἱ πόλεις ἐπὶ φρουρᾶς καὶ ἀσφαλείας καὶ φυλακῆς τιμίων εἰσίν· πόλις οὖν ἐστι κατὰ τὸν τῆς ἀλληγορίας τρόπον ἡ ἐκ διαφόρων τρόπων ἐπινοουμένη ἄσκησις, οἷον, ἐγκράτεια οἴνου, βρωμάτων ἀποχή, ἐπιτεταμένη ἀγρυπνία καὶ τὰ τοιαῦτα, ἅτινά

3. Γεν. 28,12. 4. Ματθ. 22,19. Μάρκ. 12,15–16. Λουκᾶ 20,24.

ΕΡΩΤΗΣΗ 88

Τί σημαίνει ἡ σκάλα ποὺ εἶδε ὁ Ἰακὼβ καὶ τί εἶναι οἱ ἄγγελοι ποὺ κατέβαιναν κι ἀνέβαιναν[3];

Σκάλα νομίζομε πὼς εἶναι ἡ εὐσέβεια πρὸς τὸ Θεό. Ἄγγελοι αὐτοὶ ποὺ ἀνεβαίνουν καὶ κατεβαίνουν· αὐτοὶ ποὺ ἀνεβαίνουν εἶναι οἱ λόγοι τῶν ἀρετῶν, ποὺ ἀνυψώνονται ἀπὸ ἐμᾶς, ἐνῶ αὐτοὶ ποὺ κατεβαίνουν εἶναι οἱ λόγοι τῆς γνώσης ποὺ ἀπορρέουν ἀπὸ τὸ ἀνέβασμα τῶν ἀρετῶν μας.

ΕΡΩΤΗΣΗ 89

Τί σημαίνει τὸ δηνάριο ποὺ δίνουν οἱ Φαρισαῖοι στὸν Κύριο[4];

ΑΠΟΚΡΙΣΗ

Δηνάριο εἶναι ὁ νόμος τῶν σωματικῶν ἀναγκῶν ποὺ δίνεται κατὰ παραχώρηση. Πρέπει λοιπὸν ὅταν μᾶς τὸν προσφέρουν οἱ Φαρισαῖοι, ποὺ συμβολίζουν τοὺς δαίμονες, νὰ τὸν παίρνομε ἐξετάζοντάς τον μὲ τὴ διάκριση καὶ στὴ φύση μας ν' ἀποδίδομε ὅ,τι τῆς χρειάζεται –γιατὶ αὐτὸ σημαίνει «νὰ δίνομε στὸν Καίσαρα ὅ,τι ἀνήκει στὸν Καίσαρα[5]– ἐνῶ ὅλη τὴν ἔφεση τῆς ψυχῆς μας νὰ τὴν ἀποδώσομε στὸ Θεό.

ΕΡΩΤΗΣΗ 90

Τί σημαίνει ὁ λόγος, «ἂν σᾶς διώχνουν ἀπὸ αὐτὴν τὴν πόλη πηγαίνετε στὴν ἄλλη»[6];

ΑΠΟΚΡΙΣΗ

Οἱ πόλεις εἶναι γιὰ φρούρηση, ἀσφάλεια καὶ φύλαξη πολύτιμων πραγμάτων· ἡ πόλη λοιπὸν ἀλληγορικὰ εἶναι ἡ ἄσκηση ποὺ πραγματοποιεῖται ἀπὸ διάφορες ἐπινοήσεις, γιὰ παράδειγμα ἀπὸ τὴν ἐγκράτεια κρασιοῦ, ἀποχὴ ἀπὸ φαγητά, παρατεινό-

5. Ματθ. 22,21. Μάρκ. 12,17. Λουκᾶ 20,25. 6. Ματθ. 10,23.

εἰσι φρουρὰ καὶ ἀσφάλεια. Ἐὰν οὖν διώκουσιν ἡμᾶς οἱ δαίμονες ἀπὸ ἑνὸς τούτων, τύφον ἢ κενοδοξίαν διὰ τοῦ τοιούτου τῆς ἀσκήσεως εἴδους προσάγοντες, κρεῖττόν ἐστιν ὑποχωρεῖν τῆς τοιαύτης δοκούσης εἶναι ἀκριβεστέρας ἀγωγῆς, ἵνα μὴ εἰς ὑπερηφανίαν ἐμπέσῃς, καὶ φυγεῖν εἰς ἄλλην ἀκενόδοξον ἀρετήν, μέχρις ἂν ὁ τῆς ἀπαθείας ἔλθῃ λόγος.

Ἢ καὶ ἄλλως· πόλεις λέγει τὰς ἀνθρωπίνας ψυχάς· ἐπὶ γὰρ ταύτας οἱ ἀπόστολοι λόγοι παρὰ τοῦ Σωτῆρος πεμπόμενοι, ἀπὸ μὲν τῶν ἀξίων ὑποδεχθέντες ἐν αὐτοῖς οἰκοῦσιν, ἀπὸ δὲ τῶν ἀναξίων ἑαυτοὺς κρινάντων ἀπελασθέντες εἰς ἑτέρων ψυχὰς μετοικίζονται, δεκτικὰς τῆς αὐτῶν διδασκαλίας γεγενημένας. Καὶ τὰς τοιαύτας πόλεις τοῦ Ἰσραὴλ οὐ μὴ τελέσωσιν ἀληθῶς ἐνδημοῦντες αὐταῖς καὶ πῇ μὲν εἰσοικιζόμενοι, πῇ δὲ ἀπ' αὐτῶν διωκόμενοι, ἕως ἂν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου κατὰ τὴν ἔνδοξον αὐτοῦ παρουσίαν τὰ πάντα πληρῶν.

ΕΡΩΤΗΣΙΣ 91

Τί ἐστιν, «κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ σβέσει»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ κατὰ μίμησιν τοῦ Κυρίου συμπαθείας λόγῳ χρώμενος, οὔτε τὸν τῇ ἁμαρτίᾳ συντετριμμένον τῇ ἀπογνώσει εἰς τέλος κατεαγῆναι ποιεῖ, οὔτε τὸν τὸ λογιστικὸν ἔχοντα τετυφωμένον διὰ κενοδοξίαν τινῶν ἀρετῶν σβέννυσιν, ἀλλ' ἐᾷ ἔχειν τὴν προθυμίαν μέχρις ἂν εἰς τὸ τέλειον ἔλθοι τῆς ἐπιγνώσεως. Τοῦτο γάρ ἐστιν, ὡς οἶμαι, καὶ τὸ συναυξάνειν τῷ ἀγαθῷ σπόρῳ τὰ ζιζάνια, τουτέστι ταῖς ἀρεταῖς τὸ τῆς ἀνθρωπαρεσκείας καὶ κε-

---

7. Ματθ. 10,23. 8. Ματθ. 10,23.
9. Ἐφ. 1,23.

μενη ἀγρυπνία καὶ τὰ ὅμοια ποὺ ἀποτελοῦν τὴ φρουρὰ καὶ τὴν ἀσφάλεια. Ἂν λοιπὸν μᾶς διώχνουν οἱ δαίμονες ἀπὸ ἕνα ἀπὸ αὐτά, προβάλλοντάς μας ἔπαρση ἢ ματαιοδοξία στὴν ἄσκησή μας αὐτή, εἶναι καλύτερα νὰ ὑποχωρεῖς ἀπὸ τὴν αὐστηρὴ αὐτὴ ποὺ νομίζεις ἄσκηση, γιὰ νὰ μὴν πέσεις σὲ ὑπερηφάνεια, καὶ νὰ καταφύγεις σὲ ἄλλη ἀκενόδοξη ἀρετή, μέχρι ποὺ νὰ γίνεις μέτοχος τῆς ἀπάθειας.

Ἢ κι ἀλλιῶς· πόλεις λέει τὶς ἀνθρώπινες ψυχές· γιατὶ σ' αὐτὲς στέλνει ὁ Σωτήρας τοὺς ἀποστόλους Λόγους καὶ ὅταν εἶναι ἄξιοι αὐτοὶ ποὺ θὰ τοὺς δεχτοῦν κατοικοῦνε σ' αὐτούς. Διωγμένοι ὅμως ἀπὸ ὅσους τοὺς θεωροῦν ἀνάξιούς τους μετοικοῦν σὲ ψυχὲς ἄλλων, ποὺ ἔχουν γίνει δεκτικὲς τῆς διδασκαλίας τους. Καὶ στ' ἀλήθεια τὶς πόλεις αὐτὲς τοῦ Ἰσραὴλ δὲ θὰ τὶς τελειώσουν ὅλες μένοντας μέσα σ' αὐτές[7], σ' ἄλλες κατοικώντας καὶ ἀπὸ ἄλλες διωγμένοι, ὥσπου νὰ ρθεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου κατὰ τὴν ἔνδοξη παρουσία του[8] γεμίζοντας τὰ πάντα.[9]

ΕΡΩΤΗΣΗ 91

Τί σημαίνει τὸ «δὲ θὰ σπάσει τὸ ραγισμένο καλάμι καὶ δὲ θὰ σβήσει το λινάρι ποὺ καπνίζει»[10];

ΑΠΟΚΡΙΣΗ

Ὅποιος κατὰ τὸ παράδειγμα τοῦ Κυρίου χρησιμοποιεῖ τὸ λόγο τῆς συμπάθειας οὔτε αὐτὸν ποὺ εἶναι συντριμμένος ἀπὸ τὴν ἁμαρτία τὸν κάνει νὰ κατατσακιστεῖ τελείως μὲ τὴν ἀπόγνωση οὔτε σβήνει ὁριστικὰ τὸ λογικὸ ἐκείνου ποὺ εἶναι κυριευμένο ἀπὸ τὴ θολούρα τῆς κενοδοξίας κάποιων ἀρετῶν, ἀλλὰ τὸν ἀφήνει νὰ διατηρεῖ τὴν προθυμία του, ὥσπου νὰ φτάσει στὴν τέλεια ἐπίγνωση[11]. Αὐτὸ σημαίνει, νομίζω, καὶ ἡ συναύξηση τῶν ζιζανίων μαζὶ μὲ τὸν καλὸ σπόρο, δηλαδὴ μαζὶ μὲ τὶς ἀρετὲς νὰ βλασταίνουν καὶ τὸ πάθος τῆς ἀνθρωπαρέσκειας

10. Ματθ. 12,20.
11. Ματθ. 13,26,30.

νοδοξίας πάθος συναναβλαστάνειν. Ὅθεν ὁ τῶν ψυχῶν γεωργὸς μὴ ἐκτίλλεσθαι ταῦτα προστάσσει, μέχρις ἂν αἱ ἀρεταὶ λάβωσιν πῆξιν, μήποτε, ἀνασπάσαι τὰ τοιαῦτα πάθη θέλων τις, συνεκτίλῃ τὴν τῆς ἀρετῆς προθυμίαν.

ΕΡΩΤΗΣΙΣ 92

Τί δηλοῖ τὸ προφητικὸν αἴνιγμα «σαλπίσατε», λέγων, «ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν»; Τίς ἄρα ἡ «εὔσημος ἑορτή»;

ΑΠΟΚΡΙΣΙΣ

Τοὺς διδασκάλους τῆς Ἐκκλησίας σαλπίζειν διὰ τοῦ λόγου τῆς διδασκαλίας ὁ λόγος παρακελεύεται· σάλπιγγι δὲ σαλπίζειν, τουτέστι τῇ νεκρώσει τοῦ σώματος· ἐν νεοημηνίᾳ δὲ τῇ κατὰ τὴν σελήνην· μὴν γὰρ ἡ σελήνη λέγεται. «Εὔσημος» δὲ «ἑορτὴ» κατὰ τοὺς Ἰουδαίους τῷ ἑβδόμῳ μηνὶ ἐπετελεῖτο ἡ τῶν σαλπίγγων· τῇ δεκάτῃ δὲ τοῦ αὐτοῦ μηνὸς τὴν νηστείαν τοῦ ἱλασμοῦ καὶ τῇ πεντεκαιδεκάτῃ τὴν σκηνοπηγίαν ἐπετέλουν. Ἡμεῖς δὲ πνευματικῶς ἑορτάζομεν οὕτως· τῷ μὲν ἑβδόμῳ μηνί, τουτέστι τῷ ἑβδόμῳ τῆς χάριτος νόμῳ τὴν εὔσημον τοῦ Εὐαγγελίου ἡμέραν ἐπιτελοῦντες· ἑπτὰ γὰρ νόμους ὁ τῶν ὅλων Θεὸς ἐξαρχῆς τῇ φύσει παρέσχετο· τῷ μὲν Ἀδὰμ δύο, τὸν πρὸ τῆς παραβάσεως ἀπὸ τοῦ καρποῦ τοῦ δένδρου μὴ φαγεῖν, καὶ τὸν μετὰ τὴν παράβασιν «ἐν ἱδρῶτι τοῦ προσώπου» τὸν ἄρτον ἐσθίειν, τρίτον τὸν ἐπὶ τοῦ Νῶε, τέταρτον τὸν ἐπὶ τοῦ Ἀβραάμ, τὸν τῆς περιτομῆς, πέμπτον τὸν Μωσέως, ἕκτον τὸν προφητικόν, ἕβδομον τὸν εὐαγγελικόν, ἐν ᾧ τὰς ἀπαρχὰς τῶν καρπῶν τῆς ἀρετῆς κατὰ τὴν ἀρχὴν τῶν φωτισμῶν τῷ Θεῷ προσάγομεν· τῇ γὰρ πρώτῃ τοῦ μηνὸς τὰς ἀπαρχὰς τῶν καρπῶν οἱ κατὰ νόμον προσῆγον. Τῇ δεκάτῃ δὲ τοῦ μηνὸς τὴν νηστείαν

---

12. Ματθ. 13,29. 13. Ψαλμ. 80,4. 14. Λευιτ. 23,24.
15. Λευιτ. 23,27. 16. Λευιτ. 23,34. 17. Γεν. 2,17.

καὶ τῆς κενοδοξίας. Γι' αὐτὸ ὁ γεωργὸς τῶν ψυχῶν προστάζει νὰ μὴν τὰ ξερριζώνομε αὐτά, ὥσπου νὰ ριζώσουν γιὰ καλὰ οἱ ἀρετές[12], μήπως, θέλοντας ν' ἀποσπάσει κάποιος τὰ πάθη αὐτά, ξερριζώσει μαζὶ καὶ τὴν προθυμία τῆς ἀρετῆς.

ΕΡΩΤΗΣΗ 92

Τί δηλώνει τὸ αἴνιγμα τῶν προφητῶν ποὺ λέει· «σαλπίσετε μὲ σάλπιγγες τὴν πρωτομηνιά, καὶ κάθε εὔσημη ἡμέρα γιορτῆς σας»; Ποιά εἶναι «ἡ εὔσημη ἑορτή»[13];

ΑΠΟΚΡΙΣΗ

Ὁ λόγος παραγγέλλει στοὺς δασκάλους τῆς Ἐκκλησίας νὰ σαλπίζουν μὲ τὴ διδασκαλία τους· νὰ σαλπίζουν μὲ σάλπιγγα σημαίνει μὲ τὴ νέκρωση τοῦ σώματος. «Κατὰ τὴν πρωτομηνιὰ» σημαίνει κατὰ τὴ νέα σελήνη, γιατὶ ἡ σελήνη λέγεται μήνας. «Εὔσημη ἑορτὴ» κατὰ τοὺς Ἰουδαίους γινόταν τὸν ἕβδομο μήνα ἡ ἑορτή τῶν σαλπίγγων[14], τὴ δέκατη ἡμέρα τοῦ ἴδιου μήνα τελοῦσαν τὴ νηστεία τοῦ ἐξιλασμοῦ[15] καὶ τὴ δέκατη πέμπτη τὴ σκηνοπηγία[16]. Οἱ δικές μας πνευματικὲς ἑορτὲς εἶναι οἱ ἀκόλουθες· τὸν ἕβδομο μήνα, δηλαδὴ τὸν ἕβδομο νόμο τῆς χάριτος, τελοῦμε τὴν εὔσημη ἑορτὴ τοῦ Εὐαγγελίου· ὁ Θεὸς δηλαδὴ τῶν ὅλων ἔδωσε στὴ φύση ἐξαρχῆς ἑπτὰ νόμους· δύο στὸν Ἀδάμ, τὸ νόμο πρὶν ἀπὸ τὴ παράβαση «νὰ μὴ φάει ἀπὸ τὸν καρπὸ τοῦ δένδρου»[17] καὶ τὸ νόμο μετὰ τὴ παράβαση «νὰ τρώει τὸ ψωμί του μὲ τὸν ἱδρώτα τοῦ προσώπου του»[18]. Τρίτος ὁ νόμος ποὺ ἔδωσε στὸ Νῶε[19], τέταρτος στὸν Ἀβραάμ, ὁ νόμος τῆς περιτομῆς[20], πέμπτος στὸν Μωυσῆ[21], ἕκτος ὁ προφητικὸς νόμος, καὶ ἕβδομος ὁ Εὐαγγελικός, μὲ τὸν ὁποῖο προσφέρομε στὸ Θεὸ κατὰ τὴν ἀρχὴ τῶν φωτισμῶν τὶς ἀπαρχὲς τῶν καρπῶν τῆς ἀρετῆς· γιατὶ τὴν πρωτομηνιὰ οἱ ἄνθρωποι τοῦ νόμου πρόσφεραν τοὺς πρώτους καρπούς. Τὴ δεκάτη τοῦ μήνα τελοῦμε τὴν

18. Γεν. 3,19. 19. Γεν. 9,1-7.
20. Γεν. 17,10. 21. Ἐξ. 20,2-10.

τοῦ ἱλασμοῦ τελοῦμεν διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ τοῦ γενομένου ἡμῶν ἱλασμοῦ μυσταγωγούμενοι, νηστεύοντες ἀπὸ πάσης κακίας· τῇ δὲ πεντεκαιδεκάτῃ τὴν σκηνοπηγίαν ἄγομεν· προστιθέντες γὰρ τῷ κατὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν μυστηρίῳ τὰς πέντε τῆς ψυχῆς ἀντιληπτικὰς δυνάμεις, εἰς μηδὲν τῶν αἰσθητῶν ἀσχολουμένας, ἀλλ᾽ αὐτῷ συνημμένας τῷ Κυρίῳ, τὴν πῆξιν ἐν αὐτῷ λαμβάνομεν τῶν ἀρετῶν.

ΕΡΩΤΗΣΙΣ 93

Ἐκ τῶν Ἠθικῶν τοῦ ἁγίου Βασιλείου ἄπορον ἐν τῷ 'Περὶ νηστείας' λόγῳ· «ὅτε», φησίν, «ἀπεγνώσθη ἡ τελείωσις, τότε συνεχωρήθη ἡ ἀπόλαυσις».

ΑΠΟΚΡΙΣΙΣ

Τότε «ἀπεγνώσθη ἡ τελείωσις», ὅτε τὰς δοθείσας αὐτῷ φυσικὰς δυνάμεις ὁ ἄνθρωπος διὰ τῆς παρακοῆς παρέτρεψεν. Ἀδύνατον οὖν ἦν ἐνσχεθεῖσαν τὴν φύσιν τῇ ὑλικῇ προσπαθείᾳ ἐπανελθεῖν εἰς τὸ τέλειον, μέχρις ὁ τῆς φύσεως ποιητής, ὑπὲρ φύσιν γενόμενος ἄνθρωπος, τὴν φύσιν εἰς τὸ κατὰ φύσιν ἐπανήγαγεν. Συγχωρηθῆναι δὲ τὴν ἀπόλαυσιν λέγει ἀντὶ τοῦ παραδοθῆναι τῇ αὐτονομίᾳ τῆς πλάνης.

ΕΡΩΤΗΣΙΣ 94

Τοῦ αὐτοῦ ἐκ τοῦ πρώτου ψαλμοῦ· τίνος χάριν ἐπὶ τῆς ἀρχῆς τῶν ψαλμῶν παράδειγμα ἔλαβεν οἴκου θεμέλια καὶ τρόπιν πλοίου καὶ ζῴου καρδίαν;

---

22. Α' Ἰω. 2,2· 4,10.
23. Βασιλείου Καισαρείας, *Ὁμιλία περὶ νηστείας*, 1,5 (PG 31, 169B).

νηστεία τοῦ ἐξιλασμοῦ διδαγμένοι μυστικὰ μὲ τὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ ποὺ ἔγινε ὁ δικός μας ἐξιλασμός[22], νηστεύοντας δηλαδὴ ἀπὸ κάθε κακία. Τὴ δέκατη πέμπτη γιορτάζομε τὴ σκηνοπηγία. Γιατί, προσθέτοντας στὸ μυστήριο τὸ σχετικὸ μὲ τὸν Κύριό μας Ἰησοῦ Χριστὸ τὶς πέντε ἀντιληπτικὲς δυνάμεις τῆς ψυχῆς, ποὺ δὲν ἀπασχολοῦνται μὲ κανένα ἀπὸ τὰ αἰσθητὰ ἀλλὰ εἶναι ἑνωμένες μὲ τὸν ἴδιο τὸν Κύριο, πετυχαίνομε τὴ θεμελίωση τῶν ἀρετῶν σ' αὐτόν.

ΕΡΩΤΗΣΗ 93

Μιὰ ἀπορία ἀπὸ τὰ Ἠθικὰ τοῦ ἁγίου Βασιλείου στὸ λόγο του γιὰ τὴ νηστεία[23], ποὺ λέει, «ὅταν χάθηκε ἡ ἐλπίδα γιὰ τὴν τελείωση, τότε συγχωρήθηκε ἡ ἀπόλαυση».

ΑΠΟΚΡΙΣΗ

Ἡ ἐλπίδα γιὰ τὴν τελείωση χάθηκε τότε, ὅταν ὁ ἄνθρωπος μὲ τὴν παρακοή του ἄλλαξε τὴ χρήση τῶν φυσικῶν του δυνάμεων. Ἦταν λοιπὸν ἀδύνατο ἡ φύση, ποὺ εἶχε αἰχμαλωτιστεῖ μέσα στὴν προσκόλλησή της στὴν ὕλη, νὰ ἐπανέλθει στὴν τελειότητα, ὥσπου ἐπανέφερε τὴ φύση στὸ φυσικό της προορισμὸ ὁ Ποιητής της γενόμενος ἄνθρωπος κατὰ τρόπο ὑπερφυσικό. Τὸ «συγχωρήθηκε ἡ ἀπόλαυση» τὸ λέει ἀντὶ τοῦ 'παραδόθηκε στὴν αὐτονομία τῆς πλάνης'.

ΕΡΩΤΗΣΗ 94

Τοῦ ἴδιου ἀπὸ τὸν πρῶτο ψάλμό[24]· γιὰ ποιό λόγο στὴν ἀρχὴ τῶν ψαλμῶν ἔλαβε ὡς παράδειγμα τὰ θεμέλια τοῦ σπιτιοῦ, τὴν τρόπιδα τοῦ πλοίου καὶ τὴν καρδιὰ τοῦ ζώου;

---

24. Βασιλείου Καισαρείας, *Ὁμιλία εἰς τὸν Ψαλμὸν Α'*, 1,3 (PG 29,213C12-D5).

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ οἶκος ἀπὸ λίθων συγκείμενος ἀποφυγὴ μὲν ψύχους καὶ καύσωνος γίνεται, ἔτι δὲ σκέπη καὶ φυλακὴ τοῦ ἀνθρώπου, ἐκ τούτου μανθάνομεν, ἑπόμενοι τῇ φυσικῇ θεωρίᾳ, οἶκον εἶναι τὴν ἄσκησιν ἐκ τῶν κατὰ τὴν ἀρετὴν συγκειμένην λόγων, σκέπην μὲν παρέχουσαν ἡμῖν ἀπὸ τοῦ διαβολικοῦ τῶν πειρασμῶν καύσωνος, θέρμην δὲ ἀπὸ τῆς αὐτοῦ κατὰ τὴν ἀπόγνωσιν ψύξεως, φυλακὴν δὲ ἀπὸ τῶν ἐπιβουλευόντων δαιμόνων. Πλοῖον δὲ ἔλαβε τὴν ἑκάστου ψυχήν, οἷόν τινα τρόπιν τὴν κατὰ τὴν φρόνησιν ἔχουσαν πῆξιν, σανίδας δὲ προσηρτημένας, τὴν τοῦ σώματος νέκρωσιν, τῇ ἀκριβείᾳ οἷον ἀσφάλτῳ τὰς ἁρμονίας τῆς ψυχῆς ἀσφαλίσασαν καὶ μὴ συγχωροῦσαν εἰσδῦναί τι τῆς ἁλμώδους κακίας, ἐπιπορευομένην δὲ τὴν θάλασσαν τοῦ βίου καὶ διαπορευομένην τὸν αἰῶνα τοῦτον, ἐμπόρου τρόπον τὰ παρόντα διδοῦσαν καὶ ἀντικτωμένην τὰ μέλλοντα. Καρδίαν δὲ ζῴου ἔλαβε τὴν πίστιν, περιυφαινομένην πάντοθεν διὰ τῶν ἀρετῶν.

ΕΡΩΤΗΣΙΣ 95

Ἐκ τοῦ 'Εἰς τὸ βάπτισμα' λόγου τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἄπορον προφητικῆς λέξεως· «μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ καὶ πᾶσαν ψυχὴν αὔριον ἀρουμένην καὶ ἀρδομένην, ἣν σήμερον βοῦς καὶ ὄνος πατεῖ».

ΑΠΟΚΡΙΣΙΣ

Τὴν ἀρουμένην μὲν διὰ τῆς πρακτικῆς καὶ τὰς ἀκάνθας τῶν παθῶν καθαιρομένην, ἀρδομένην δὲ διὰ τῆς γνώσεως ψυχήν, ἣν ἐπάτει σήμερον βοῦς καὶ ὄνος –βοῦν τὸν ἰουδαϊκὸν νόμον λέγων, ὄνον δὲ τὴν ἐθνικὴν μερίδα– τουτέστι τὴν τῷ γράμ-

25. Γρηγορίου Θεολόγου, *Λόγος 40, Εἰς τὸ ἅγιον Βάπτισμα*, 27 (PG 36,397C9), καὶ Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, Ἅπαντα Γρηγορίου Θεολό-

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ τὸ σπίτι ἀποτελεῖται ἀπὸ πέτρες καὶ γίνεται μέσο ἀποφυγῆς τοῦ κρύου καὶ τοῦ καύσωνα κι ἀκόμα στεγάζει καὶ προφυλάσσει τὸν ἄνθρωπο, ἀπὸ αὐτὸ ἐννοοῦμε, ἀκολουθώντας τὴ φυσικὴ θεωρία, ὅτι σπίτι εἶναι ἡ ἄσκηση ποὺ ἀποτελεῖται ἀπὸ τὶς διάφορες ἀρετές, ποὺ μᾶς παρέχουν σκέπη ἀπὸ τὸν διαβολικὸ καύσωνα τῶν πειρασμῶν, ζεστασιὰ ἀπὸ τὴ παγωνιὰ τῆς ἀπόγνωσης ποὺ μᾶς προκαλεῖ, καὶ προφύλαξη ἀπὸ τοὺς δαίμονες ποὺ μᾶς ἐπιβουλεύονται. Ὡς πλοῖο θεώρησε τὴν ψυχὴ τοῦ καθενὸς ποὺ ἔχει σὰν ἕνα εἶδος τρόπιδας τὴ σταθερότητα τῆς φρόνησης, καὶ σανίδια ἐφαρμοσμένα στὰ πλευρά, τὴ νέκρωση τοῦ σώματος, ποὺ σὰν ἀπὸ πίσσα κι ἄσφαλτο ἀσφάλισε τοὺς ἁρμοὺς τῆς ψυχῆς καὶ δὲν ἐπιτρέπει νὰ εἰσχωρήσει οὔτε σταγόνα τῆς ἁλμυρῆς κακίας, ἀλλὰ ταξιδεύοντας τὴ θάλασσα τῆς ζωῆς καὶ διασχίζοντας τὸν αἰώνα τοῦτο, κατ' ἀναλογία μὲ τὸν ἔμπορο δίνει τὰ παρόντα καὶ παίρνει τὰ μελλοντικά. Ὡς καρδιὰ ζώου θεώρησε τὴν πίστη ποὺ τὴν τυλίγει ὁλόγυρα τὸ ἔνδυμα τῶν ἀρετῶν.

ΕΡΩΤΗΣΗ 95

Ἀπὸ τὸ λόγο Εἰς τὸ βάπτισμα τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἀπορία σχετικὰ μὲ τὸν προφητικὸ λόγο[25], «μακάριος ὅποιος σπέρνει κοντὰ σὲ ὅποια νερὰ καὶ σὲ κάθε ψυχὴ ποὺ αὔριο ὀργώνεται καὶ ποτίζεται καὶ ποὺ σήμερα τὴν πατοῦσε τὸ βόδι καὶ ὁ ὄνος».[26].

ΑΠΟΚΡΙΣΗ

Τὴν ψυχὴ ποὺ τὴν ὀργώνει ἡ πρακτικὴ ἄσκηση, καθαρίζοντάς την ἀπὸ τὰ ἀγκάθια τῶν παθῶν, καὶ τὴν ἀρδεύει ἡ γνώση, «ποὺ σήμερα τὴν πατοῦσαν τὰ βόδια καὶ ὁ ὄνος» –βόδι λέει τὸν ἰουδαϊκὸ νόμο καὶ ὄνο τὰ ἔθνη– τὴν ψυχὴ δηλαδὴ ποὺ ἐπιμένει

γου, τόμ. 4, σ. 336,17-21.

26. Ἡσ. 32,20.

ματι ἐμμένουσαν καὶ τῇ ἀλογίᾳ πιεζομένην σήμερον, αὔριον δὲ μεταβληθεῖσαν διὰ πράξεως καὶ γνώσεως· εἰς ἣν ὁ σπείρων τὰ τῆς ἀρετῆς σπέρματα μακάριος.

ΕΡΩΤΗΣΙΣ 96

Ἐκ τοῦ αὐτοῦ· «μακάριος ὃς κἂν χειμάρρους ᾖ σχοίνων ἐξ οἴκου Κυρίου ποτίζεται».

ΑΠΟΚΡΙΣΙΣ

Χειμάρρους σχοίνων ἐστὶν ἡ σὰρξ ἡ τῷ χειμῶνι τῶν παθῶν παρασύρουσα τὰς τῆς ψυχῆς δυνάμεις καὶ σχοίνων δίκην τῇ τῶν ἁμαρτημάτων τραχύτητι πλήττουσα. Ἐξ οἴκου τὴν ἡμετέραν σάρκα ἀναλαβόντος, ἐξ ἧς ἐν τῇ ὁδῷ τοῦ βίου γενόμενος ἔπιεν τὸ ὑπὲρ ἡμῶν πάθος καὶ γέγονεν ἡμῖν «εἰς οἶκον καταφυγῆς», ἀρδεύεται.

ΕΡΩΤΗΣΙΣ 97

Ἐκ τοῦ αὐτοῦ· «χθὲς ἐξηραίνου θάλλουσα τῇ αἱμορροίᾳ· ἐπήγαζες γὰρ τὴν φοινικὴν ἁμαρτίαν».

ΑΠΟΚΡΙΣΙΣ

Χθές, φησίν, ἐξηραίνου τῇ ἀρετῇ, ἔθαλλες δὲ τῇ ἁμαρτίᾳ· σήμερον ἀνέθηλας τῇ ἀρετῇ, ξηρανθεῖσα τῇ ἁμαρτίᾳ· «ἥψω γὰρ τῶν κρασπέδων Χριστοῦ»· κράσπεδά εἰσι τοῦ Χριστοῦ αἱ διαφόροι ἀσκήσεις, ἐπειδὴ καθάπερ ἐκ τοῦ ἐνδύματος τὰ κράσπεδα, οὕτως αἱ ἀσκήσεις ἐκ τῆς ἠθικῆς ἤρτηνται φιλοσοφίας· αἵ-

---

27. Γρηγορίου Θεολόγου, *Ὁμιλία 40, εἰς τὸ ἅγιον Βάπτισμα* 27 (PG36,397C10-12), καὶ Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 4, σ. 336,22-23.
28. Ψαλμ. 30,3.
29. Γρηγορίου Θεολόγου, *Ὁμιλία 40, Εἰς τὸ ἅγιον Βάπτισμα* 33

στὸ γράμμα καὶ ποὺ τὴν πιέζει σήμερα ἡ ἀλογία, ἐνῶ αὔριο θὰ ἔχει μεταβληθεῖ μὲ τὴν πράξη καὶ τὴ γνώση. Σ' αὐτὴν ὅποιος σπέρνει τὰ σπέρματα τῆς ἀρετῆς εἶναι μακάριος.

ΕΡΩΤΗΣΗ 96

Ἀπὸ τὸν ἴδιο λόγο [27]«μακάριος εἶναι αὐτὸς ποὺ ἀκόμα καὶ χείμαρρος ἂν εἶναι γεμάτος βοῦρλα, ποτίζεται ἀπὸ τὸν οἶκο τοῦ Κυρίου».

ΑΠΟΚΡΙΣΗ

«Χείμαρρος μὲ βοῦρλα» εἶναι ἡ σάρκα ποὺ κατὰ τὴ χειμωνιὰ τῶν παθῶν παρασύρει τὶς δυνάμεις τῆς ψυχῆς καὶ σὰν μὲ βοῦρλα τὶς χτυπᾶ μὲ τὴν τραχύτητα τῶν ἁμαρτημάτων. «Ἀπὸ τὸν οἶκο τοῦ Κυρίου ποτίζεται», ὅταν ποτίζεται ἀπὸ τὶς ἐντολὲς τοῦ Κυρίου, ποὺ πῆρε τὴ δική μας σάρκα καὶ μ' αὐτὴν βγαίνοντας στὸ δρόμο τοῦ βίου ἤπιε τὸ πάθος ποὺ τὸ ὑπέφερε γιὰ χάρη μας καὶ μᾶς ἔγινε οἶκος καταφυγῆς μας[28].

ΕΡΩΤΗΣΗ 97

Ἀπὸ τὸ ἴδιο λόγο[29]· «χτὲς ξεραινόσουν ἐνῶ ἤσουν θαλερὴ στὴ αἱμορραγία σου· γιατὶ πήγαζες τὴν κατακόκκινη ἁμαρτία».

ΑΠΟΚΡΙΣΗ

«Χτές», λέει, «ἤσουν ξερὴ γιὰ τὴν ἀρετή, ἤσουν ὅμως θαλερὴ γιὰ τὴν ἁμαρτία· σήμερα εἶσαι θαλερὴ γιὰ τὴν ἀρετὴ κι ἔχεις ξεραθεῖ γιὰ τὴν ἁμαρτία· γιατὶ «ἄγγιξες τὰ κράσπεδα τοῦ Χριστοῦ»[30]. Κράσπεδα τοῦ Χριστοῦ εἶναι οἱ διάφορες ἀσκήσεις, ἐπειδή, ὅπως κρέμονται τὰ κράσπεδα ἀπὸ τὸ φόρεμα, ἔτσι καὶ οἱ ἀσκήσεις ἐξαρτῶνται ἀπὸ τὴν ἠθικὴ φιλοσοφία. Ὅταν

(PG36,405B6-8), καὶ Ἕλληνες Πατέρες τῆς Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 4, σ. 348,1-2.

30. Λουκᾶ 8,44. Ματθ. 9,20.

τινες μετὰ ταπεινοφροσύνης γινόμεναι ἱστᾶν πεφύκασιν τὴν τῶν παθῶν ῥύσιν.

ΕΡΩΤΗΣΙΣ 98

Ἐκ τοῦ αὐτοῦ· «χθὲς ἐπὶ κλίνης ἔρριψο παρειμένος καὶ λελυμένος» καὶ τὰ λοιπά.

ΑΠΟΚΡΙΣΙΣ

Κλίνην τὴν ἀνάπαυσιν λέγει τοῦ σώματος, παρειμένον δὲ ταῖς ἡδοναῖς. «Καὶ οὐκ εἶχες», φησίν, «ἄνθρωπον», τουτέστιν ἀνδρεῖον λογισμόν, «ἵνα, ὅτ' ἂν ταραχθῇ τὸ ὕδωρ, βάλῃ σε εἰς τὴν κολυμβήθραν», ὅτ' ἂν ἐν σοὶ γένηται λογισμὸς ταράσσων πρὸς διάκρισιν τοῦ καλοῦ καὶ τοῦ χείρονος, ἐμβάλῃ σε εἰς τὸ τῆς καθάρσεως ὕδωρ. «Σήμερον ηὗρες ἄνθρωπον τὸν αὐτὸν καὶ Θεόν»· ὅτ' ἂν γάρ τις τῇ διδασκαλίᾳ χρώμενος καθαίρει, Θεὸς μέν ἐστιν ὁ ἐνεργῶν, ἄνθρωπος δὲ ᾧτινι ὀργάνῳ κέχρηται πρὸς σωτηρίαν τοῦ κάμνοντος. 'Ἤρθης ἀπὸ κραβάτου, μᾶλλον δὲ ἦρας τὸν κράβατον', τουτέστι διὰ τῆς πρακτικῆς ἐβάστασας τὸ σῶμα, μηκέτι κατασπασθεὶς ὑπ' αὐτοῦ.

ΕΡΩΤΗΣΙΣ 99

Ἐκ τοῦ αὐτοῦ· «οἶδα πῦρ οὐ καθαρτήριον, ἀλλὰ κολαστήριον ἢ Σοδομιτικόν, ὃ πᾶσιν ἁμαρτωλοῖς ἐπιβρέχει θείῳ καὶ καταιγίδι μιγνύμενον, ἢ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἥ τε ὃ πρὸ προσώπου Κυρίου πορεύεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ, ἢ τὸ τούτων φοβερώτερον, ὃ τῷ ἀκοι-

---

31. Λουκᾶ 8,44. Μάρκ. 5,29.
32. Γρηγορίου Θεολόγου, *Λόγος 40, Εἰς τὸ ἅγιον Βάπτισμα* 33 (PG36,405B14) καὶ Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 4, σ. 338,8ἑἑ.
33. Ἰω. 5,7.
34. Γρηγορίου Θεολόγου, *Ὁμιλία 40, Εἰς τὸ ἅγιον Βάπτισμα* 36

αὐτὲς γίνονται μὲ ταπεινοφροσύνη, ἔχουν στὴ φύση τους νὰ σταματοῦν τὴ ροὴ τῶν παθῶν[31].

ΕΡΩΤΗΣΗ 98

Ἀπὸ τὸν ἴδιο λόγο[32]· «χτὲς εἶχες ριχτεῖ στὸ κρεββάτι παραλυμένος κι ἐξουδενωμένος» καὶ τὰ λοιπά.

ΑΠΟΚΡΙΣΗ

Κρεββάτι ὀνομάζει τὴν ἀνάπαυση τοῦ σώματος, ἐνῶ παραλυμένο ἐκεῖνον ποὺ εἶναι παραδομένος στὶς ἡδονές. «Καὶ δὲν εἶχες», λέει, «ἄνθρωπο», δηλαδὴ ἀνδρεῖο λογισμό, ὥστε, «ὅταν ταραχτεῖ τὸ νερό, νὰ σὲ βάλει μέσα στὴν κολυμβύθρα», ὅταν δηλαδὴ σοῦ ἔρθει λογισμὸς ποὺ προκαλεῖ ταραχὴ γιὰ τὴ διάκριση τοῦ καλοῦ καὶ τοῦ κακοῦ, νὰ σὲ βάλει στὸ νερὸ τῆς κάθαρσης. «Σήμερα βρῆκες ἄνθρωπο ποὺ εἶναι ὁ ἴδιος ὁ Θεός»[33]. Ὅταν δηλαδὴ κάποιος χρησιμοποιώντας τὴ διδασκαλία του καθαίρει, αὐτὸς ποὺ ἐνεργεῖ βέβαια εἶναι Θεός, ἐνῶ ὁ ἄνθρωπος εἶναι τὸ ὄργανο ποὺ χρησιμοποιεῖ γιὰ τὴν σωτηρία τοῦ ἀρρώστου. «Σηκώθηκες ἀπὸ τὸ κρεββάτι ἢ καλύτερα σήκωσες τὸ κρεββάτι σου», δηλαδὴ μὲ τὴν πρακτικὴ ἄσκηση κράτησες τὸ σῶμα καὶ δὲν τὸ ἄφησες νὰ σὲ παρασύρει.

ΕΡΩΤΗΣΗ 99

Ἀπὸ τὸν ἴδιο λόγο[34]· «γνωρίζω φωτιὰ ὄχι καθαρτικὴ ἀλλὰ φωτιὰ τιμωρίας ἢ φωτιὰ σοδομιτική[35], ποὺ σ' ὅλους τους ἁμαρτωλοὺς βρέχει θειάφι[36] ἀνακατεμένο μὲ τὴν καταιγίδα· εἴτε φωτιὰ ἑτοιμασμένη γιὰ τὸ διάβολο καὶ τοὺς ἀγγελιοφόρους του[37]· ἢ φωτιὰ ποὺ προπορεύεται μπροστὰ ἀπὸ τὸν Κύριο καὶ περικυκλώνοντας θὰ κάψει τοὺς ἐχθροὺς του[38]· ἢ τὸ πιὸ φοβερὸ ἀπὸ

(PG36,412A6-14), καὶ Ἕλληνες Πατέρες τῆς Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 4, σ. 354,23-356,5. 35. Γεν. 19,24.

36. Ψαλμ. 10,6. 37. Ματθ. 25,41. 38. Ψαλμ. 96,3.

μήτῳ σκώληκι συντέτακται, μὴ σβεννύμενον, ἀλλὰ διαωνίζον τοῖς πονηροῖς».

ΑΠΟΚΡΙΣΙΣ

Ἐκείνοις ἐπιβρέχεται «Σοδομιτικὸν πῦρ», τοῖς τὸν νόμον τῆς φύσεως τῇ παραχρήσει πατήσασιν· ἔστι δὲ τοῦτο ὁ τῆς συνειδήσεως ἔλεγχος, ὅτ' ἂν πυρὸς δίκην ταύτην κατακαίει. Θεῖον δέ ἐστιν αἱ διάφοροι περιστατικαὶ συμβάσεις, καταιγίδες δὲ αἱ ἀθρόαι περιστάσεις, αἵτινες μιγνύμεναι σφοδροτέρως ἀλγυνοῦσιν. Ἐκεῖνοι δὲ τὴν συνείδησιν καίονται κατὰ μίμησιν τοῦ διαβόλου καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ὅσοι διὰ τῆς ὑπερηφανίας φθονερῶς τὴν τοῦ Θεοῦ πρόνοιαν διαβάλλουσιν καὶ τῇ πρὸς τὸν πλησίον κέχρηνται ἀπάτῃ. Τὸ δὲ «ὃ πρὸ προσώπου Κυρίου πορεύεται» φλογίζον «τοὺς ἐχθροὺς αὐτοῦ» πῦρ ἐστιν αἱ τοῦ Θεοῦ ἐνέργειαι· αὗται γὰρ χαρακτηρίζουσι τὸ τοῦ Θεοῦ πρόσωπον, οἷον, τὸ ἀγαθόν, τὸ φιλάνθρωπον, τὸ πρᾶον καὶ τὰ τούτοις ὅμοια· αἵτινες τοὺς μὲν οἰκείως ἔχοντας πρὸς αὐτὰ φωτίζουσι, τοὺς δὲ ἐναντίως ἔχοντας καὶ ἀπηλλοτριωμένους τῆς ὁμοιότητος φλέγουσιν. Καὶ ταῦτα μὲν τὰ εἴδη τοῦ πυρὸς οὐκ εἶπε διαιωνίζειν, διότι κατὰ τὸν Νύσσης Γηργόριον δεῖ τὴν φύσιν τὰς ἰδίας ἀπολαβεῖν δυνάμεις καὶ τῇ ἐπιγνώσει ἀποκαταστῆναι εἰς ὅπερ γέγονεν ἐξαρχῆς, ὥστε τὸν δημιουργὸν ἀναίτιον ἀποδειχθῆναι τῆς ἁμαρτίας. Ἐκεῖνο δὲ φοβερώτερον εἶπε τὸ πῦρ, «ὃ τῷ αἰωνίῳ σκώληκι συντέτακται, μὴ σβεννύμενον, ἀλλὰ καὶ διαιωνίζον τοῖς πονηροῖς»· ὅπερ, φαινομένου τοῦ θείου καὶ εἰς ἀπόλαυσιν προκειμένου τοῖς ἀξίοις, τοὺς μὴ διὰ τῶν ἀγαθῶν ἔργων ἑαυτοὺς λαμπρύνοντας, δίκην σκώληκος ἀεὶ τὴν μνήμην ἀνακινούσης, καὶ ἀναλογιζομένους τὴν ἀποτυχίαν καὶ στέρησιν τοῦ ἀγαθοῦ ἀπεράντως κατεσθίει καὶ βασανίζει διηνεκῶς πυρὸς σφοδρότερον.

αὐτά, ποὺ συμπαρατάσσεται μὲ τὸ ἀκοίμητο σκουλήκι ποὺ δὲ σβήνει ἀλλὰ διαιωνίζεται γιὰ τοὺς πονηρούς».

ΑΠΟΚΡΙΣΗ

Ἡ σοδομιτικὴ φωτιὰ πέφτει πάνω σ' ἐκείνους ποὺ ποδοπάτησαν τὸ νόμο τῆς φύσης μὲ τὴν κακὴ χρήση. Αὐτὸ εἶναι ὁ ἔλεγχος τῆς συνείδησης, ὅταν τὴν κατακαίει ὅμοια μὲ φωτιά. Θειάφι εἶναι τὰ διάφορα περιστατικὰ ποὺ συμβαίνουν ἕνα–ἕνα, καταιγίδες εἶναι τὰ μαζεμένα περιστατικά, ποὺ προκαλοῦν ὀδύνη σφοδρότερη μὲ τὴ συγκέντρωσή τους. Καίονται στὴ συνείδηση κατὰ τὸ παράδειγμα τοῦ «διαβόλου καὶ τῶν ἀγγελιοφόρων του», ἐκεῖνοι ποὺ ἀπὸ περιφάνεια διαβάλλουν γεμάτοι φθόνο τὴν πρόνοια τοῦ Θεοῦ καὶ χρησιμοποιοῦν τὴν ἀπάτη εἰς βάρος τοῦ πλησίον τους. «Ἡ φωτιὰ ποὺ προπορεύεται μπροστὰ ἀπὸ τὸν Κύριο» φλογίζοντας τοὺς ἐχθρούς του[39] εἶναι οἱ ἐνέργειες τοῦ Θεοῦ. Αὐτὲς χαρακτηρίζουν τὸ πρόσωπο τοῦ Θεοῦ, ὅπως εἶναι ἡ ἀγαθότητα, ἡ φιλανθρωπία, ἡ πραότητα καὶ τὰ ὅμοια μ' αὐτά. Αὐτὲς φωτίζουν ὅσους ἔχουν οἰκειότητα μαζί τους, καταφλέγουν ὅμως ὅποιους εἶναι ἀντίθετοί τους καὶ ἀνόμοιοί τους. Αὐτὰ τὰ εἴδη τῆς φωτιᾶς δὲν εἶπε ὅτι διαιωνίζονται, ἐπειδή, κατὰ τὸ Γρηγόριο Νύσσης, πρέπει ἡ φύση μας νὰ λάβει τὶς δικές της δυνάμεις καὶ μὲ τὴν ἐπίγνωσή της ν' ἀποκατασταθεῖ σ' αὐτὸ ποὺ εἶχε γίνει ἀπὸ τὴν ἀρχή, ὥστε ὁ δημιουργὸς ν' ἀποδειχτεῖ ἀνεύθυνος γιὰ τὴν ἁμαρτία. Φοβερότερη χαρακτήρισε τὴ φωτιὰ ἐκείνη, ποὺ συμπαρατάχθηκε μὲ τὸ αἰώνιο σκουλήκι, ποὺ δὲ σβήνει ἀλλὰ διαιωνίζεται γιὰ τοὺς κακούς. Αὐτή, ὅταν φανερωθεῖ τὸ θεῖο καὶ δοθεῖ στοὺς ἄξιους νὰ τὸ ἀπολαύσουν, σὰν τὸ σκουλήκι, ἐνοχλώντας ἀδιάκοπα τὴ μνήμη ὅσων δὲν στολίζουν τὸν ἑαυτό τους μὲ ἀγαθὰ ἔργα ἀλλὰ ἀναλογίζονται τὴν ἀποτυχία καὶ τὴ στέρηση τοῦ ἀγαθοῦ, τοὺς κατατρώγει δίχως πέρας καὶ τοὺς βασανίζει ἀδιάκοπα, σφοδρότερα ἀπὸ τὴ φωτιά.

---

39. Ψαλμ. 96,3.

ΕΡΩΤΗΣΙΣ 100

Ἐκ τοῦ αὐτοῦ εἰς τὸν Περὶ χαλάζης λόγον εἰς τὸ «οὐ δέχομαι πηγὴν φράσσεσθαι και χειμάρρουν φέρεσθαι».

ΑΠΟΚΡΙΣΙΣ

Πηγή ἐστιν ἡ εὐαγγελικὴ διδασκαλία, ἀεὶ διὰ πίστεως βλύζουσα, χείμαρρος δὲ ἡ ἔξω φιλοσοφία, ἐν μόνῳ τῷ λόγῳ τὸ πειθανὸν ἔχουσα. Καὶ ἄλλως· πηγή ἐστιν ὁ τῷ λόγῳ τὸν βίον ἔχων συμφωνοῦντα, χείμαρρος δὲ ὁ ἄπρακτος λόγος, ἐν μόνῃ τῇ προφορᾷ τὴν ἀκοὴν γοητεύων. Ἢ καὶ ἄλλως· πηγή ἐστιν ὁ κατὰ τὸν νοῦν τῶν ἐγκειμένων τοῖς μανθάνουσιν τὴν παράδοσιν ποιούμενος, χείμαρρος δὲ ὁ κατὰ τὸ γράμμα διδάσκων.

ΕΡΩΤΗΣΙΣ 101

Ἐκ τοῦ αὐτοῦ· «περὶ τῶν δικαίων τοῦ Θεοῦ κριμάτων, ἐάν τε καταλαμβάνωμεν ἡμεῖς, ἐάν τε ἀγνοῶμεν τὴν πολλὴν ἄβυσσον».

ΑΠΟΚΡΙΣΙΣ

Ἄβυσσος λέγεται ἡ ἀκαταληψία ἡ ἐκ τοῦ βύειν, ἤγουν ἐκ τοῦ φράσσειν, κατὰ τὸ εἰρημένον ἐν τῷ ψαλμῷ περὶ τῆς βυούσης τὰ ὦτα ἀσπίδος, ἀντὶ τοῦ 'τῆς φραττούσης'· ὡς οὖν πρὸς ἡμᾶς τοὺς μὴ δυναμένους ἐν περιλήψει γενέσθαι τῆς τὰ κρίματα βλυζούσης προνοίας εἰσὶν ἀκατάληπτα, κατ' ἄλλον δὲ τρόπον ληπτά.

ΕΡΩΤΗΣΙΣ 102

Ἐκ τοῦ αὐτοῦ· «πῶς καὶ ἡ ἐλεημοσύνη εἰς σταθμοὺς

40. Γρηγορίου Θεολόγου, *Λόγος 16, Εἰς τὸν πατέρα σιωπῶντα, διὰ τὴν πληγὴν τῆς χαλάζης*, 1(PG35,936A4-5), καὶ Ἕλληνες Πατέρες τῆς Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 5, σ. 322,7-8.

41. Γρηγορίου Θεολόγου, *ὅ. π.*, 44 (PG35,937C14-D1) καὶ Ἕλληνες Πατέρες τῆς Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 5, σ. 328,3-5.

ΕΡΩΤΗΣΗ 100

Ἀπὸ τὸν ἴδιο, ἀπὸ τὸ λόγο του Γιὰ τὸ χαλάζι, στὴ φράση «δὲν ἀνέχομαι μιὰ πηγὴ νὰ φράζει καὶ τὸ χείμαρρο νὰ κυλᾶ»[40].

ΑΠΟΚΡΙΣΗ

Πηγὴ εἶναι ἡ εὐαγγελικὴ διδασκαλία, ποὺ πάντα ἀναβλύζει μὲ τὴν πίστη, ἐνῶ χείμαρρος ἡ ἐξωτερικὴ φιλοσοφία, ποὺ ἀντλεῖ τὴν πειθώ της μόνο ἀπὸ τὸ λόγο. Κι ἀλλιῶς· πηγὴ εἶναι ὅποιος ἔχει βίο ποὺ συμφωνεῖ μὲ τὸ λόγο, χείμαρρος ὁ λόγος ποὺ δὲ γίνεται ἔργο καὶ ποὺ μὲ τὴν ἐκφώνησή του μόνο γοητεύει τὴν ἀκοή. Ἀλλὰ καὶ διαφορετικά· πηγὴ εἶναι ὅποιος διδάσκει τοὺς μαθητές του σύμφωνα μὲ τὸ νόημα τῶν κειμένων, ἐνῶ χείμαρρος αὐτὸς ποὺ περιορίζεται στὴ μετάδοση ἐκείνου ποὺ ἁπλὰ λέει τὸ γράμμα.

ΕΡΩΤΗΣΗ 101

Ἀπὸ τὸν ἴδιο[41]· «γιὰ τὰ δίκαια κρίματα τοῦ Θεοῦ, εἴτε καταλαβαίνομε ἐμεῖς εἴτε ἀγνοοῦμε τὴν ἀπέραντη ἄβυσσο»[42].

ΑΠΟΚΡΙΣΗ

Ἄβυσσος λέγεται ἡ ἀκαταληψία, ἀπὸ τὸ βύω, ποὺ σημαίνει φράζω, σύμφωνα μ' αὐτὸ λέγεται σὰν ψαλμὸ γιὰ τὴν ἀσπίδα ποὺ «βύει» τ' αὐτιά, ἀντὶ 'φράζει'. Σ' ἐμᾶς λοιπὸν ποὺ δὲν μποροῦμε νὰ περιλάβομε τὰ κρίματα τῆς πρόνοιας ποὺ ἀναβλύζει εἶναι ἀκατάληπτα· καταληπτὰ γίνονται μὲ ἄλλο τρόπο.

ΕΡΩΤΗΣΗ 102

Ἀπὸ τὸν ἴδιο[43]· πῶς ζυγίζεται μὲ σταθμὰ καὶ ἡ ἐλεημο-

42. Ψαλμ. 57,5.

43. Γρηγορίου Θεολόγου, ὅ. π., 4(PG35,937D1–940A1) καὶ Ἕλληνες Πατέρες τῆς Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου τόμ. 5, σ. 328,5–7.

κατὰ τὸν ἅγιον Ἡσαΐαν; οὐδὲ γὰρ τὸ ἀγαθὸν ἄκριτον, εἰ καὶ τοῖς ἐν τῷ ἀμπελῶνι ἔδοξεν».

ΑΠΟΚΡΙΣΙΣ

Ἐὰν σταθμίζεται ἡ ἐλεημοσύνη τοῦ Θεοῦ, καὶ περιγράφεται εἰκότως. Μᾶλλον οὖν τοῦτο χρὴ ὑπολαμβάνειν, ὅτι ὥσπερ ἔχομεν δύναμιν ὀπτικὴν καὶ ἀκουστικὴν καὶ ἀναπνευστικὴν οὐχ ὅλον εἰσδεχομένας τὸν ἀέρα ἢ τὸ φῶς ἢ τὴν φωνὴν –ἐπεὶ οὐκ ἂν ἄλλῳ ὑπελείφθη ἡ ἐκ τούτων μετοχή– ἀλλὰ κατὰ τὴν ἀναλόγως προσοῦσαν δύναμιν ἑκάστῳ μετέχει, οὕτω καὶ ἡ τοῦ Θεοῦ ἐλεημοσύνη κατὰ τὴν ἑκάστου τῶν ὑποκειμένων διαθέσεων ποιότητα καὶ τὴν ἄφεσιν καὶ τὴν χάριν δίδωσιν· οἷον, τελείως τις μετενόησε, τελείως καὶ ἀφίεται· μερικῶς μετενόησε, μερικῶς καὶ ἀφίεται· ὡσαύτως καὶ ἐπὶ τοῦ ἀγαπῶντος.

ΕΡΩΤΗΣΙΣ 103

Ἐκ τοῦ αὐτοῦ· «καὶ ἡ ὀργὴ κατὰ λόγον τῶν ἁμαρτημάτων καὶ ποτήριον ἐν χειρὶ Κυρίου προσαγορευομένη καὶ κόνδυ πτώσεως ἐκπινόμενον, εἰ καὶ πᾶσιν ὑφαιρεῖ τι τῆς ἀξίας καὶ τὸ τῆς ὀργῆς ἄκρατον φιλανθρωπίᾳ κίρνησι· κλίνων μὲν ἀπὸ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον».

ΑΠΟΚΡΙΣΙΣ

«Χεὶρ Κυρίου» ἐστὶν ἡ δημιουργικὴ δύναμις καὶ συντηρητικὴ καὶ τοῦ εὖ ποιητικὴ καὶ τοῦ φεῦ ἀποποιητική· πᾶσα οὖν ἁμαρτία, ἅμα ὑποστῇ, καὶ τὴν ἐκ τοῦ τέλους ἐπ' αὐτῇ κρίσιν ἔχει πα-

---

44. Ἡσ. 28,17. 45. Ματθ. 20,4–12.

46. Γρηγορίου Θεολόγου, *Λόγος 16, Εἰς τὸν πατέρα σιωπῶντα, διὰ τὴν πληγὴν τῆς χαλάζης*, 4(PG35,940A4–9), καὶ Ἕλληνες Πατέρες τῆς Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 5, σ. 328,8–12.

σύνη κατὰ τὸν ἅγιο Ἠσαΐα;[44] Οὔτε καὶ τὸ ἀγαθὸ τὸ παίρνει κανένας ἀδιακρίτως, ἂν καὶ οἱ ἐργάτες τοῦ ἀμπελώνα εἶχαν αὐτὴ τὴ γνώμη[45].

ΑΠΟΚΡΙΣΗ

Ἂν ἡ ἐλεημοσύνη τοῦ Θεοῦ ζυγίζεται, τότε εἶναι φυσικὸ καὶ νὰ ἔχει ὅρια. Καὶ μᾶλλον πρέπει νὰ σκεπτόμαστε τὸ ἑξῆς· ὅπως ἔχομε τὴ δύναμη νὰ βλέπομε, ν' ἀκοῦμε καὶ ν' ἀναπνέομε, ποὺ δὲ δέχονται ὅμως ὅλο τὸν ἀέρα, ὅλο τὸ φῶς ἢ ὅλο τὸν ἦχο -γιατὶ τότε δὲ θὰ ἔμενε μέρος ἀπὸ αὐτὰ γιὰ νὰ μετέχει καὶ κάποιος ἄλλος -ἀλλὰ καθένας μετέχει ἀνάλογα μὲ τὴν ἱκανότητα ποὺ ἔχει, ἔτσι καὶ ἡ ἐλεημοσύνη τοῦ Θεοῦ ἀνάλογα μὲ τὴν ποιότητα τῶν διαθέσεων τοῦ καθενὸς παρέχει τὴν ἄφεση καὶ τὴ χάρη. Γιὰ παράδειγμα· ἂν ἔχει μετανοήσει κάποιος τελείως, δέχεται καὶ πλήρη ἄφεση· ἂν ἡ μετάνοιά του εἶναι μερική, μερικὴ εἶναι καὶ ἡ ἄφεσή του. Τὸ ἴδιο συμβαίνει καὶ στὴν περίπτωση ἐκείνου ποὺ ἀγαπᾶ.

ΕΡΩΤΗΣΗ 103

Ἀπὸ τὸν ἴδιο λόγο[46]· καὶ ἡ ὀργὴ εἶναι ἀνάλογη μὲ τὰ ἁμαρτήματα, ὀνομαζόμενη ποτήρι στὰ χέρια τοῦ Κυρίου[47] καὶ ποτήρι ποὺ προξενεῖ τὴν πτώση σ' ἐκείνουν ποὺ πίνουν[48], ἂν καὶ ἀπὸ ὅλους ἀφαιρεῖ κάτι ἀπὸ αὐτὸ ποὺ ἀξίζουν, ὡστόσο ἀνακατεύει τὸ ἄκρατο κρασὶ τῆς ὀργῆς μὲ τὴ φιλανθρωπία, κλίνοντας ἀπὸ τὸ ἀπότομο στὴν ὑποχωρητικότητα.

ΑΠΟΚΡΙΣΗ

«Χέρι τοῦ Κυρίου» εἶναι ἡ δύναμη ἡ δημιουργικὴ καὶ συντηρητική, ποὺ προκαλεῖ τὸ ἀγαθὸ καὶ ἀποτρέπει τὸ θλιβερό. Κάθε ἁμαρτία λοιπὸν μόλις διαπραχθεῖ, ἔχει δεμένες μαζί της

47. Ψαλμ. 74,9. 48. Ἠσ. 51,17.

ραπεπηγμένην. Κλινεῖ δὲ ἀπὸ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, διὰ τῶν σωτηρίων ἐντολῶν ὑποτιθεμένη τῇ ψυχῇ τὴν κενωτικὴν τῆς τοιαύτης κρίσεως μετάνοιαν.

ΕΡΩΤΗΣΙΣ 104

Ἐρώτησις ἀπόρου ἐκ τοῦ Περὶ εὐταξίας λόγου τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου· «πῶς λόγος νοῦ γέννημα καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ;». Περὶ ποίου ἄρα λέγει λόγου, τοῦ ἐνδιαθέτου ἢ τοῦ προφορικοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Φασὶν οἱ πατέρες ἡμῶν μὴ εἶναι τὸ ἄφετον καὶ ἁπλοῦν κατὰ τὴν οὐσίαν ἢ μόνον τὸ Θεῖον, τὰ δὲ ἄλλα πάντα, ὅσα μετὰ Θεὸν καὶ ἐκ Θεοῦ τὸ εἶναι ἔχει, ἐξ οὐσίας καὶ ποιότητος, ἤτουν δυνάμεως, εἶναι, τουτέστιν ἐξ οὐσίας καὶ συμβεβηκότος. Εἰ δὲ τοῦτο, πάντως καὶ ἡ ψυχή, νοῦς ὑπάρχουσα κατὰ τὴν δύναμιν αὐτῆς, ἔχει ὡς ἀγέννητον ἑαυτήν, ἑαυτῷ γεννῶντα γεννητῶς, ὡς εἶναι τὸν λόγον τὸν ἐν τῷ νῷ καὶ ἐκ τοῦ νοῦ γεννώμενον ἄλλον αὐτῷ, ἐκεῖνο τὸν γεννῶντα νοῦν μετὰ τῆς κατὰ τὴν γέννησιν ἰδιότητος τῆς μηδαμῶς δεχομένης ἀντιστροφήν. Αὐτὸς οὖν ὁ λόγος ὁ οὕτω καὶ ὢν καὶ γεννώμενος, τῆς ὑπουργοῦ φύσεως τὴν φωνὴν λαμβάνων, προφέρεται καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ, διὰ τῆς τοῦ δεχομένου ἀκοῆς τῷ νῷ παραπεμπόμενος. «Γεννᾷ δὲ λόγον ἐν ἄλλῳ νοΐ», οὐ δημιουργῶν λόγον ἐν ἄλλῳ, ἀλλὰ διδοὺς εἴδους, ἵν' οὕτως εἴπω, καὶ μορφῆς δύναμιν πρὸς τὸ σχηματίσαι νόημα τῷ ἀκούοντι.

---

49. Γρηγορίου Θεολόγου, *Λόγος 32, Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας* ... 27 (PG36,205A13-14) καὶ Ἕλληνες Πατέρες τῆς Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 2, σ. 76,7-8.

καὶ τὴν κρίση ἀνάλογα μὲ τὴν κατάληξή της. «Θὰ κλίνει ἀπὸ τὸ ἀπότομο στὴν ὑποχωρητικότητα» χάρη στὶς σωτήριες ἐντολὲς ποὺ ὑποβάλλουν στὴν ψυχὴ τὴ μετάνοια ποὺ κενώνει τὴν κρίση ἀπὸ τὴν ὀργή.

ΕΡΩΤΗΣΗ 104

Ἐρώτηση γιὰ χωρίο ἀπορούμενο ἀπὸ τὸ λόγο, 'Περὶ εὐταξίας' τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου[49]· «πῶς ὁ λόγος ποὺ εἶναι γέννημα τοῦ νοῦ γεννᾶ λόγο σ' ἕνα ἄλλο νοῦ; Γιὰ ποιόν λόγο ἄραγε ὁμιλεῖ, τὸν ἐνδιάθετο ἢ τὸν προφορικό;

ΑΠΟΚΡΙΣΗ

Οἱ πατέρες μας λένε ὅτι τίποτε δὲν εἶναι ἀπόλυτο (ἀνεξάρτητο ἀπὸ τὰ ἄλλα) καὶ ἁπλὸ στὴν οὐσία, παρὰ μόνο τὸ Θεῖο, ἐνῶ ὅλα τὰ ἄλλα ὅσα εἶναι ἔπειτα ἀπὸ τὸ Θεὸ καὶ παίρνουν τὴν ὕπαρξή τους ἀπὸ τὸ Θεό, ἀποτελοῦνται ἀπὸ οὐσία καὶ ποιὸ ἤτοι δύναμη, δηλαδὴ ἀπὸ οὐσία καὶ συμβεβηκότα. Ἂν αὐτὸ συμβαίνει τότε καὶ ἡ ψυχή, ποὺ εἶναι νοῦς κατὰ τὴ δύναμή της, ἔχει ὁπωσδήποτε ὡς ἀγέννητο τὸν ἑαυτό της ποὺ γεννᾶ νοητὰ γιὰ τὸν ἑαυτό του, ὥστε νὰ ὑπάρχει ὁ λόγος ποὺ εἶναι μέσα στὸ νοῦ καὶ ἀπὸ αὐτὸν νὰ γεννιέται ἄλλος· [κι ἔτσι ὁ πρῶτος εἶναι ὁ νοῦς ποὺ γεννᾶ καὶ ὁ νοῦς ποὺ γεννιέται ὁ δεύτερος][50], ἔχοντας τὴν ἰδιότητα ποὺ συνοδεύει τὴ γέννηση ποὺ μὲ κανένα τρόπο δὲν ἐπιδέχεται ἀντιστροφή. Αὐτὸς λοιπὸν ὁ λόγος, αὐτὸς ποὺ ἔτσι εἶναι καὶ γεννιέται, παίρνοντας τὴ φωνὴ τῆς ὑπηρέτριας φύσης, προφέρεται καὶ γεννᾶ λόγο σὲ ἄλλο νοῦ καθὼς παραπέμπεται μὲ τὴν ἀκοὴ ἐκείνου ποὺ τὸν δέχεται στὸ νοῦ. Καὶ «γεννᾶ λόγο σὲ ἄλλο νοῦ», ὄχι βέβαια δημιουργώντας λόγο μέσα σὲ ἄλλο νοῦ, ἀλλὰ δίνοντας δύναμη εἴδους, γιὰ νὰ τὸ πῶ ἔτσι, καὶ μορφῆς γιὰ νὰ σχηματίσει νόημα αὐτὸς ποὺ ἀκούει.

50. Τὸ σημεῖο αὐτὸ πάσχει καὶ δὲν διορθώνεται ἔτσι, ὅπως πρόχειρα προσπαθήσαμε.

ΕΡΩΤΗΣΙΣ 105

Ἐκ τοῦ λόγου τοῦ εἰρηνικοῦ τοῦ αὐτοῦ ἁγίου Γρηγορίου· «τριάδα τελείαν ἐκ τριῶν τελείων, μονάδος μὲν κινηθείσης διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης διὰ τὴν ὕλην καὶ τὸ εἶδος, ἐξ ὧν καὶ τὰ σώματα, τριάδος ὁρισθείσης διὰ τὸ τέλειον· πρώτη γὰρ ὑπερβαίνει δυάδος σύνθεσιν».

ΑΠΟΚΡΙΣΙΣ

Οὐ τοῦ εἶναι τὴν θείαν καὶ μακαρίαν Τριάδα αἰτίαν ἐνταῦθα τίθεται, τῆς ὑπὲρ αἰτίαν καὶ λόγον, ἀλλὰ τῆς ἡμῶν πρὸς τὴν ἀληθεστάτην εὐσέβειαν τῆς ἁγίας Τριάδος χειραγωγίας. Ὥσπερ γὰρ ἐκ τῆς οὐσίας τῶν ὄντων τὸν γενεσιουργὸν ἐννοοῦμεν, οὕτω καὶ τὸν τρόπον τῆς ὑπάρξεως τῆς ὑπεραρρήτου θεότητος ἔκ τινων τῶν κατὰ τὰ ὄντα συμβόλων μυστικῶς διδασκόμεθα, αὐτῆς δηλονότι τῆς ἁγίας θεότητος κινούσης ἡμᾶς εἰς ἐπίγνωσιν ἑαυτῆς καὶ εὐσεβεῖς παρεχούσης ἀφορμὰς πρὸς τὸ τολμᾶν ἐξετάζειν τὸν τρόπον τῆς ὑπερφυοῦς αὐτῆς ὑπάρξεως. Λέγεται οὖν κινεῖσθαι ἢ δι' ἡμᾶς τοὺς ἐπ' αὐτὴν κινουμένους, ἢ ὡς αἰτία τῆς ἡμῶν πρὸς τὴν γνῶσιν αὐτῆς κινήσεως. Ἐκίνησεν οὖν ἑαυτὴν ἐν ἡμῖν πρὸς τὸ γνῶναι ὅτι ἔστι τις αἰτία τῶν ὅλων, ὅπερ ἐστὶ «μονάδος κινηθείσης». «Δυάδος δὲ ὑπερβαθείσης» λέλεκται ὅτι συνθέσεως ἔξω καθορᾶται ἡ θεία φύσις. «Τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον» εἴρηται ὅτι αὐτὸ τὸ ὂν οὐκ ἔξω σοφίας καὶ ζωῆς ἐστιν, ὅπερ νοήσαντες ὡρίσαμεν σοφίαν τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ζωὴν τὸ Πνεῦμα τὸ ἅγιον, ἐπειδὴ καὶ ἡ ψυχὴ ἡμῶν, κατ' εἰκόνα Θεοῦ κτισθεῖσα, ἐν τοῖς τρισὶ τούτοις καθορᾶται, ἐν νῷ καὶ λόγῳ καὶ πνεύματι.

---

51. Γρηγορίου Θεολόγου, *Ὁμιλία 32, Εἰρηνικὸς α'*, Ἕλληνες Πατέρες τῆς

ΕΡΩΤΗΣΗ 105

Ἀπὸ τὸ λόγο τὸν Εἰρηνικὸ τοῦ ἰδίου ἁγίου Γρηγορίου[51]· «τριάδα τέλεια ἀπὸ τρία τέλεια· ἡ μονάδα κινήθηκε πρὸς αὔξηση γιὰ νὰ γίνει πλουσιότερη καὶ ἡ δυάδα πάλι ὑποσκελίσθηκε ἐξαιτίας τῆς ὕλης καὶ τοῦ εἴδους ἀπὸ τὰ ὁποῖα ἀποτελοῦντα τὰ σώματα καὶ καθορίστηκε τριάδα ἐξαιτίας τῆς τελειότητάς της, ἐπειδὴ πρώτη αὐτὴ ξεπερνᾶ τὴ σύνθεση τῆς δυάδας».

ΑΠΟΚΡΙΣΗ

Δὲν θέτει ἐδῶ τὴ θεία καὶ μακάρια τριάδα, τὴν πάνω ἀπὸ αἰτία καὶ λόγο, ὡς αἰτία τοῦ εἶναι, ἀλλὰ ὡς αἰτία τῆς χειραγωγίας μας πρὸς τὴν ἀληθέστατη εὐσέβεια τῆς ἁγίας Τριάδας. Ὅπως δηλαδὴ ἀπὸ τὴν οὐσία τῶν ὄντων ἀναγόμαστε στὴ σκέψη τοῦ δημιουργοῦ της, ἔτσι ἀπὸ κάποια σύμβολα ἀπὸ τὰ ὄντα πληροφορούμαστε μυστικὰ τὸν τρόπο ὕπαρξης τῆς ὑπεράρρητης θεότητας· ἡ ἴδια δηλαδὴ ἡ ἁγία θεότητα μᾶς κινεῖ στὴν ἐπίγνωσή της καὶ παρέχει εὐσεβεῖς ἀφορμὲς στὸ νὰ τολμοῦμε νὰ ἐξετάζομε τὸν τρόπο τῆς ὑπερφυσικῆς ὕπαρξής της. Λέγεται λοιπὸν ὅτι ἡ θεότητα κινεῖται ἢ γιὰ μᾶς ποὺ κινούμαστε πρὸς αὐτήν, ἢ ὡς αἰτία τῆς δικῆς μας κίνησης γιὰ νὰ τὴ γνωρίσομε. Κινήθηκε λοιπὸν μέσα μας γιὰ νὰ μάθομε ὅτι ὑπάρχει κάποια αἰτία τῶν ὅλων, κι αὐτὸ σημαίνει «ἡ μονάδα κινήθηκε»· ἡ φράση «ἡ δυάδα ποὺ ὑποσκελίστηκε» εἰπώθηκε, ἐπειδὴ ἡ θεία φύση εἶναι ἔξω ἀπὸ σύνθεση. Ἡ φράση πάλι 'ἡ τριάδα καθορίστηκε' εἰπώθηκε ἐξαιτίας τῆς τελειότητάς της, ἐπειδὴ τὸ ἴδιο τὸ ὂν δὲν εἶναι ἔξω ἀπὸ τὴ ζωὴ καὶ τὴ σοφία, καὶ κάνοντας αὐτὴ τὴ σκέψη ὁρίσαμε ὡς σοφία τὸν Υἱὸ καὶ Λόγο τοῦ Θεοῦ, ὡς ζωὴ τὸ Πνεῦμα τὸ ἅγιο, ἐπειδὴ καὶ τὴν ψυχή μας «πλασμένη κατὰ τὴν εἰκόνα τοῦ Θεοῦ»[52], τὴ βλέπομε μὲ τὶς τρεῖς αὐτὲς διαστάσεις, ὡς νοῦ καὶ λόγο καὶ πνεῦμα.

Ἐκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμ. 1, σ. 372,17-20.

52. Γεν. 1,26.

ΕΡΩΤΗΣΙΣ 106

Τί σημαίνει τὸ ἐν τῷ Ἔσδρᾳ λεγόμενον «φοβέρισον αὐτοὺς ἐν νόμῳ Κυρίου»;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ «φοβέρισον» εἴρηται ἀντὶ τοῦ 'κατάπληξον αὐτούς', οὐκ ἐκ τῶν ἐπηγγελμένων ἀγαθῶν, ἀλλ' ἐκ τῶν ἠπειλημένων φοβερῶν· δουλικὸν γὰρ τοῦτο καὶ Ἰουδαίοις ἁρμόδιον.

ΕΡΩΤΗΣΙΣ 107

Ἐκ τῶν Ἠθικῶν τοῦ ἁγίου Βασιλείου εἰς τὸν πρῶτον ψαλμόν· «ἵνα, ὥσπερ ἐν κοινῷ τῶν ψυχῶν ἰατρείῳ πάντες ἄνθρωποι, ἕκαστος τὸ ἴαμα τοῦ οἰκείου πάθους ἐκλεγώμεθα· 'ἴαμα', γάρ φησιν, 'καταπαύση ἁμαρτίας μεγάλας'». Τίνος χάριν ὁ διδάσκαλος ἐνταῦθα οὐ τῇ Γραφῇ ἠκολούθησεν; Ἐκείνη γὰρ τὸ ἴαμα τὸ ἐᾶσαι τὸν ἐπεισελθόντα πονηρὸν λογισμὸν καὶ μὴ παραδέξασθαι ἐξέδωκεν, αὐτὸς δὲ ἐπὶ τῆς ἰάσεως τὴν λέξιν ἐξέδωκεν.

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ πᾶσα ἀρχὴ καὶ τέλος ἔχει, καὶ πᾶσα ῥῆσις ἀνθυπακουόμενον, καὶ πᾶσα ἐνέργεια ἀποτέλεσμα, πολλάκις οἱ ἀκριβέστεροι τῶν διδασκάλων ἐκ τῶν ἀποτελεσμάτων τὴν ἀρχὴν τοῦ ἰδίου λόγου ποιοῦνται, καθάπερ καὶ ἐνταῦθα ὁ διδάσκαλος ἐχρήσατο· καὶ γὰρ τέλος τοῦ ἐᾶσαι καὶ μὴ παραδέξασθαι τὸ κακὸν ἴασίς ἐστι καὶ ὑγεία.

ΕΡΩΤΗΣΙΣ 108

Ἐκ τοῦ αὐτοῦ· «ἄλλα μὲν οὖν προφῆται παιδεύουσι

---

53. Β' Ἔσδρ. 10,3.

54. Μεγάλου Βασιλείου, *Ὁμιλία εἰς τὸν Α' Ψαλμόν*, 1 (PG 29,209A3–212A1).

ΕΡΩΤΗΣΗ 106

Τί σημαίνει ὁ λόγος τοῦ Ἔσδρα «φοβέρισέ τους μὲ τὸ νόμο τοῦ Κυρίου»[53];

ΑΠΟΚΡΙΣΗ

Τὸ «φοβέρισέ τους» εἰπώθηκε ἀντὶ τοῦ, 'τρόμαξέ τους' ὄχι ἀπὸ τὰ ἀγαθὰ ποὺ ὑποσχέθηκες, ἀλλὰ ἀπὸ τὰ δεινὰ μὲ τὰ ὁποῖα τοὺς ἀπείλησες. Γιατὶ αὐτὴ εἶναι μεταχείριση δούλων, ποὺ ταιριάζει στοὺς Ἰουδαίους.

ΕΡΩΤΗΣΗ 107

Ἀπὸ τὰ Ἠθικὰ τοῦ ἁγίου Βασιλείου στὸν πρῶτο ψαλμό[54]· «ὥστε, ὅπως σ' ἕνα κοινὸ ἰατρεῖο τῶν ψυχῶν ὅλοι οἱ ἄνθρωποι διαλέγομε καθένας τὸ φάρμακο τῆς δικῆς του ἀσθένειας[55]· γιατὶ λέει, 'τὸ φάρμακο θὰ σταματήσει μεγάλες ἁμαρτίες'». Γιὰ ποιό λόγο ἐδῶ ὁ δάσκαλος δὲν ἀκολούθησε τὴ Γραφή; Γιατὶ ἡ Γραφὴ ὡς ἴαμα ἐννοεῖ ν' ἀφήσει κανεὶς τὸν πονηρὸ λογισμὸ ποὺ εἰσῆλθε μέσα του καὶ νὰ μὴν τὸν παραδεχθεῖ, ἐνῶ ὁ μέγας Βασίλειος ἐφαρμόζει τὴ λέξη στὴν ἴαση».

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ κάθε ἀρχὴ ἔχει καὶ τὸ τέλος της καὶ κάθε λόγος τὸν ἐπίλογό του καὶ κάθε ἐνέργεια ἔχει τὸ ἀποτέλεσμά της, συχνὰ οἱ πιὸ σωστοὶ δάσκαλοι κάνουν ἀρχὴ τῆς διδασκαλίας τους ἀπὸ τὰ ἀποτελέσματα, ὅπως ἔκανε καὶ ἐδῶ ὁ δάσκαλος. Γιατὶ τὸ ἀποτέλεσμα τοῦ νὰ ἀφήσει (ἐάσει) καὶ νὰ μὴ δεχτεῖ τὸ κακὸ εἶναι ἴαση καὶ ὑγεία.

ΕΡΩΤΗΣΗ 108

Ἀπὸ τὸν ἴδιο[56]· «ἄλλα διδάσκουν οἱ προφῆτες καὶ

55. Ἐκκλ. 10,4.
56. Μεγάλου Βασιλείου, *Ὁμιλία εἰς τὸν Α' Ψαλμόν*, 1 (PG 29,212A1-4).

καὶ ἄλλα ἱστορικοί, καὶ ὁ νόμος ἕτερα, καὶ ἄλλο τὸ εἶδος τῆς παροιμιακῆς παραινέσεως».

ΑΠΟΚΡΙΣΙΣ

Προφῆται μὲν παιδεύουσι τὰ προγνωστικά, ἱστορικοὶ δὲ τὴν τῶν καλῶν ἀνάμνησιν καὶ παράθεσιν, ὁ δὲ νόμος τὴν τοῦ καλοῦ καὶ κακοῦ εἴδησιν· τὸ δὲ εἶδος τῆς παροιμιακῆς παραινέσεως συμβουλὴν γνώμης παρέχεται, τουτέστι τοὺς τρόπους τῶν πρακτέων ὑποτίθεται.

ΕΡΩΤΗΣΙΣ 109

Ἐκ τοῦ αὐτοῦ· «καὶ πού τις τῶν σφόδρα ἐκτεθηριωμένων ὑπὸ θυμοῦ, ἐπειδὰν ἄρξηται τῷ ψαλμῷ κατεπᾴδεσθαι, ἀπῆλθεν εὐθὺς τὸ ἀγριαῖνον τῆς ψυχῆς τῇ μελῳδίᾳ κατακοιμήσας».

ΑΠΟΚΡΙΣΙΣ

Οὐ περὶ τοῦ ἁπλῶς ψάλλοντος, ἀλλὰ περὶ τοῦ εἰδότος ψάλλειν εἶπεν ὁ διδάσκαλος· οὕτω γὰρ καὶ Ἐλισσαῖος παρὰ τῶν βασιλέων ἐπεζήτησε νεανίσκον «εἰδότα ψάλλειν», τουτέστι νοοῦντα καὶ δυνάμενον διὰ τῆς τοῦ ρητοῦ μεσιτείας τὴν ἐγκειμένην διάνοιαν πρὸς τὴν ψυχὴν διαβιβάσαι καὶ ἐντυπῶσαι. Ὁ τοιοῦτος γὰρ οὐ μόνον κατακοιμῆσαι δύναται τὸν θυμόν, ἀλλὰ καὶ ἐκδιῶξαι δαίμονας, τουτέστιν οὐ μόνον τὰ πάθη τῆς σαρκὸς σβέσαι, ἀλλὰ καὶ τοὺς διεγείροντας ταῦτα δαίμονας ἀποδιῶξαι, κατὰ τὸν μέγαν Δαυῒδ τὸ πονηρὸν πνεῦμα τοῦ Σαοὺλ ἐκδιώκοντα.

ΕΡΩΤΗΣΙΣ 110

Τοῦ αὐτοῦ· «ὅπλον ἐν φόβοις νυκτερινοῖς, ἀνάπαυσις κόπων ἡμερινῶν».

---

57. Μεγάλου Βασιλείου, *Ὁμιλία εἰς τὸν Α' Ψαλμόν*, 1 (PG 29,212C4-7).
58. Δ' ασ. 3,15. Α' Βασ. 16,16.

ἄλλα οἱ ἱστορικοὶ συγγραφεῖς καὶ ἄλλα πάλι ὁ νόμος καὶ ἄλλο εἶναι τὸ εἶδος τῆς παραίνεσης μὲ παροιμίες».

ΑΠΟΚΡΙΣΗ

Οἱ προφῆτες διδάσκουν τὴν πρόγνωση, οἱ ἱστορικοὶ τὴν ἀνάμνηση καὶ τὴν παράθεση τῶν καλῶν, ἐνῶ ὁ νόμος τὴ γνώση τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Τὸ εἶδος τῆς παραίνεσης τῶν Παροιμιῶν παρέχει γνώμη καὶ συμβουλή, δηλαδὴ τοὺς τρόπους μὲ τοὺς ὁποίους πρέπει νὰ πραχθεῖ κάτι.

ΕΡΩΤΗΣΗ 109

Ἀπὸ τὸν ἴδιο[57]· «κι ὅταν κάποιον, ποὺ εἶναι τέλεια ἀποθηριωμένος ἀπὸ τὸ θυμό, ἀρχίσομε νὰ τὸν καταπραΰνομε μὲ τὸν ψαλμό, ἐξαφανίζεται ἀμέσως ἡ ψυχικὴ ἐξαγρίωσή του καὶ ἀποκοιμιέται μὲ τὴ μελωδία».

ΑΠΟΚΡΙΣΗ

Ὁ δάσκαλος δὲν εἶπε γι' αὐτὸν ποὺ ἁπλὰ ψάλλει, ἀλλὰ γι' αὐτὸν ποὺ ξέρει νὰ ψάλλει. Ἔτσι καὶ ὁ Ἐλισσαῖος ζήτησε[58] ἀπὸ τοὺς βασιλιάδες ἕνα νεαρὸ ποὺ νὰ γνωρίζει νὰ ψάλλει, δηλαδὴ ποὺ νὰ γνωρίζει καὶ νὰ μπορεῖ μὲ τὴ μεσολάβηση τοῦ λόγου νὰ διαβιβάσει καὶ νὰ ἐντυπώσει στὴν ψυχὴ τὸ νόημα ποὺ κρύβει ὁ λόγος. Γιατὶ αὐτὸς ὄχι μόνο μπορεῖ νὰ κοιμήσει τὸ θυμό, ἀλλὰ καὶ τοὺς δαίμονες νὰ διώξει, δηλαδὴ ὄχι μόνο νὰ σβήσει τὴ φλόγα τῶν σαρκικῶν παθῶν, ἀλλὰ ν' ἀποδιώξει καὶ τοὺς δαίμονες ποὺ τὰ διεγείρουν, ὅπως ὁ μέγας Δαβὶδ ποὺ ἔδιωξε τὸ πονηρὸ πνεῦμα ἀπὸ τὸν Σαούλ[59].

ΕΡΩΤΗΣΗ 110

Τοῦ ἰδίου[60]· «τὸ ὅπλο κατὰ τοὺς φόβους τῆς νύχτας ἀποτελεῖ ἀνάπαυση ἀπὸ τοὺς κόπους τῆς ἡμέρας».

59. Α' Βασ. 16,23.
60. Μεγάλου Βασιλείου, *Ὁμιλία εἰς τὸν Α' Ψαλμόν*, 1 (PG 29,212D6-7).

ΑΠΟΚΡΙΣΙΣ

Νύκτα ἐκάλεσε τὰς τοῦ ἐχθροῦ κεκρυμμένας δολερὰς προσβολάς, ἡμέραν δὲ τοὺς ὁμολογημένους καὶ ἐν φανερῷ πειρασμούς. Ὁ οὖν τὴν ἕξιν τῆς θείας γνώσεως εἰληφὼς καὶ μηδὲν ἀγνοῶν τῶν τοῦ ἐχθροῦ νοημάτων, οὐ φοβεῖταί τι τῶν κεκρυμμένων τοῦ ἐχθροῦ προσβολῶν· φόβος γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ προσδοκώμενον κακόν. Ἀλλὰ μὴν καὶ ἀνάπαυσιν ἡγεῖται τοὺς ὑπὲρ τῶν ὁμολογημένων πειρασμῶν πόνους διὰ τὴν ἐγγινομένην ἐκ τῆς πρὸς αὐτοὺς συμπλοκῆς τῇ ψυχῇ δοκιμασίαν καὶ τὴν ἐλπιζομένην ἐκ ταύτης μακαρίαν ἐκδοχὴν τοῦ στεφάνου τῆς ἀφθαρσίας.

ΕΡΩΤΗΣΙΣ 111

Ἐκ τοῦ Ἀποστόλου πρὸς Ρωμαίους· «συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν».

ΑΠΟΚΡΙΣΙΣ

Καθάπερ ἀποδρᾶσαν καὶ πλανώμενον κτῆνος διώκει ὁ ἴδιος δεσπότης, ἐπὰν δὲ συγκλείσει αὐτὸ μετὰ τῶν διωκόντων καὶ εὕρῃ αὐτὸ τετραυματισμένον ἐπιμελεῖται αὐτοῦ, οὕτω καὶ ὁ τοῦ Θεοῦ Λόγος ἐνανθρωπήσας «συνέκλεισεν» ἀντὶ τοῦ 'κατέλαβεν' καὶ ηὗρε πάντας ἀπειθεῖς καὶ ἁμαρτωλούς, καὶ ἐλεήσας διέσωσεν.

ΕΡΩΤΗΣΙΣ 112

Ἐκ τοῦ αὐτοῦ· «ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει».

ΑΠΟΚΡΙΣΙΣ

Οὐ περὶ σωματικῆς νόσου τοῦτο εἴρηται τῷ Ἀποστόλῳ –ἀεὶ γὰρ ἔχαιρεν ἐπὶ ταῖς τοῦ σώματος νόσοις–, ἀλλὰ τῷ ἀσθε-

---

61. Ρωμ. 11,32. 62. Ρωμ. 14,2.

ΑΠΟΚΡΙΣΗ

Νύχτα ὀνόμασε τὶς κρυφὲς καὶ ὕπουλες προσβολὲς τοῦ ἐχθροῦ, ἐνῶ ἡμέρα τοὺς φανεροὺς καὶ ὁμολογημένους πειρασμούς. Ὅποιος λοιπὸν ἔχει ἀποχτήσει τὴ θεία γνώση καὶ δὲν ἀγνοεῖ κανένα ἀπὸ τὰ νοήματα τοῦ ἐχθροῦ, δὲ φοβᾶται καθόλου τὶς κρυφὲς προσβολὲς τοῦ ἐχθροῦ· γιατὶ ὁ φόβος δὲν εἶναι τίποτε ἄλλο, παρὰ ἕνα κακὸ ποὺ τὸ περιμένομε. Ἀλλὰ ἀκόμα καὶ ἀνάπαυση θεωρεῖ τοὺς κόπους γιὰ τὴν καταπολέμηση τῶν ὁμολογημένων πειρασμῶν ἐξαιτίας τῆς δοκιμασίας ποὺ ἀντιμετωπίζει ἡ ψυχὴ ἀπὸ τὴ συμπλοκή της μ' αὐτοὺς καὶ τὴν μακάρια ἀποκόμιση ἀπὸ αὐτὴν ποὺ ἐλπίζει τοῦ στεφάνου τῆς ἀφθαρσίας.

ΕΡΩΤΗΣΗ 111

Ἀπὸ τὴν Ἐπιστολὴ πρὸς Ρωμαίους τοῦ Ἀποστόλου· «ἔκλεισε τοὺς πάντες μέσα στὸ δίχτυ τῆς ἀνυπακοῆς τους»[61].

ΑΠΟΚΡΙΣΗ

Ὅπως ζωντανὸ ποὺ ἔχει ξεφύγει ἀπὸ τὸ μαντρὶ καὶ περιπλανιέται τὸ καταδιώκει τὸ ἀφεντικό του κι ὅταν τὸ περικυκλώσει μὲ τοὺς διῶκτες καὶ τὸ βρεῖ πληγωμένο τὸ φροντίζει, ἔτσι κι ὁ Λόγος τοῦ Θεοῦ, ὅταν ἔγινε ἄνθρωπος τοὺς ἔκλεισε μέσα στὸ δίχτυ του, ἀντὶ νὰ πεῖ 'κατέλαβε' καὶ τοὺς βρῆκε ὅλους ἀπειθεῖς κι ἁμαρτωλούς, καὶ ἀφοῦ τοὺς ἐλέησε, τοὺς ἔσωσε.

ΕΡΩΤΗΣΗ 112

Ἀπὸ τὸν ἴδιο· «ὁ ἄρρωστος τρώει χορταρικά»[62].

ΑΠΟΚΡΙΣΗ

Δὲν τὸ εἶπε αὐτὸ ὁ Ἀπόστολος γιὰ σωματικὴ ἀσθένεια, γιατὶ πάντοτε δοκίμαζε χαρὰ γιὰ τὶς ἀσθένειες τοῦ σώματος,

νοῦντι κατὰ ψυχὴν λάχανα ἐσθίειν προστάσσει, τουτέστι τὰ σχέδια καὶ λιτὰ καὶ εὐκατέργαστα καὶ μὴ λιπαίνοντα τὴν σάρκα. Καὶ ταῦτα μὲν ὁ πρόχειρος νοῦς· κατὰ δὲ τὴν θεωρίαν, ἐκεῖνος ἀσθενεῖ καὶ λάχανα ἐσθίει, ὅστις ἀδυνάτως ἔχει πρὸς τὸ ὕψος τῆς γνώσεως ἀναβῆναι καὶ κατὰ Μωσέα αὐτῷ τῷ γνόφῳ, οὗ ἐστιν ὁ Θεὸς ἐμπελάσαι, ἀλλ' ἀκμὴν εἴτε τῶν τοῦ λαοῦ εἷς εἴτε καὶ τῶν ὑψηλοτέρων τούτων τῶν ἑβδομήκοντα πρεσβυτέρων τυγχάνων, τὴν φυσικὴν θεωρίαν δίκην λαχάνων τρέφεται.

ΕΡΩΤΗΣΙΣ 113

Ἐκ τοῦ αὐτοῦ· «λέγω μὲν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατ' ἀρχὰς ἀπατηθεὶς ὁ ἄνθρωπος καὶ ἐν παραβάσει γενόμενος παρεσυνεβλήθη τοῖς κτήνεσι καὶ κατεδικάσθη κατὰ τὸν αὐτῶν τρόπον καὶ γεννᾶσθαι καὶ ἀποθνήσκειν, ὁ δὲ Κύριος τὸ ἴδιον πλάσμα εἰς τέλος ἀπολέσθαι μὴ ἀνασχόμενος κατὰ μὲν διαφόρους καιροὺς τὴν αὐτοῦ διεπραγματεύετο σωτηρίαν, ἐν δὲ τῷ Ἀβραὰμ ἐκδηλότερον ἐποιεῖτο τὴν μέλλουσαν ἔσεσθαι διὰ τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας σωτηρίαν, ὅθεν μετὰ πάσας τὰς πρὸς αὐτὸν ἐπαγγελίας δίδωσιν αὐτῷ τὴν περιτομήν, ἥτις ἐδήλου τὴν περιαίρεσιν τοῦ παθητικοῦ τῆς ψυχῆς μέρους, ἐπεὶ οὖν πάντες οἱ ἅγιοι περιέτεμον μὲν τὸ ἐμπαθὲς τῆς ψυχῆς μέρος, οὐ μὴν εἰς τὸ παντελὲς περιεῖλαν –ὑπέκειντο γὰρ τῇ καταδίκῃ τῆς φύσεως, γεννηθέντες ἐκ συνουσίας–, αὐτὸς ἐλθὼν ὁ Κύριος ὁ καὶ Δεσπότης τῆς φύσεως, ὁ καὶ δοὺς τῷ Ἀβραὰμ τὴν περιτομήν, διάκονος ταύτης καὶ πληρωτὴς ἀληθῶς γέγονε, τὴν παντελῆ τῆς ἐμπαθοῦς γεννήσεως περιαίρεσιν

63. Ἐξ. 20,21. 64. Ἐξ. 24,1-2.
65. Ρωμ. 15,8.

ἀλλὰ προστάζει νὰ τρώει χορταρικὰ ἐκεῖνον ποὺ εἶναι ἄρρωστος ψυχικά, δηλαδὴ τροφὴ πρόχειρη καὶ λιτὴ κι εὐκολοχώνευτη καὶ ποὺ δὲν παχαίνει τὸ σῶμα. Κι αὐτὸ βέβαια εἶναι τὸ πρόχειρο νόημα· θεωρητικότερα τώρα, εἶναι ἄρρωστος καὶ «τρώει χορταρικὰ» ἐκεῖνος ποὺ ἀδυνατεῖ νὰ ἀνεβεῖ στὸ ὕψος τῆς γνώσης καὶ κατ' ἀναλογία μὲ τὸ Μωυσῆ νὰ πλησιάσει στὸ γνόφο[63] ὅπου εἶναι ὁ Θεός, ἀλλὰ κι ἂν ἀκόμα τυχαίνει νὰ εἶναι εἴτε κάποιος ἀπὸ τὸ λαὸ εἴτε κάποιος ἀπὸ τοὺς ὑψηλότερους ἀπὸ αὐτοὺς τοὺς ἑβδομήντα πρεσβυτέρους[64], τρέφεται μὲ τὴ φυσικὴ θεωρία σὰ νὰ εἶναι χορταρικά.

ΕΡΩΤΗΣΗ 113

Ἀπὸ τὸν ἴδιο· «λέγω ὅτι ὁ Χριστὸς ἔγινε ὑπηρέτης τῆς περιτομῆς γιὰ χάρη τῆς ἀλήθειας»[65].

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ κατ' ἀρχὴν ἀπατήθηκε ὁ ἄνθρωπος κι ὅταν βρέθηκε στὴν παράβαση ἀναμίχθηκε μὲ τὰ ζῶα καὶ καταδικάστηκε στὴν ἴδια μοίρα μ' αὐτὰ νὰ γεννιέται καὶ νὰ πεθαίνει, ὁ Κύριος ὅμως ἐπειδὴ δὲν ἀνεχόταν νὰ χαθεῖ ὁριστικὰ τὸ δικό του πλάσμα, διαπραγματευόταν κατὰ διάφορους καιροὺς τὴ σωτηρία του. Στὸν Ἀβραὰμ ἔκανε σαφέστερη τὴν σωτηρία ποὺ ἔμελλε νὰ πραγματοποιηθεῖ μὲ τὴν ἔνσαρκη ἐπιδημία του στὴ γῆ[66], γι' αὐτὸ ἔπειτα ἀπὸ ὅλες τὶς ὑποσχέσεις ποὺ τοῦ εἶχε δώσει τοῦ δίνει τὴν περιτομή[67], ποὺ σήμαινε τὴν περικοπὴ τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς. Ἐπειδὴ λοιπὸν ὅλοι οἱ ἅγιοι ἔκαμναν βέβαια περιτομὴ στὸ παθητικὸ μέρος τῆς ψυχῆς, δὲν τὸ ἀπέκοπταν ὅμως τελείως –γιατὶ βρίσκονταν κάτω ἀπὸ τὴν καταδίκη τῆς φύσης, ἔχοντας γεννηθεῖ ἀπὸ συνεύρεση– ἀφοῦ ἦρθε ὁ ἴδιος ὁ Κύριος καὶ Δεσπότης τῆς φύσης, αὐτὸς ποὺ εἶχε δώσει στὸν Ἀβραὰμ τὴν περιτομή, ἔγινε πραγματικὰ διάκονος κι ἐκπληρωτής της, ἐνεργώντας τὴν πλήρη ἀφαίρεση τῆς παθητικῆς γέννη-

66. Ψαλμ. 48,13. 67. Γεν. 13,10.

ποιησάμενος· ἄνευ γὰρ σπορᾶς συνελήφθη καὶ δίχα φθορᾶς ἐγεννήθη.

ΕΡΩΤΗΣΙΣ 114

Ἐκ τοῦ αὐτοῦ· «καὶ τοῦτο εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἤδη ὑμᾶς ἐξ ὕπνου ἐγερθῆναι».

ΑΠΟΚΡΙΣΙΣ

Καιρὸν λέγει τὸν τοῦ εὐαγγελικοῦ κηρύγματος καὶ ὅτι δεῖ πιστεύσαντας καὶ δικαιωθέντας πρὸς φυλακὴν τῆς ἐκ πίστεως καὶ χάριτος δικαιώσεως τῶν ἀρετῶν ἐκθύμως ἀντέχεσθαι καὶ κοιμωμένους διὰ τῆς ἀπραξίας τῶν ἐντολῶν καὶ πρὸς τὰ πνευματικὰ καὶ θεῖα τὸν νοῦν ἔχοντας ἀνενέργητον ἐξεγερθῆναι τῇ καρδίᾳ καὶ ἐγρήγορον ἔχειν τὸν νοῦν πρὸς τὰ οὐράνια καὶ νοητὰ κάλλη, πᾶσαν αἴσθησιν πρὸς τὰ αἰσθητὰ κατακοιμήσαντας, ἵνα ἐξῇ ἡμῖν, κατὰ τὸν Σολομῶντα, λέγειν «ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ».

ΕΡΩΤΗΣΙΣ 115

Ἐκ τοῦ αὐτοῦ· «εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν;».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ περὶ τῶν νεκρῶν σωμάτων λέγει –ταῦτα γάρ ἐστιν τὰ πίπτοντα καὶ ἀνιστάμενα–, βαπτιζόμεθα δὲ ὑπὲρ τῆς τούτων ἀναστάσεως –τὸ γὰρ βάπτισμα τύπον φέρει τῆς ταφῆς καὶ τῆς ἀναστάσεως· ἡ γὰρ κατάδυσις καὶ ἀνάδυσις τοῦτο δηλοῖ–, ὁ Ἀπόστολος τοὺς ἐνδυάζοντας περὶ τῆς ἀναστάσεως ἐπιστομίζων ἔφη· «τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν;». Ὁ γὰρ τὸν τύπον ἐνταῦθα τῆς ταφῆς καὶ τῆς ἀναστάσεως διὰ τοῦ βαπτίσματος

---

68. Ρωμ. 13,11. 69. Ἆσμα Ἀσμ. 5,2.

σῆς του· γιατὶ συνελήφθηκε χωρὶς σπορὰ καὶ γεννήθηκε δίχως φθορά..

ΕΡΩΤΗΣΗ 114

Ἀπὸ τὸν ἴδιο· «κι αὐτά, ἐπειδὴ γνωρίζετε τὸν καιρό, ὅτι δηλαδὴ εἶναι ὥρα νὰ σηκωθεῖτε ἀπὸ τὸν ὕπνο»[68].

ΑΠΟΚΡΙΣΗ

Ὡς καιρὸ χαρακτηρίζει τὸ εὐαγγελικὸ κήρυγμα κι ὅτι πρέπει μὲ ὅλη τὴν προθυμία νὰ ἐπιδιδόμαστε στὶς ἀρετές, ἀφοῦ πιστέψαμε καὶ δικαιωθήκαμε, γιὰ νὰ φυλάξομε τὴ δικαίωσή μας ποὺ λάβαμε ἀπὸ τὴ πίστη καὶ τὴ χάρη καὶ κοιμώμενοι μὲ τὴν ἀπραξία τῶν ἐντολῶν κι ἔχοντας ἀνενέργητο τὸ νοῦ πρὸς τὰ πνευματικὰ καὶ τὰ θεῖα νὰ ἐξεγερθοῦμε μὲ τὴν καρδιὰ ἔχοντας σ' ἐγρήγορση τὸ νοῦ πρὸς τὰ οὐράνια καὶ νοητὰ κάλλη, ἀφοῦ κατακοιμήσομε κάθε αἴσθηση τῶν αἰσθητῶν, γιὰ νὰ ἔχομε τὴν δυνατότητα νὰ λέμε μαζὶ μὲ τὸ Σολομῶντα «ἐγὼ κοιμᾶμαι καὶ ἡ καρδιά μου ξαγρυπνᾶ»[69].

ΕΡΩΤΗΣΗ 115

Ἀπὸ τὸν ἴδιο· «ἂν οἱ ἀβάπτιστοι νεκροὶ δὲν πρόκειται ποτὲ ν' ἀναστηθοῦν, γιατί βαπτίζονται ἄλλοι γιὰ ἐκείνους;»[70].

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ λόγος εἶναι γιὰ τὰ νεκρὰ σώματα –γιατὶ αὐτὰ εἶναι ποὺ πεθαίνουν κι ἀνασταίνονται– κι ἐπειδὴ βαπτιζόμαστε γιατὶ τὴ δική τους ἀνάσταση –γιατὶ τὸ βάπτισμα μᾶς δίνει τὸν τύπο τῆς ταφῆς καὶ τῆς ἀνάστασης, πράγμα ποὺ δηλώνει ἡ κατάδυση καὶ ἡ ἀνάδυση–, ὁ Ἀπόστολος ἀποστομώνοντας αὐτοὺς ποὺ ἀμφέβαλλαν γιὰ τὴν ἀνάσταση, εἶπε· «γιατί νὰ βαπτίζονται γιὰ χάρη τους;». Γιατὶ αὐτὸς ποὺ ἐπιτελεῖ ἐδῶ τὸν τύπο τῆς τα-

70. Α' Κορ. 15,29.

ἐπιτελῶν ἐκδέξεται καιροῖς ἰδίοις καὶ τὴν παντελῆ κατ' ἀλήθειαν ἔσεσθαι ἀνάστασιν.

ΕΡΩΤΗΣΙΣ 116

Τί σημαίνει ἡ ἐν ταῖς Πράξεσιν δειχθεῖσα τῷ Πέτρῳ ὀθόνη καὶ τὰ ἐν αὐτῇ ὑπάρχοντα θηρία καὶ ἑρπετὰ καὶ τετράποδα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ τὸ ὀφθὲν τῷ προφήτῃ Ἰεζεκιὴλ ὅτι «τὸ ἔργον αὐτῶν ἦν ὡς τροχὸς ἐν τροχῷ», δηλοῦται δὲ διὰ τούτων ὅ τε αἰσθητὸς καὶ νοητὸς κόσμος ἐν ἀλλήλοις ὑπάρχοντες –ὁ μὲν γὰρ νοητὸς κόσμος τοῖς τύποις ἐστὶν ἐν τῷ αἰσθητῷ, ὁ δὲ αἰσθητὸς κόσμος τῷ λόγῳ ἐστὶν ἐν τῷ νοητῷ– ἐδείκνυτο οὖν τῷ Ἀποστόλῳ πάντα τὰ τοῦ αἰσθητοῦ κόσμου· τὸ γὰρ «τέσσαρσιν ἀρχαῖς καθιέμενον» τὸν ἐκ τεσσάρων στοιχείων συγκείμενον κόσμον δηλοῖ, ἐν τῷ νοητῷ ὑπάρχοντα καθαρὸν κατὰ τὸν ἐν αὐτοῖς ἐνυπάρχοντα λόγον. Ἤκουεν δὲ «ἀναστὰς θῦσον καὶ φάγε», τουτέστι 'τῷ νῷ διανάσθητι ἐκ τῶν κατ' αἴσθησιν καὶ «θῦσον καὶ φάγε», τῇ τοῦ λόγου διαιρέσει τὴν αἴσθησιν διελὼν καὶ πνευματικῶς ταῦτα ἀναλαμβάνων οἰκείωσαι'. Ἢ καὶ τὴν Ἐκκλησίαν δηλοῖ τέσσαρσιν ἀρχαῖς τῶν εὐαγγελίων στηριζομένην ἢ καὶ ταῖς τέσσαρσιν γενικαῖς ἀρεταῖς. Τὰ δὲ θηρία καὶ ἑρπετὰ τὰ διάφορα τῶν ἀνθρώπων ἤθη δηλοῦσι τὰ ἐκ τῶν ἐθνῶν μέλλοντα τῇ πίστει τοῦ Χριστοῦ προσχωρεῖν. Τὸ δὲ «θῦσον καὶ φάγε» δηλοῖ ὅτι 'πρῶτον τῷ λόγῳ τῆς διδασκαλίας ἀπόκτεινον τὴν ἐν αὐτοῖς κακίαν καὶ τότε φάγε τὴν σωτηρίαν αὐτῶν οἰκειούμενος, καθὼς καὶ ὁ Κύριος ταύτην ἑαυτῷ βρῶσιν ἐποιεῖτο'.

---

71. Πρ. 10,11-12. 72. Ἰεζ. 1,16.
73. Πράξ. 10,1

φῆς καὶ τῆς ἀνάστασης μὲ τὸ βάπτισμα θὰ δεχθεῖ στὸν κατάλληλο καιρὸ καὶ τὴν πλήρη κι ἀληθινὴ μελλοντικὴ ἀνάσταση.

ΕΡΩΤΗΣΗ 116

Τί σημαίνει ἡ ὀθόνη ποὺ ἀναφέρεται στὶς Πράξεις ὅτι ἔδειξε ὁ Θεὸς στὸν Πέτρο καθὼς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ τετράποδα ποὺ ὑπῆρχαν σ' αὐτή[71];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ σύμφωνα μὲ τὸ ὅραμα τοῦ προφήτη Ἰεζεκιὴλ «τὸ ἔργο τους ἦταν τροχὸς μέσα σὲ τροχὸ»[72] καὶ μὲ αὐτὸ δηλώνεται ὁ αἰσθητὸς καὶ ὁ νοητὸς κόσμος ποὺ ὑπάρχουν ὁ ἕνας μέσα στὸν ἄλλο –ὁ νοητὸς κόσμος δηλαδὴ ὑπάρχει μέσα στὸν αἰσθητὸ μὲ τὰ διάφορα σύμβολα καὶ ὁ αἰσθητὸς μέσα στὸ νοητὸ μὲ τὸ λόγο–, γι' αὐτὸ λοιπὸν παρουσιάστηκαν καὶ στὸν ἀπόστολο ὅλα τὰ ζῶα τοῦ αἰσθητοῦ κόσμου. Γιατὶ τὸ σεντόνι ποὺ κατέβαινε πιασμένο ἀπὸ τὶς τέσσερις ἄκρες[73] δηλώνει τὸν κόσμο ποὺ ἀποτελεῖται ἀπὸ τέσσερα στοιχεῖα, καὶ ποὺ ὑπάρχει μέσα στὸ νοητὸ καθαρὸς σύμφωνα μὲ τὸ λόγο ποὺ ἐνυπάρχει μέσα τους. Καὶ ἄκουσε τὸ λόγο «σήκω, θυσίασε καὶ φάγε»[74], δηλαδὴ 'ὑψώσου νοερὰ ἀπὸ τὰ αἰσθητά, θυσίασε καὶ φάγε, χωρίζοντας τὴν αἴσθηση μὲ τὴ διαίρεση τοῦ λόγου, καὶ οἰκειώσου αὐτὰ ἀποδεχόμενός τα πνευματικά'. Ἢ δηλώνει καὶ τὴν Ἐκκλησία ποὺ στηρίζεται πάνω στὶς τέσσερις βάσεις τῶν Εὐαγγελίων ἢ καὶ στὶς τέσσερις γενικὲς ἀρετές. Τὰ θηρία καὶ τὰ διάφορα ἑρπετὰ δηλώνουν τοὺς διάφορους χαρακτῆρες τῶν ἀνθρώπων ποὺ προέρχονται ἀπὸ τοὺς ἐθνικοὺς καὶ μέλλουν νὰ προσχωρήσουν στὴν πίστη τοῦ Χριστοῦ. Ἡ προτροπὴ «θυσίασε καὶ φάγε» σημαίνει 'Σκότωσε πρῶτα μὲ τὸ λόγο τῆς διδασκαλίας τὴν κακία ποὺ ὑπάρχει μέσα τους καὶ τότε φάγε, κάνοντας δική σου τὴ σωτηρία τους, ὅπως καὶ ὁ Κύριος τὴν ἔκανε τροφὴ δική του'.

---

74. Πράξ. 10,13.

ΕΡΩΤΗΣΙΣ 118

Τί δηλοῖ ἐν ταῖς αὐταῖς Πράξεσιν ὁ τῶν πέντε μυριάδων ἀριθμὸς τῶν καέντων βιβλίων;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ ἀριθμὸς τῆς μυριάδος τέλος ἐστὶ παντὸς ἀριθμοῦ, δηλοῦται διὰ τούτου ὅτι πάσης μαγείας καὶ περιεργίας τέλος ἄλλο οὐκ ἔστιν, εἰ μὴ ἡ τῶν αἰσθητῶν πλάνη, ἣν οἱ διαγινώσκοντες τῷ πυρὶ τῆς ἀποστολικῆς διδασκαλίας κατακαίουσιν.

ΕΡΩΤΗΣΙΣ 119

Τίς ἡ αἰτία τοῦ ἐκπνεῦσαι τὸν Κύριον ἐν τῷ σταυρῷ πρὸ τῶν λῃστῶν καὶ τί δηλοῦσιν οἱ λῃσταὶ καὶ αἱ κλάσεις τῶν σκελῶν;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, Θεὸς ὢν φύσει, σάρκα ἀναλαβὼν τὴν ἡμετέραν κατὰ ἀλήθειαν γέγονε μόνος ἄνθρωπος, μόνος τὸν τοῦ Θεοῦ σκοπὸν ἐν ἑαυτῷ φυλάξας, ὅνπερ εἶπε, «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν», καὶ καθάπερ ὁ πρῶτος ἄνθρωπος ταῖς θείαις χερσὶ διεπλάσθη, οὕτω καὶ τὸν ὑπὲρ αὐτοῦ θάνατον ἀποθνήσκων ὁ Κύριος μόνος καὶ πρῶτος ταῖς πατρικαῖς παλάμαις τὴν αὐτοῦ ψυχὴν ἐναπέθετο. Καὶ ὥσπερ ἦν καὶ ἐγένετο μονογενὴς καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, οὕτω καὶ τὸν ἀναιρέτην τοῦ θανάτου θάνατον μόνος καὶ πρῶτος ὑπομεῖναι κατεδέξατο, ἵνα γένηται καὶ «πρωτότοκος ἐκ νεκρῶν καὶ ἐν πᾶσιν αὐτὸς πρωτεύων».

Οἱ δὲ λῃσταὶ λαμβάνονται ἐπὶ τῆς ἡμετέρας φύσεως διαι-

---

75. Πράξ. 19,19. 76. Ἰω. 19,33· 19,52. Ματθ. 27,38. Μάρκ. 15,27.

ΕΡΩΤΗΣΗ 117

Τί δηλώνει ὁ ἀναφερόμενος μέσα στὶς Πράξεις ἀριθμὸς τῶν πέντε μυριάδων γιὰ τὰ βιβλία ποὺ κάηκαν[75];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ ἀριθμὸς τῆς μυριάδας εἶναι τέλος κάθε ἀριθμοῦ, μ' αὐτὸ δηλώνεται ὅτι τὸ ἀποκορύφωμα κάθε μαγείας καὶ μικρολογίας δὲν εἶναι ἄλλο ἀπὸ τὴν ἀπάτη τῶν αἰσθητῶν, τὴν ὁποία ὅσοι τὴ διαπιστώνουν τὴν κατακαίουν μὲ τὴ φωτιὰ τῆς ἀποστολικῆς διδασκαλίας.

ΕΡΩΤΗΣΗ 118

Ποιός εἶναι ὁ λόγος ποὺ ὁ Κύριος ἐξέπνευσε πάνω στὸ σταυρὸ πρὶν ἀπὸ τοὺς ληστὲς καὶ τί σημαίνουν οἱ ληστὲς καὶ τὸ τσάκισμα τῶν ποδιῶν τους[76];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ Κύριός μας Ἰησοῦς Χριστός, ποὺ εἶναι Θεὸς κατὰ τὴ φύση, ἀφοῦ ἀνέλαβε τὴ δική μας σάρκα ἔγινε ἀληθινὰ ὁ μόνος ἄνθρωπος, ὁ μόνος ποὺ φύλαξε μέσα του τὸ θεῖο σκοπό, ποὺ διατυπώθηκε μὲ τὸ «ἂς κάνομε τὸν ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα καὶ τὴν ὁμοιότητα»[77], κι ὅπως ὁ πρῶτος ἄνθρωπος διαπλάστηκε ἀπὸ τὰ θεῖα χέρια, ἔτσι πεθαίνοντας ὁ Κύριος τὸ θάνατό του γιὰ χάρη ἐκείνου, μόνος καὶ πρῶτος ἀπέθεσε τὴν ψυχή του στὰ πατρικὰ χέρια. Κι ὅπως ἦταν κι ἔγινε μονογενὴς καὶ πρωτότοκος ἀνάμεσα σὲ πολλοὺς ἀδελφούς[78], ἔτσι μόνος καὶ πρῶτος δέχτηκε νὰ ὑποφέρει τὸ θάνατο τὸν ἀναιρέτη τοῦ θανάτου, γιὰ νὰ γίνει καὶ «πρωτότοκος ἀπὸ τοὺς νεκροὺς» καὶ «πρῶτος ἀνάμεσα σὲ ὅλους»[79].

Οἱ ληστὲς χρησιμοποιοῦνται γιὰ τὴ δική μας φύση ποὺ

---

77. Γεν. 1,26. 78. Ρωμ. 8,29.
79. Κολ. 1,18.

ρουμένης εἰς δικαίους καὶ ἁμαρτωλούς. Ἡ δὲ τῶν σκελῶν κλάσις δηλοῖ ὅτι πάντας μὲν ἀνθρώπους ἀποθνήσκοντας οὐκ ἄνευ πλημμελημάτων καὶ συντριβῆς ἁμαρτίας εὑρίσκεσθε, μόνος δὲ ὁ Κύριος σῶος καὶ ἄνευ τῆς οἱασοῦν ἁμαρτίας ἀπέθανεν. Εἰς δὲ τὸν καθένα λαμβάνονται οἱ λῃσταὶ πολλαχῶς· λαμβάνονται γὰρ καὶ ἐπὶ σώματος καὶ ψυχῆς, καὶ ἐπὶ τοῦ σαρκικοῦ καὶ πνευματικοῦ φρονήματος, ἀλλὰ καὶ ἐπὶ θυμοῦ καὶ ἐπιθυμίας, καὶ ἐπὶ τοῦ αἰσθητοῦ κόσμου καὶ τοῦ νοητοῦ, καὶ ἐπὶ τοῦ γραπτοῦ νόμου καὶ τοῦ τῆς χάριτος. Ἐπειδὴ δὲ καὶ ἁμαρτανόντων ἡμῶν καὶ δικαιοπραγούντων ἀεὶ ὁ λόγος συγκαταβαίνων μέσος ἡμῶν σταυροῦται, ἡνίκα οὖν διὰ τῆς ἡμῶν κακοπραγίας καὶ ἀγνοίας τὸν λόγον ἀνενέργητον καὶ κλίνοντα κάτω ποιήσωμεν, εὐθέως οἱ δαίμονες ἐπιπηδῶντες τὰς πορευτικὰς καὶ διαβατικὰς τῆς ψυχῆς δυνάμεις ἡμῶν κατακλάννουσιν.

ΕΡΩΤΗΣΙΣ 119

Τίς ἡ διαφωνία τῶν ἐν ταῖς Πράξεσιν ἀναγεγραμμένων ἐν τῇ κατὰ τὸν Παῦλον ὀπτασίᾳ; Ἐν δὲ γὰρ τῇ κατὰ τὴν ὁδὸν ὀπτασίᾳ ἱστορεῖ ὁ Λουκᾶς τοὺς μετ' αὐτοῦ ὄντας τῆς φωνῆς μὲν ἀκοῦσαι, μηδένα δὲ θεωρῆσαι, ἐν δὲ τῷ διηγεῖσθαι τὸν Παῦλον ἐπὶ τῶν ἀναβαθμῶν τὴν αὐτὴν ὀπτασίαν λέγει τοὺς μετ' αὐτοῦ ὄντας τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι.

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὴν ἱστορίαν ὁ Χρυσόστομος πάνυ ἐπιστημόνως ἑρμηνεύσας τὸν τρόπον ἔφη ὅτι ἡ πρώτη ἐξήγησις ἡ λέγουσα «τῆς φωνῆς ἤκουον οἱ συνόντες», τῆς Παύλου φωνῆς λέγει ἀκούειν αὐτοὺς τῆς λεγούσης, «τίς εἶ, Κύριε;», οὐδένα δὲ ἔβλεπον ἄνθρωπον εἰ μὴ Παῦλον. Ἡ δὲ δευτέρα ἐξήγησις ἡ λέγου-

80. Ρωμ. 8,6. 81. Πράξ. 9,7. 82. Πράξ. 21,40· 22,9.
83. Ἰω. Χρυσοστόμου, Ὁμιλία 47 Εἰς τὰς Πράξεις τῶν Ἀποστόλων

διαιρεῖται σὲ δίκαιους καὶ ἁμαρτωλούς, ἐνῶ ἡ συντριβὴ τῶν ποδιῶν δηλώνει ὅτι ὅλοι οἱ ἄνθρωποι ποὺ πεθαίνουν εὑρίσκονται νὰ εἶναι ὄχι δίχως πλημμελήματα καὶ συντριβὴ τῆς ἁμαρτίας καὶ μόνος ὁ Κύριος πέθανε ἀκέραιος χωρὶς ὁποιαδήποτε ἁμαρτία. Οἱ ληστὲς ἀντιστοιχοῦν ἀπὸ πολλὲς ἀπόψεις στὸν καθένα μας, καὶ σωματικὰ καὶ ψυχικὰ κι ἀπὸ τὴν ἄποψη τοῦ σαρκικοῦ καὶ τοῦ πνευματικοῦ φρονήματος[80], ἀλλὰ κι ἀπὸ τὴν ἄποψη τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας καὶ στὸν αἰσθητὸ καὶ νοητὸ κόσμο καὶ στὸ γραπτὸ νόμο καὶ στὸ νόμο τῆς χάριτος. Κι ἐπειδὴ κι ὅταν ἁμαρτάνομε κι ὅταν πράττομε ὀρθὰ πάντοτε ὁ Λόγος συγκαταβαίνοντας σταυρώνεται ἀνάμεσά μας, ὅταν λοιπὸν μὲ τὴ δική μας κακοπραξία κι ἄγνοια κάνομε τὸ λόγο ν' ἀδρανεῖ καὶ νὰ κλίνει πρὸς τὰ κάτω, ἀμέσως πηδώντας ἐπάνω μας οἱ δαίμονες κατασυντρίβουν τὶς δυνάμεις τῆς ψυχῆς μας ποὺ τὴ βοηθοῦν νὰ πορεύεται καὶ νὰ μεταβαίνει.

ΕΡΩΤΗΣΗ 119

Ποιά ἡ διαφωνία τῶν ὅσων γράφονται στὶς Πράξεις σχετικὰ μὲ τὴν ὀπτασία τοῦ Παύλου; Γιατί στὴν ὀπτασία καθ' ὁδὸν ὁ Λουκᾶς διηγεῖται ὅτι ὅσοι ἦταν μαζί του ἄκουσαν τὴ φωνὴ ἀλλὰ δὲν εἶδαν κανένα[81]. Ὁ Παῦλος πάλι στὴ διήγησή του γιὰ τοὺς ἀναβαθμοὺς ἀναφέρει τὴν ἴδια ὀπτασία καὶ λέει ὅτι αὐτοὶ ποὺ ἦταν μαζί του εἶχαν δεῖ τὸ φῶς ἀλλὰ δὲν ἄκουσαν τὴ φωνὴ ἐκείνου ποὺ μιλοῦσε[82].

ΑΠΟΚΡΙΣΗ

Σύμφωνα μὲ τὴ διήγηση ὁ Χρυσόστομος[83] ἑρμηνεύοντας μὲ πολλὴ γνώση τὸ σημεῖο αὐτὸ εἶπε ὅτι ἡ πρώτη ἐξήγηση ποὺ λέει ὅτι «ὅσοι ἦταν μαζί του ἄκουαν τὴ φωνή», λέει ὅτι ἄκουαν τὴ φωνὴ τοῦ Παύλου ποὺ ἔλεγε «ποιός εἶσαι, Κύριε;»[84] καὶ δὲν ἔβλεπαν κανένα ἄνθρωπο παρὰ τὸν Παῦλο. Ἡ δεύτερη ἐξήγηση

(PG 60,328–329). 84. Πράξ. 8,5· 22,8.

σα τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι, φωνῆς λέγει αὐτοὺς μὴ ἀκηκοέναι τῆς τοῦ Κυρίου πρὸς τὸν Παῦλον γεγενημένης, μόνον δὲ τὸ φῶς τεθεᾶσθαι. Κατὰ δὲ τὴν θεωρίαν οὕτως ἐκληπτέον τὸν τόπον· ὁ γνωστικὸς νοῦς κατὰ τὸν Παῦλον ἔχει συνόντας αὐτῷ τοὺς λογισμούς· κατὰ οὖν τὴν πρώτην τοῦ λόγου πρὸς τὸν νοῦν γινομένην ἐμφάνειαν οἱ λογισμοὶ ἀπηχήματα μόνον καὶ ἰνδάλματα τῆς γνώσεως ἀκούουσιν, οὐδὲν δὲ τετρανωμένον θεωροῦσιν· προκόπτοντος δὲ τοῦ νοῦ καὶ ἐπὶ τῶν ἀναβαθμῶν γινομένου, τουτέστιν ἐπὶ τῆς ὑψηλῆς θεωρίας, οὐκέτι οἱ λογισμοὶ ἰνδαλμάτων, ἀλλὰ τοῦ φωτὸς τῆς γνώσεως τέλειον ἐν μετουσίᾳ γίνονται.

ΕΡΩΤΗΣΙΣ 120

Πῶς ὀφείλει εὐσεβῶς νοηθῆναι ἡ ἐν τῇ Γραφῇ κειμένη τοῦ Θεοῦ μεταμέλεια;

ΑΠΟΚΡΙΣΙΣ

Φασὶν οἱ τὰ θεῖα εὐσεβῶς φρονεῖν διεγνωκότες ἀδύνατον εἶναι τὸν Θεόν, φύσει ὄντα δημιουργόν, καὶ μὴ προνοητὴν εἶναι φύσει τῶν δεδημιουργημένων. Εἰ δὲ τοῦτο, ἀνάγκη πᾶσά ἐστι, φυσικῶς προνοουμένου τοῦ Θεοῦ τῆς ἀνθρωπότητος, πολλοὺς εἶναι παρ' αὐτῷ τοὺς περὶ τὴν προνοουμένην φύσιν τῆς σωτηρίας τρόπους. Ἐπειδὴ γὰρ ἀγχίστροφον ζῷον ὁ ἄνθρωπος, εὐχερῶς τοῖς καιροῖς καὶ τοῖς πράγμασιν συμμεταβαλλόμενον, ἀνάγκη πάντως καὶ τὴν θείαν πρόνοιαν, μίαν καὶ τὴν αὐτὴν οὖσαν, συμμεταβάλλεσθαι ταῖς ἡμῶν διαθέσεσιν, διὰ τῶν προσφυῶς ἁρμοζόντων ταῖς ἐν τῇ φύσει ἀναφυομέναις κακίαις τρόπον ἐφευρίσκουσαν. Καὶ ὥσπερ ἐπὶ τῆς ἰατρικῆς πολλαὶ αἱ ταύτης ὑποκείμεναι νόσοι, καὶ ἀνάγκη τὸν ἐπιστήμονα ἰατρόν,

85. Ὠσ. 11,8.

ποὺ λέει ὅτι ἔβλεπαν τὸ φῶς, δὲν ἄκουσαν ὅμως τὴ φωνὴ ἐκείνου ποὺ μιλοῦσε, λέει ὅτι δὲν ἄκουαν τὰ λόγια τοῦ Κυρίου πρὸς τὸν Παῦλο ἀλλὰ ἔβλεπαν μόνο τὸ φῶς. Ἀπὸ τὴ θεωρητικὴ ὅμως ἄποψη πρέπει νὰ δοῦμε τὸ πράγμα ὡς ἑξῆς· ὁ γνωστικὸς νοῦς, κατὰ τὸν Παῦλο, ἔχει συνοδεία του τοὺς λογισμούς. Κατὰ τὴν πρώτη λοιπὸν φανέρωση τοῦ λόγου στὸ νοῦ οἱ λογισμοὶ ἀντιλαμβάνονται μόνο ἀπηχήματα καὶ εἴδωλα τῆς γνώσης, δὲ βλέπουν ὅμως τίποτε ὁλοκάθαρα. Μὲ τὴν προκοπὴ ὅμως τοῦ νοῦ καὶ τὴν προχώρησή του στοὺς ἀναβαθμούς, δηλαδὴ στὴν ὑψηλὴ θεωρία, οἱ λογισμοὶ δὲν εἶναι πιὰ λογισμοὶ εἰδώλων, ἀλλὰ μετέχουν τέλεια τὸ φῶς τῆς γνώσης.

ΕΡΩΤΗΣΗ 120

Πῶς πρέπει νὰ νοήσομε μ' εὐσέβεια τὴ μεταμέλεια τοῦ Θεοῦ ποὺ ἀναφέρεται στὴ Γραφή[85];

ΑΠΟΚΡΙΣΗ

Ὑποστηρίζουν, ὅσοι συναισθάνονται ὅτι ἑρμηνεύουν μ' εὐσέβεια τὰ θεῖα, ὅτι εἶναι ἀδύνατο ὁ Θεός, ποὺ ἀπὸ τὴ φύση του εἶναι δημιουργός, νὰ μὴν εἶναι ἐπίσης ἀπὸ τὴ φύση του προνοητικὸς γιὰ τὰ δημιουργήματά του. Ἂν συμβαίνει αὐτό, εἶναι ἀπόλυτη ἀνάγκη, ἀφοῦ ὁ Θεὸς προνοεῖ ἀπὸ τὴ φύση του γιὰ τὴν ἀνθρωπότητα, νὰ διαθέτει πολλοὺς τρόπους σωτηρίας γιὰ τὴ φύση μας γιὰ τὴν ὁποία προνοεῖ. Ἐπειδὴ δηλαδὴ ὁ ἄνθρωπος εἶναι ὕπαρξη εὐμετάβολη, ποὺ συμμεταβάλλεται εὔκολα μαζὶ μὲ τοὺς καιροὺς καὶ τὶς περιστάσεις[86], εἶναι ὁπωσδήποτε ἀνάγκη καὶ ἡ θεία πρόνοια, ἂν καὶ εἶναι μία καὶ ἡ αὐτή, νὰ μεταβάλλεται μαζὶ μὲ τὶς διαθέσεις μας, ἐφευρίσκοντας τρόπο μὲ ὅσα εἶναι προσφυὴ καὶ κατάλληλα γιὰ τὰ μειονεκτήματα ποὺ παρουσιάζει ἡ φύση μας. Καὶ ὅπως ἀντικείμενο τῆς ἰατρικῆς εἶναι πολλὲς ἀσθένειες καὶ εἶναι ἀνάγκη ὁ ἐπιστήμονας γιατρός, ἀφοῦ τὸ ἀντικείμενο τῆς ἐπιστήμης του σῶμα πέφτει σὲ

86. Μαξίμου Ὁμολογητοῦ, *Διονυσίου καὶ Γρηγορίου Πρὸς Θωμᾶν τὸν ἡγιασμένον Περὶ διαφόρων ἀποριῶν*, PG 91,1193A.

τοῦ ὑποκειμένου σώματος εἰς πολλὰ καὶ διάφορα πάθη μεταπίπτοντος, καὶ αὐτὸν εἰς κρείττονας τρόπους ἀπὸ τῶν ἡττόνων μεταβαίνειν, οὕτω καὶ ἐπὶ Θεοῦ ἡ ἀπὸ τοιοῦδε τρόπου ἐπὶ ἕτερον τρόπον τῆς προνοίας μετάβασις μεταμέλεια τοῦ Θεοῦ τῇ Γραφῇ σύνηθες ὀνομάζεσθαι.

ΕΡΩΤΗΣΙΣ 121

Τί δηλοῖ τὸ τοῦ ρδ' ψαλμοῦ ρησίδιον τὸ «μετέστρεψε τὴν καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Θεὸς οὐ μόνον γινώσκει τὰ ὄντα πρὸ τῶν αἰώνων ὡς ἐν αὐτῷ ὄντα αὐτῇ τῇ ἀληθείᾳ, κἂν εἰ αὐτὰ τὰ πάντα, τά τε ὄντα καὶ τὰ ἐσόμενα, οὐχ ἅμα τῷ γνωσθῆναι καὶ τὸ καθ' αὐτὰ εἶναι ἔλαβον, ἀλλ' ἕκαστα τῷ ἐπιτηδείῳ καιρῷ –οὐ γὰρ οἷόν τε τῶν ἅμα εἶναι τὸ ἄπειρον καὶ τὰ πεπερασμένα–, ἀλλὰ καὶ τὸ τέλος τῆς ἑκάστου κατὰ τὴν κίνησιν διαθέσεως· οὐ γὰρ ἔστιν χρόνος ἢ αἰὼν ὁ ταύτην μεταξὺ Θεοῦ διακόπτων· οὐδὲν γὰρ ἐν αὐτῷ πρόσφατον, ἀλλὰ τὰ μέλλοντα ὡς παρόντα εἰσίν· οἱ δὲ χρόνοι καὶ οἱ αἰῶνες οὐ τῷ Θεῷ, ἀλλ' ἡμῖν εἰσιν δεικτικοὶ τῶν ἐν τῷ Θεῷ ὄντων. Μηδὲ γὰρ ὅτε τι ὁρῶμεν τὸν Θεὸν ποιοῦντα, τότε καὶ τῆς περὶ αὐτὸ γνώσεως ἦρχθαι νομίσωμεν.

Εἰ δὲ τοῦτο ἀληθές, ὥσπερ οὖν καὶ ἔστιν, ᾔδει πάντως ὡς παροῦσαν τὴν μέλλουσαν οὐ μόνον ἔσεσθαι τῶν Αἰγυπτίων πονηρίαν καὶ πρὸς πᾶσαν ἀγαθῶν ἐργασίαν ἀπειθῆ προαίρεσιν καὶ ἐπιτήδειον πρὸς ἐκδίκησιν τῶν ἐκ τῆς κατὰ τὴν Αἴγυπτον συνηθείας πεπραγμένων τοῖς Ἰσραηλίταις κακῶν διάθεσιν,

---

87. Ψαλμ. 104,25.
88. Μαξίμου Ὁμολογητοῦ, *ὅ. π.*, PG 91,1081Α.

πολλὰ καὶ διάφορα πάθη, νὰ περνᾶ καὶ ὁ ἴδιος ἀπὸ τοὺς ἀνεπαρκεῖς τρόπους στοὺς ἀποτελεσματικότερους, ἔτσι στὴν περίπτωση τοῦ Θεοῦ ἡ μετάβαση τῆς πρόνοιάς του ἀπὸ τὸν ἕνα τρόπο στὸν ἄλλο συνηθίζεται στὴ Γραφὴ νὰ ὀνομάζεται μεταμέλεια τοῦ Θεοῦ.

ΕΡΩΤΗΣΗ 121

Τί θέλει νὰ πεῖ ἡ μικρὴ φράση τοῦ 104ου ψαλμοῦ, «ἄλλαξε τὴν καρδιά του καὶ τὴν ἔκανε νὰ μισήσει τὸ λαό του»[87];

ΑΠΟΚΡΙΣΗ

Ὁ Θεὸς δὲ γνωρίζει μόνο τὰ ὄντα πρὶν ἀπὸ τοὺς αἰῶνες, ἀφοῦ κατὰ τὴν πραγματικὴ ἀλήθεια εἶναι μέσα του, ἀκόμα κι ἂν αὐτὰ ὅλα, αὐτὰ ποὺ ὑπάρχουν κι αὐτὰ ποὺ θὰ ὑπάρξουν, δὲν ἔλαβαν ταυτόχρονα μὲ τὴ γνώση τους ἀπὸ τὸ Θεὸ καὶ τὴν ἀτομικὴ ὕπαρξή τους ἀλλὰ τὸ καθένα τους στὸν κατάλληλο χρόνο[88] –γιατὶ δὲν εἶναι δυνατὸ νὰ εἶναι ταυτόχρονα τὸ ἄπειρο καὶ τὰ πεπερασμένα[89]– καθὼς καὶ τὸ τέλος τῆς διάθεσης τοῦ καθενὸς κατὰ τὴν κίνηση· γιατὶ δὲν ὑπάρχει χρόνος ἢ αἰώνας ποὺ νὰ τὴ διακόψει σὲ σχέση μὲ τὸ Θεό, ἀφοῦ τίποτε δὲν εἶναι μέσα σ' αὐτὸν πρόσφατο, ἀλλὰ τὰ μελλοντικὰ ὑπάρχουν μέσα του ὡς παρόντα. Καὶ οἱ χρόνοι καὶ οἱ αἰῶνες δὲν εἶναι δεικτικοὶ γιὰ τὸ Θεὸ τῶν ὄντων ποὺ βρίσκονται μέσα στὸ Θεό, ἀλλὰ γιὰ ἐμᾶς. Κι οὔτε ὅταν βλέπομε τὸ Θεὸ νὰ κάνει κάτι, νὰ νομίσομε ὅτι τότε ἄρχισε καὶ ἡ γνώση γι' αὐτό[90].

Ἂν αὐτὸ εἶναι ἀληθινό, ὅπως καὶ εἶναι, γνώριζε ὁπωσδήποτε ὡς παροῦσα ὄχι μόνο τὴ μέλλουσα νὰ γίνει πονηρία τῶν Αἰγυπτίων καὶ γιὰ κάθε ἐργασία τῶν ἀγαθῶν τὴ θέληση ἀπείθειας καὶ ἐπιτήδεια διάθεση γιὰ ἐκδίκηση ὅσων κατὰ τὴ συνήθεια τῶν Αἰγυπτίων εἶχαν πράξει οἱ Ἰσραηλίτες, ἀλλὰ καὶ τὴ

89. Μαξίμου Ὁμολογητοῦ, ὅ. π., PG 91,1081B.
90. Μαξίμου Ὁμολογητοῦ, ὅ. π., PG 91,1328B.

ἀλλὰ καὶ τὴν τῶν Ἰσραηλιτῶν εὐπειθῶς προσχωρεῖν μέλλουσαν τῷ λόγῳ τῆς εὐσεβείας διὰ τῆς πίστεως. Ἐπειδὴ οὖν τὰς τοιαύτας κεκρυμμένας διαθέσεις καὶ παρ' αὐτοῦ τὸ πρὶν κατησχημένας συνεχώρησεν εἰς ἐνέργειαν ἐλθεῖν, κατὰ τοῦτο λέγεται μεταστρέψαι· ὥσπερ γὰρ ἐπιτόνιν ἠσφαλισμένον καὶ βίᾳ ὁρμὴν ὕδατος κατέχον, εἰ τύχοι τινὰ στρέψαι τοῦτο, εὐθὺς τὴν κεκρυμμένην ὁρμὴν τὸ ὕδωρ ἐκδίδωσιν, οὕτω καὶ αἱ πονηραὶ καὶ αἱ ἀγαθαὶ διαθέσεις συγχωρούσης τῆς προνοίας διὰ τῶν μέσων πραγμάτων εἰς τὸ ἐμφανὲς ἄγονται.

ΕΡΩΤΗΣΙΣ 122

Τίνων τύποι ἦσαν ἐν τῇ Ἐξόδῳ ὅ τε Μωυσῆς καὶ ὁ Φαραώ, καὶ τίς ἡ Αἴγυπτος καὶ πῶς αἱ πληγαὶ τοῖς μὲν ἦσαν, τοῖς δὲ οὐκ ἦσαν; Καὶ τίς ὁ ὀλοθρευτὴς καὶ τίς ὁ τῶν πρωτοτόκων θάνατος καὶ διατί ἡ Γραφὴ πῇ μὲν λέγει ἀναγαγεῖν ἐξ Αἰγύπτου, πῇ δὲ ἐξαγαγεῖν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Μωυσῆς τύπος ἐστὶ τῶν εὐσεβῶν καὶ τοῦ κατ' αὐτῶν τέλους, ὁ δὲ Φαραὼ τῶν ἀσεβῶν καὶ τοῦ κατ' αὐτῶν τέλους· καθ' ὅσον γὰρ ἦν ὁ Μωυσῆς ὑπήκοος καὶ ἁπλὸς πρὸς ἐκτύπωσιν τῶν θείων παραγγελμάτων, κατὰ τοσοῦτον ἦν ὁ Φαραὼ πρὸς τὰ ἐναντία διακείμενος. Αἴγυπτος δὲ κατὰ μίαν τῶν περὶ αὐτῆς ἐπιβολῶν 'σκοτασμὸς' ἑρμηνεύεται, λαμβάνεται δὲ εἰς τὸν αἰῶνα τοῦτον. Φασὶ δὲ τὴν Αἴγυπτον οἱ γηογραφεῖς πάσης τῆς γῆς χθαμαλωτέραν εἶναι· διὰ τοῦτο ἡ Γραφὴ οὐ μόνον «ἐξήγαγεν» ἀλλὰ καὶ «ἀνήγαγεν» λέγει, ἐξαγωγὴν δηλούσης τῶν ἀπὸ τῆς προσπαθείας τῆς σαρκὸς ἐπὶ τὸ πνεῦμα ἐρχομένων, ἀναγωγὴν δὲ τῶν ἀπὸ τῶν ὑλικῶν ἐπὶ τὰ νοητὰ ἀναφερομένων.

Αἰγύπτιοι δέ εἰσι πάντες οἱ φιλήδονοι καὶ φιλόκοσμοι, κἂν

91. Ἐξ. 5,12.
92. Ἰησοῦς Ναυῆ 24,17. Ἐξ. 3,8.

μελλοντικὴ διάθεση τῶν Ἰσραηλιτῶν νὰ προσχωρήσουν ὑπάκουα στὸ λόγο τῆς εὐσέβειας μέσω τῆς πίστης. Ἐπειδὴ λοιπὸν αὐτὲς τὶς κρυφὲς διαθέσεις, ποὺ ἀπὸ πρὶν ἐκεῖνος γνώριζε, ἐπέτρεψε νὰ ἐκδηλωθοῦν, ὡς πρὸς αὐτὸ λέγεται ὅτι ἄλλαξε. Ὅπως δηλαδὴ μία στρόφιγγα ἀσφαλισμένη ποὺ συγκρατεῖ ἰσχυρὰ τὴν ὁρμὴ τοῦ νεροῦ, ἂν τύχει νὰ τὴ στρέψει κάποιος, εὐθὺς ἀφήνει τὸ νερὸ νὰ ξεσπάσει ἡ κρυμμένη ὁρμή του, ἔτσι καὶ οἱ πονηρὲς καὶ οἱ ἀγαθὲς διαθέσεις, μὲ τὴν ἄδεια τῆς πρόνοιας ἐκδηλώνονται διαμέσου τῶν πραγμάτων.

ΕΡΩΤΗΣΗ 122

Τί συμβόλιζαν στὴν Ἔξοδο ὁ Μωυσῆς καὶ ὁ Φαραώ, τί ἦταν ἡ Αἴγυπτος καὶ πῶς οἱ πληγὲς χτυποῦσαν τοὺς Αἰγύπτιους, ἐνῶ γιὰ τοὺς ἄλλους δὲν ὑπῆρχαν; Ποιός εἶναι ἐπίσης ὁ ἐξολοθρευτής, ποιός ὁ θάνατος τῶν πρωτότοκων παιδιῶν[91] καὶ γιατί ἡ Γραφὴ λέει ἀλλοῦ ὅτι ἀνέβηκαν ἀπὸ τὴν Αἴγυπτο κι ἀλλοῦ ὅτι βγῆκαν;

ΑΠΟΚΡΙΣΗ

Ὁ Μωυσῆς εἶναι σύμβολο τῶν εὐσεβῶν καὶ τοῦ τέλους τους, ἐνῶ ὁ Φαραὼ τῶν ἀσεβῶν καὶ τοῦ δικοῦ τους πάλι τέλους. Ὅσο δηλαδὴ ὁ Μωυσῆς ἦταν ὑπάκουος καὶ μαλακὸς νὰ ἐκτυπωθοῦν σ' αὐτὸν τὰ θεῖα παραγγέλματα, ἄλλο τόσο ἦταν ἀντίθετος σ' αὐτὰ ὁ Φαραώ. Ἡ Αἴγυπτος κατὰ μία ἀπὸ τὶς ἑρμηνεῖες της σημαίνει 'σκοτασμὸς' καὶ λέγεται γιὰ τὸν αἰώνα τοῦτον. Οἱ γεωγράφοι λένε ὅτι ἡ Αἴγυπτος εἶναι ἡ χαμηλότερη ἀπὸ ὅλες τὶς χῶρες τῆς γῆς· καὶ γι' αὐτὸ λέει ἡ Γραφὴ ὄχι μόνο ἔβγαλε[92], ἀλλὰ καὶ ἀνέβασε[93] δηλώνοντας μὲ τὴν ἔξοδο αὐτοὺς ποὺ ἔρχονται πρὸς στὸ πνεῦμα ἀπὸ τὴν προσκόλληση στὴ σάρκα, ἐνῶ μὲ τὴν ἄνοδο αὐτοὺς ποὺ ἀνεβαίνουν ἀπὸ τὰ ὑλικὰ στὰ πνευματικά.

Αἰγύπτιοι εἶναι ὅλοι οἱ φιλήδονοι καὶ φίλοι τοῦ κόσμου,

---

93. Ἐξ. 12,51· Λευιτ. 11,45.

εὐγενεῖς ὦσι τῷ σώματι, Ἰσραηλῖται δὲ πάντες οἱ φιλόθεοι καὶ μισόκοσμοι. Τοῖς μὲν οὖν τὸ ὕδωρ αἷμά ἐστι, τοῖς δὲ ὕδωρ κατὰ φύσιν· ἐπειδὴ γὰρ τὸ ὕδωρ θρεπτικόν ἐστι καὶ ζωτικόν, δηλοῖ ὅτι, ὅστις τὴν ἀφορμὴν τῆς ζωῆς ταύτης πρὸς ἀδικίαν καὶ ἁρπαγὴν καὶ πλεονεξίαν ποιεῖται, φονεὺς ὑπάρχων τῶν ὑπ᾽ αὐτοῦ ἀδικουμένων, τὸ ὕδωρ αἷμα ἔχει· ὅστις δὲ τὴν ἀφορμὴν τῆς ζωῆς ἐκ δικαίων πόνων ἔχει, τούτῳ τὸ ὕδωρ, τῆς ζωῆς ὕδωρ ἐστίν.

Ἀποκτέννονται δὲ τὰ πρωτότοκα τῶν Αἰγυπτίων ἐπειδὴ οὐκ ἔχουσιν τὰς φλιὰς κεχρισμένας τοῦ αἵματος τοῦ ἀμνοῦ. Πρωτότοκα δέ εἰσι τὰ πρῶτα τοῦ νοῦ γεννήματα καὶ διανοήματα, φλιαὶ δὲ αἱ αἰσθήσεις, ὀλοθρευτὴς δὲ ὁ διάβολος, διὰ μέσου τῶν αἰσθήσεων δεσμεύων τὴν ψυχὴν πρὸς τὰ αἰσθητὰ καὶ πᾶν αὐτῆς θεῖον κίνημα ἀναιρῶν. Διατηροῦνται δὲ τὰ πρωτότοκα καὶ τῶν Ἰσραηλιτῶν τῇ χρίσει τοῦ αἵματος, τουτέστι τὰ θεῖα τοῦ νοῦ κινήματα τῇ νεκρώσει τῶν αἰσθήσεων.

ΕΡΩΤΗΣΙΣ 123

Τί ἐστιν τὸ ἐν τῷ οε᾽ ψαλμῷ εἰρημένον, ὅτι «ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ μὲν ἑορτὴ εὐφραινομένων ἐστίν, ἡ δὲ ἐξομολόγησις ἐξεταζομένων· καὶ τὸ μέν ἐστι λύπης, τὸ δὲ χαρᾶς. Τοῦτο οὖν λέγει, ὅτι ἐν τῇ κρίσει ἀντισηκούμενον τὸ παροδικὸν καὶ ἀτελὲς τοῦ ἀγαθοῦ ἐνθύμημα τῷ πονηρῷ καὶ ἀπηρτισμένῳ ἐνθυμήματι τὸ πλέον ἔχει· τὸ μὲν γὰρ ἐτάζεται, τὸ δὲ ἑορτῆς καὶ χαρᾶς γίνεται πρόξενον.

---

94. Ἐξ. 7,14–24.

ἔστω κι ἂν εἶναι στὸ σῶμα εὐγενεῖς, ἐνῶ Ἰσραηλίτες ὅλοι ὅσοι ἀγνοοῦν τὸ Θεὸ καὶ μισοῦν τὸν κόσμο. Γιὰ τοὺς Αἰγύπτιους τὸ νερὸ εἶναι αἷμα, ἐνῶ γιὰ τοὺς Ἰουδαίους νερὸ φυσικό. Ἐπειδὴ τὸ νερὸ δηλαδὴ εἶναι θρεπτικὸ καὶ ζωτικό, δηλώνει ὅτι ὅποιος ἔχει τὰ μέσα τῆς ζωῆς αὐτῆς γιὰ ἀδικία καὶ ἁρπαγὴ καὶ πλεονεξία, καὶ εἶναι ὁ φονιὰς ἐκείνων ποὺ ἀδικεῖ, αὐτὸς ἔχει τὸ νερὸ ὡς αἷμα· ὅποιος ὅμως ἔχει τὰ μέσα τῆς ζωῆς του ἀπὸ δίκαιους κόπους, γι' αὐτὸν τὸ νερό, εἶναι πραγματικὰ νερὸ τῆς ζωῆς[94].

Φονεύονται τὰ πρωτότοκα τῶν Αἰγυπτίων, ἐπειδὴ δὲν ἔχουν τὸ ἀνώφλι τους χρισμένο ἀπὸ τὸ αἷμα τοῦ ἀμνοῦ[95]. Πρωτότοκα εἶναι τὰ πρῶτα γεννήματα καὶ διανοήματα τοῦ νοῦ, ἀνώφλια εἶναι οἱ αἰσθήσεις, ἐξολοθρευτὴς ὁ διάβολος, ποὺ μέσω τῶν αἰσθήσεων δεσμεύει τὴν ψυχὴ πάνω στὰ αἰσθητὰ καὶ φονεύει κάθε θεῖο κίνημά της. Τὰ πρωτότοκα τῶν Ἰσραηλιτῶν διατηροῦνται μὲ τὴ χρίση ἀπὸ τὸ αἷμα, δηλαδὴ τὰ θεῖα κινήματα τοῦ νοῦ μὲ τὴ νέκρωση τῶν αἰσθήσεων.

ΕΡΩΤΗΣΗ 123

Τί σημαίνει αὐτὸ ποὺ λέγεται στὸν ΟΕ΄ ψαλμὸ ὅτι «ὁ ἄνθρωπος γιὰ τὸ θυμό του θὰ σοῦ ἐξομολογηθεῖ, ἐνῶ γιὰ τὴν κατάπαυση τοῦ θυμοῦ του θὰ ἀφιερώσει ἑορτή»[96];

ΑΠΟΚΡΙΣΗ

Ἡ ἑορτὴ ἁρμόζει σὲ ὅσους χαίρονται, ἡ ἐξομολόγηση σὲ ὅσους ἐξετάζονται· τὸ δεύτερο προκαλεῖ λύπη, ἐνῶ τὸ πρῶτο χαρά. Αὐτὸ λοιπὸν λέει, ὅτι κατὰ τὴν κρίση τὸ παροδικὸ καὶ ἀτελὲς ψυχικὸ περιεχόμενο τοῦ ἀγαθοῦ ἀντιζυγιζόμενο μὲ τὸ πονηρὸ καὶ ὁλοκληρωμένο περιεχόμενο εἶναι βαρύτερο· γιατὶ αὐτὸ ἐλέγχεται, ἐνῶ τὸ πρῶτο προξενεῖ ἑορτὴ καὶ χαρά.

95. Ἐξ. 12,21–29.
96. Ψαλμ. 75,11.

ΕΡΩΤΗΣΙΣ 124

Τί δηλοῖ ὁ Ἀπόστολος λέγων, «ἐμοὶ δὲ γένοιτο πέντε λόγους λαλῆσαι ἐν ἐκκλησίᾳ, ἢ μυρίους λόγους ἐν γλώσσῃ»;

ΑΠΟΚΡΙΣΙΣ

Πέντε λόγους λαλεῖ, κἂν εἷς ἐστιν ὁ λαλούμενος, ὁ λόγον παιδαγωγικὸν τῶν πέντε αἰσθήσεων λαλῶν· μυρίους δὲ λόγους ἐν γλώσσῃ λαλεῖ ὁ διὰ τοῦ ἰδίου λόγου πρόσκλησιν ποιούμενος παθῶν. Καὶ πάλιν· πέντε λόγους λαλεῖ ὁ διὰ τῆς ἐν πνεύματι τῶν ὄντων θεωρίας τὸν κτίστην δεικνύων· πενταδικὴ γὰρ ἡ φύσις ἐξ εἴδους καὶ τῶν τεσσάρων στοιχείων οὖσα· μυρίους δὲ λόγους λαλεῖ ὁ λόγους κεκομψευμένους καὶ συμπλοκὰς πειθανὰς περὶ τῆς ἐνεργείας τῶν ὁρατῶν ποιούμενος πρὸς οἰκείαν δόξαν καὶ ἀπόλαυσιν καὶ θεοποιῶν «τὴν κτίσιν παρὰ τὸν κτίσαντα»· ἡ κτίσις γὰρ οὐκ ἵνα θεωθῇ ἐδόθη, ἀλλ' ἵνα Θεὸν διδάξῃ.

ΕΡΩΤΗΣΙΣ 125

Τί δηλοῦσιν οἱ ἐν τῷ Εὐαγγελίῳ παραιτούμενοι τὴν κλῆσιν διὰ τὸν ἀγρὸν καὶ τὸν γάμον καὶ τὰ ζεύγη τῶν βοῶν;

ΑΠΟΚΡΙΣΙΣ

Διὰ τῆς γυναικὸς ἡ φιληδονία δηλοῦται, διὰ δὲ τοῦ ζεύγους τῶν βοῶν ἡ φιλοκτημοσύνη, διὰ δὲ τοῦ ἀγροῦ ἡ γαστριμαργία· περὶ ἃ πᾶς ἄνθρωπος ἀπασχολούμενος τῶν θείων ἐπαγγελιῶν ἐκπίπτει.

---

97. Α' Κορ. 14,19.

ΕΡΩΤΗΣΗ 124

Τί δηλώνει ὁ Ἀπόστολος λέγοντας «ἐμένα ἂς μοῦ δινόταν νὰ πῶ στὴν συνάθροισή μας πέντε λόγια μὲ νόημα, παρὰ μύριους λόγους μὲ τὴ γλώσσα»[97];

ΑΠΟΚΡΙΣΗ

Λέγει πέντε λόγους, κι ἂν ἀκόμα εἶναι ἕνας ὁ λόγος ποὺ λέγεται, ὅποιος διατυπώνει λόγο ποὺ παιδαγωγεῖ τὶς πέντε αἰσθήσεις· μύριους λόγους μὲ τὴ γλώσσα[98] λέει ἐκεῖνος ποὺ μὲ τὸ λόγο του κάνει πρόσκληση στὰ πάθη. Καὶ διαφορετικά· πέντε λόγους λέει ὅποιος μὲ τὴν πνευματικὴ θεωρία τῶν ὄντων φανερώνει τὸν κτίστη· γιατὶ ἡ φύση εἶναι πενταπλή, ἀποτελούμενη ἀπὸ εἶδος καὶ τέσσερα στοιχεῖα· ἐνῶ μύριους λόγους λέει ὅποιος φιλοτεχνεῖ λόγους κομψοὺς καὶ συνδυασμοὺς πειστικοὺς γιὰ τὴν ἐνέργεια τῶν ὁρατῶν πρὸς δική του δόξα καὶ ἀπόλαυση καὶ θεοποιεῖ τὴν κτίση παραμερίζοντας τὸν κτίστη[99]. Γιατὶ ἡ κτίση δὲν δόθηκε γιὰ νὰ λατρευτεῖ σὰν θεός, ἀλλὰ γιὰ νὰ διδάξει τὸ Θεό.

ΕΡΩΤΗΣΗ 125

Τί δηλώνουν αὐτοὶ ποὺ στὸ Εὐαγγέλιο ἀποποιοῦνται τὴν πρόσκληση ἐξαιτίας τοῦ χωραφιοῦ, τοῦ γάμου καὶ τοῦ ζευγαριοῦ τῶν βοδιῶν[1];

ΑΠΟΚΡΙΣΗ

Μὲ τὴ γυναίκα δηλώνεται ἡ φιληδονία, μὲ τὸ ζευγάρι τῶν βοδιῶν ἡ ἀγάπη γιὰ τὰ κτήματα, καὶ μὲ τὸ χωράφι ἡ λαιμαργία. Κάθε ἄνθρωπος ποὺ ἀσχολεῖται μὲ αὐτὰ χάνει τὶς θεῖες ἐπαγγελίες.

---

98. Α' Κρ. 14,19.
99. Ρωμ. 1,25.
1. Λουκᾶ 14,18-20.

ΕΡΩΤΗΣΙΣ 126

Τί ἐτυμολογεῖται γαστριμαργία;

ΑΠΟΚΡΙΣΙΣ

Οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν. Ἀριστοτέλης δὲ ἐν τῷ Περὶ ζῴων μέμνηται ζῴου μαργοῦ λεγομένου καὶ ὅτι γεννᾶται ἀπὸ σήψεως μεταξὺ τῆς γῆς καὶ τοῦ ὕδατος· καὶ ἀφ' οὗ γεννηθῇ, οὐ παύεται γῆν φαγὸν ἕως ἐκτρυπῆσαν τὴν γῆν εἰς τὴν ἐπιφάνειαν ἔλθῃ· καὶ ἐλθὸν θνῄσκει ταῖς τρισὶ τρεῖς ἡμέρας, καὶ μετὰ τρεῖς ἡμέρας ἔρχεται νέφος βροχῆς καὶ βρέχει ἐπάνω αὐτοῦ καὶ ἀναζῇ, μηκέτι ἀειφάγον ὄν. Καὶ ἐκ τούτου, οἶμαι, τοὺς ἀρχαίους φιλοσόφους ὁρμηθέντας τοὺς πολυφάγους γαστριμάργους ἀποκαλέσαι. Δύναταί δέ τις εὐσεβῶς τοῖς οὖσιν ἐπιβάλλειν εἰδώς, καὶ κατὰ πνευματικὴν θεωρίαν ἐκλαβεῖν τὰ εἰρημένα. Πᾶν γὰρ πάθος ἀπὸ σήψεως γεννᾶσθαι πέφυκε καὶ ἐπειδὰν γεννηθῇ, οὐ παύεται ἐσθίον τὴν ὑποστήσασαν αὐτὸ καρδίαν, ἕως ἂν διὰ τῆς ἀγωνιστικῆς ἕξεως εἰς φανέρωσιν ἔλθῃ· καὶ ἐλθὸν θνῄσκει ταῖς τρισὶ δυνάμεσι τῆς ψυχῆς, καὶ οὕτως ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ὡς διὰ νέφους τῆς διδασκαλίας ἐπιφανεῖσα, σταλαγμοὺς δίδωσι γνώσεως καὶ ζωοποιεῖ, οὐ κατὰ τὴν προτέραν ἐμπαθῆ ζωήν, ἀλλὰ κατὰ τὴν ἐνάρετον καὶ τῷ Θεῷ οἰκείαν.

ΕΡΩΤΗΣΙΣ 127

Τίς ἡ παραβολὴ τῶν ἐν τῷ Εὐαγγελίῳ μισθωθέντων ἐργατῶν εἰς τὸν ἀμπελῶνα καὶ τίς ἡ δοκοῦσα ἀνισότης;

ΕΡΩΤΗΣΗ 126

Ποιά εἶναι ἡ ἐτυμολογία τῆς γαστριμαργίας (λαιμαργίας);

ΑΠΟΚΡΙΣΗ

Κανένας δὲν κάμνει λόγο γι' αὐτὸ οὔτε ἀπὸ τοὺς γραμματιοὺς οὔτε ἀπὸ τοὺς ρήτορες. Ὁ Ἀριστοτέλης στὸ ἔργο του Ιερὶ ζώων ἀναφέρει ἕνα ζῶο ποὺ λέγεται μαργὸ (=ἀδηφάγο) αὶ ποὺ γεννιέται ἀπὸ τὴ σήψη ἀνάμεσα στὴ γῆ καὶ στὸ νερὸ αὶ ἀπὸ τὴ στιγμὴ ποὺ θὰ γεννηθεῖ δὲν παύει νὰ τρώει χῶμα, ɪσπου νὰ τρυπήσει τὴ γῆ καὶ νὰ βγεῖ στὴν ἐπιφάνεια. Κι ὅταν γεῖ πεθαίνει γιὰ τρεῖς μέρες καὶ μετὰ τὶς τρεῖς ἡμέρες ἂν ἔρθει ύννεφο μὲ βροχή, βρέχει πάνω του καὶ ξαναζεῖ καὶ δὲν εἶναι ιὰ παμφάγο. Ἀπὸ αὐτὸ νομίζω ὁρμήθηκαν οἱ ἀρχαῖοι σοφοὶ αὶ ὀνόμασαν τοὺς πολυφάγους γαστρίμαργους. Μπορεῖ ὅμως άποιος ποὺ γνωρίζει νὰ προσεγγίζει μ' εὐσέβεια τὰ ὄντα νὰ νοήσει ὅσα εἴπαμε καὶ ἀπὸ πνευματικὴ ἄποψη. Κάθε πάθος ηλαδὴ ἔχει ἀπὸ τὴ φύση του τὸ νὰ γεννιέται ἀπὸ τὴ σήψη κι ταν γεννηθεῖ δὲν παύει νὰ τρώει τὴν καρδιὰ ποὺ τοῦ ἔδωσε πόσταση, ὥσπου μὲ τὴν ἀγωνιστική του ἱκανότητα φτάσει νὰ ανερωθεῖ. Κι ὅταν φανερωθεῖ πεθαίνει γιὰ τὶς τρεῖς δυνάμεις ῆς ψυχῆς, κι ἔτσι ἡ χάρη τοῦ ἁγίου Πνεύματος, ξεπροβάλλοτας σὰν μέσα ἀπὸ τὸ νέφος τῆς διδασκαλίας, δίνει σταλαγμαιὲς γνώσης καὶ ζωογονεῖ ὄχι ὅπως κατὰ τὴν προηγούμενη μπαθὴ ζωή, ἀλλὰ κατὰ τὴν ἐνάρετη ζωὴ καὶ ποὺ εἶναι οἰκεία τὸ Θεό.

ΕΡΩΤΗΣΗ 127

Τί σημαίνει ἡ παραβολὴ τοῦ Εὐαγγελίου γιὰ τοὺς ἐργάτες ποὺ μισθώθηκαν καὶ τί σημαίνει ἡ ἄνιση μεταχείρισή τους[2];

2. Ματθ. 20,1-16.

ΑΠΟΚΡΙΣΙΣ

Ἡ τοῦ Θεοῦ κρίσις οὐ κατὰ χρόνον καὶ σῶμα γίνεται, διότι καὶ ἡ ψυχή, ἄχρονος καὶ ἀσώματος οὖσα, διὰ τὸ μὴ κατὰ χρόνον τὴν αὔξησιν καὶ τὸ πέρας δέχεσθαι, ἀχρόνως καὶ τὰς κινήσεις τῆς διαθέσεως ποιεῖται. Καλὸν δὲ ἐν ὑποδείγματι διασαφῆσαι τὰ λεγόμενα· πολλάκις ἐστί τις ἑβδομήκοντα χρόνους ἔχων ἐν τῷ μονήρει βίῳ, ἄλλος δὲ μίαν ἡμέραν· ἐπειδὴ δὲ ὁ τοῦ ἐπαγγέλματος σκοπός ἐστιν, ἵνα διὰ τῆς πρὸς τὰ ὑλικὰ προσπαθείας καὶ σχέσεως ἀνασπάσας, τὴν ψυχὴν ὅλην μετενέγκῃ πρὸς Θεόν, ὁ οὖν ἑβδομήκοντα ἔτη ἔχων οὐδόλως περὶ τῆς τοιαύτης ἀπαθείας μεριμνήσας ἐτελεύτησεν, ὁ δὲ μίαν ἡμέραν ἔχων, πᾶσαν αὐτοῦ τὴν πρὸς τὰ ὑλικὰ ἐμπαθῆ διάνοιαν ἀνασπάσας, ὅλην τῷ Θεῷ ἐγκολπώσας ἐτελειώθη· ἐν τῇ οὖν γινομένῃ κατὰ τὴν κρίσιν διανομῇ, ὁ μὲν ἀξίως τὸν μισθὸν λαμβάνει ὡς εἰς πέρας τὸν σκοπὸν τοῦ ἐπαγγέλματος ἀγαγών, ὁ δὲ κατὰ χάριν καὶ μόνον, ὑπὲρ οὗ τὸ τῆς ἀσκήσεως ὑπέμεινεν κόπον.

ΕΡΩΤΗΣΙΣ 128

Εἰ ἄρα τῷ Ἰὼβ ἀπαράδεκτος γέγονεν ἡ λύπη ἐν τοῖς συμβεβηκόσιν αὐτῷ;

ΑΠΟΚΡΙΣΙΣ

Ἀπαράδεκτον λύπης γεγενῆσθαι λέγομεν τὸν Ἰώβ· ὁ γὰρ ἅπαξ εὐσεβῶς τὴν διάσκεψιν τῶν ὄντων ποιησάμενος καὶ βεβαιώσας ἐν ἑαυτῷ τὸ πρὸς τὰ παροδεύοντα μῖσος καὶ τὴν πρὸς τὰ ἀπαρόδευτα ἀγάπην, πῶς παθοῦσιν τοῖς παροδικοῖς διὰ τῆς ἐναλλαγῆς τοῦ τρόπου, ὅπερ φυσικῶς πάσχειν εἰώθασιν, λυπεῖσθαι ἠδύνατο;

ΕΡΩΤΗΣΙΣ 129

Τί οὖν οὐδεὶς τῶν ἁγίων ἐδέξατο λύπην καὶ πῶς περὶ

ΑΠΟΚΡΙΣΗ

Ἡ κρίση τοῦ Θεοῦ δὲ γίνεται ἀνάλογα μὲ τὸ χρόνο καὶ τὸ σῶμα, γιατὶ καὶ ἡ ψυχή, ὡς ἄχρονη καὶ ἀσώματη, ἐπειδὴ δὲ δέχεται τὴν αὔξηση καὶ τὸ τέλος της μέσα στὰ πλαίσια τοῦ χρόνου, ἐκτελεῖ ἔξω ἀπὸ τὸ χρόνο καὶ τὶς ἐκδηλώσεις τῆς διάθεσής της. Εἶναι καλὸ νὰ διασαφηνίσομε ὅ,τι λέμε μὲ ἕνα παράδειγμα. Συμβαίνει συχνὰ νὰ ζεῖ κάποιος μοναχικὴ ζωὴ ἑβδομήντα χρόνια καὶ ἄλλος μιὰ μέρα· ἐπειδὴ ὁ σκοπὸς τῆς ὑπόσχεσής του εἶναι ν' ἀποσπάσει τὴν ψυχή του ἀπὸ τὴν προσκόληση καὶ σχέση της πρὸς τὰ ὑλικὰ καὶ νὰ τὴν μεταφέρει πρὸς τὸ Θεό, ἂν αὐτὸς ποὺ ἔφτασε τὰ ἑβδομήντα πέθανε χωρὶς νὰ φροντίσει καθόλου γι' αὐτὴ τὴν ἀπαλλαγή του ἀπὸ τὰ πάθη, ἐνῶ ὁ ἄλλος ὁ μοναχὸς τῆς μιᾶς ἡμέρας πέθανε ἀποσπώντας ὁλοκληρωτικὰ τὴν ἐμπαθή του διάθεση πρὸς τὰ ὑλικὰ κι ἀποθέτοντάς την ὅλη στοὺς κόλπους τοῦ Θεοῦ, στὴ μισθαποδοσία ποὺ θὰ γίνει στὴν κρίση ὁ ἕνας παίρνει ἄξια τὴν ἀμοιβή του ἐπειδὴ ἔφερε στὸ τέλος τὸν σκοπὸ τῆς ὑπόσχεσής του, ἐνῶ ὁ ἄλλος χαριστικὰ μονάχα, ἐπειδὴ ὑπέμεινε τὸν κόπο τῆς ἄσκησης.

ΕΡΩΤΗΣΗ 128

Ἔμεινε ἄραγε ὁ Ἰὼβ ἀνεπηρέαστος ἀπὸ τὴ λύπη γιὰ ὅσα τοῦ εἶχαν συμβεῖ;

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἰὼβ λέμε ὅτι ἔμεινε ἀνεπηρέαστος ἀπὸ τὴ λύπη. Αὐτὸς ποὺ ἔφτασε πραγματικὰ νὰ ἐξετάσει μ' εὐσέβεια τὰ ὄντα καὶ σταθεροποίησε μέσα του τὸ μίσος γι' αὐτὰ ποὺ παρέρχονται καὶ τὴν ἀγάπη πρὸς τὰ μόνιμα, πῶς ἦταν δυνατὸ νὰ λυπηθεῖ ὅταν μὲ τὴ μεταβολὴ τῆς ἐμφάνισής τους τὰ παροδικὰ ἔπαθαν αὐτὸ ποὺ συνήθως παθαίνουν;

ΕΡΩΤΗΣΗ 129

Τί σημαίνει τὸ ὅτι κανένας ἀπὸ τοὺς ἁγίους δὲν ἔνιωσε

πολλῶν ἁγίων λέγεται λύπην ἐσχηκέναι, καθὰ καὶ Παῦλος λέγει ὅτι «λύπη μοί ἐστιν ἀδιάλειπτος» καὶ τὰ λοιπά;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν περὶ τὰ πρακτὰ καταγινόμενος, ἕως ἂν ἡ συνείδησις αὐτὸν διὰ τὰς κατὰ μνήμην φαντασίας κεντῷ πλήττουσα, λυπεῖται πάντως τὴν ἐπαινετὴν λύπην· ὁ δὲ εἰς τὸ τῆς τελειότητος μέτρον ἐφθακώς, καὶ ὑπὲρ ταύτην γίνεται· ὁ γὰρ διὰ γνώσεως πεφωτισμένος, τὸ νοερὸν τῆς ψυχῆς Θεῷ ἀδιαιρέτως ἐξαπλώσας κατὰ τὴν ἴσην τῆς κινήσεως ταυτότητα, καὶ τὴν ἀνεκλάλητον χαρὰν ἐν τῇ διηνεκεῖ τοῦ θείου κάλλους τρυφῇ κτησάμενος, πῶς τὴν ταύτης ἀντικειμένην λύπην δέξηται;

Ποτὲ λυπεῖσθαι δὲ λέγονται οἱ ἅγιοι κατὰ μίμησιν τοῦ αὐτῶν Δεσπότου· λέγεται γὰρ ἐπὶ Θεοῦ καὶ λύπη καὶ χαρὰ κατὰ τὴν πρόνοιαν, λύπη μὲν ἐπὶ τῶν ἀπολλυμένων, χαρὰ δὲ ἐπὶ τῷ σῳζομένων. Εἷς οὖν ὁ λόγος τῆς λύπης, πολλοὺς ἐπιδέχεται τρόπους διαθέσεων. Ἡ οὖν λεγομένη ἐπὶ τῶν ἁγίων λύπη ἔλεός ἐστι καὶ συμπάθεια καὶ χαρᾶς περιουσία, θεοειδοῦς τελειότητος ἔνδον ἀποκειμένης καὶ πρὸς τὰ ἐκτὸς προνοητικῶς διαδιδομένης.

ΕΡΩΤΗΣΙΣ 130

Εἰ προηγεῖται ἡ θεωρία τῆς πράξεως;

ΑΠΟΚΡΙΣΙΣ

Διττὸς ὁ τῆς θεωρίας τρόπος· α. μὲν ὁ ὁρίζων τοῖς πρακτοῖς τὰ δέοντα, ὅστις καὶ προηγεῖται τῶν πρακτῶν· ὁ δὲ ἕτερος ὁ τὰ πραττόμενα διανοούμενος, ὅστις καὶ μετεπινοεῖται τῆς πράξεως.

ποτὲ λύπη καὶ πῶς πάλι γιὰ πολλοὺς ἁγίους λέγεται ὅτι δοκίμασαν λύπη, ὅπως κι ὁ Παῦλος λέει «λύπη ἀδιάκοπη μὲ βαραίνει» καὶ τὰ λοιπά[3];

ΑΠΟΚΡΙΣΗ

Ὅποιος καταγίνεται μὲ τὶς πράξεις ποὺ κάνει, ὅσο ἡ συνείδηση τὸν ἐνοχλεῖ μὲ τὶς ἀναμνήσεις, νιώθει λύπη, ἀλλ' ὁπωσδήποτε τὴ λύπη τὴν ἀξιέπαινη. Ὅποιος ὅμως ἔφθασε στὸ μέτρο τῆς τελειότητας κι αὐτὴ τὴ λύπη τὴν ξεπερνᾶ. Γιατὶ ὅποιος ἔχει φωτιστεῖ ἀπὸ τὴ γνώση, ἁπλώνοντας τὴ νόησή του ἀδιαίρετα στὸ Θεὸ μὲ σταθερὴ ταυτότητα τῆς κίνησής της κι ἔχοντας ἀποχτήσει τὴν ἀνεκλάλητη χαρὰ στὴν ἀτελείωτη ἀπόλαυση τοῦ θεϊκοῦ κάλλους, πῶς νὰ δοκιμάσει τὴν ἀντίθετή της λύπη;

Λέγεται ὅτι κάποτε οἱ ἅγιοι λυποῦνται κατὰ τὸ παράδειγμα τοῦ Κυρίου· λέγεται βέβαια ὅτι καὶ ὁ Θεὸς λυπᾶται καὶ χαίρεται προνοώντας γιὰ τὸν κόσμο, λυπᾶται γι' αὐτοὺς ποὺ χάνονται, καὶ χαίρεται γιὰ ὅσους σώζονται. Ἐνῶ λοιπὸν τὸ ὄνομα τῆς λύπης εἶναι ἕνα, ὑπάρχουν πολλοὶ τρόποι γιὰ ἐκδήλωση τοῦ συναισθήματος αὐτοῦ. Ἡ λύπη τῶν ἁγίων εἶναι ἔλεος καὶ συμπάθεια καὶ πλημμύρα χαρᾶς, θεϊκῆς τελειότητας ποὺ ἀπόκειται στὴν ψυχὴ καὶ διαδίδεται πρὸς τὰ ἔξω προνοητικά.

ΕΡΩΤΗΣΗ 130

Προηγεῖται ἡ θεωρία ἀπὸ τὴν πράξη;

ΑΠΟΚΡΙΣΗ

Ὁ τρόπος της εἶναι διπλός· ὁ πρῶτος ὁρίζει αὐτὰ ποὺ πρέπει νὰ πραχθοῦν, καὶ ὁ ὁποῖος προηγεῖται τῆς πράξης, ἐνῶ ὁ δεύτερος ἀναλογίζεται ὅσα πράχθηκαν καὶ κατὰ συνέπεια ἀκολουθεῖ τὴν πράξη.

---

3. Ρωμ. 9,2.

ΕΡΩΤΗΣΙΣ 131

Ἐκ τοῦ Ἠσαΐου· «ἀμπελῶνα ἐφύτευσα καὶ φραγμὸν αὐτῷ περιέθηκα» καὶ τὰ λοιπά.

ΑΠΟΚΡΙΣΙΣ

Ἡ τοῦ ἀμπελῶνος φύτευσις τὴν δημιουργίαν σημαίνει, ὁ δὲ φραγμὸς τὸν φυσικὸν νόμον, ἡ δὲ χαράκωσις τὸν γραπτόν, οἷς τὴν φύσιν ὁ δημιουργὸς κατησφαλίσατο. Ὅστις οὖν τὴν κατὰ φύσιν σπορὰν τοῦ ἀγαθοῦ γεωργήσει κατὰ προαίρεσιν γνησίως, ἐκεῖνος καρπὸν τῷ φυτευτῇ ἐποίησεν· ὅστις δὲ πρὸς τὸ μὴ ὂν παραλόγως φέρεται, ἐκεῖνος ἀκάνθας ποιεῖ, τουτέστι τὰ πάθη, καὶ καταπατεῖται ὑπὸ τῶν ταῦτα ἐνεργούντων δαιμόνων.

ΕΡΩΤΗΣΙΣ 132

Ἐκ τῶν Ἀισμάτων· «δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων».

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Θεὸς Λόγος πρὸς τὴν νυμφευομένην αὐτῷ δι' ἀγαθῶν ἔργων λέγει ψυχὴν ἢ καὶ πρὸς τὴν φύσιν ἅπασαν τῆς ἀνθρωπότητος ἐξελθεῖν ἀπὸ τῆς εἰδωλολατρίας –τοῦτο γὰρ σημαίνει ὁ Λίβανος– καὶ τῆς κακοεξίας –ὅπερ αἱ μάνδραι τῶν λεόντων σημαίνουσιν· ὁ γὰρ λέων ἀεὶ κατὰ τῶν ὤμων ἐπέρχεται, τουτέστι τῆς πρακτικῆς– καὶ «ἀπὸ ὀρέων παρδάλεων», τουτέστιν ἀπὸ τῆς ἀγνοίας· τὸ γὰρ ζῷον τοῦτο φυσικῶς κατὰ τῶν ὀφθαλμῶν τὴν ὁρμὴν ποιεῖται, οἱ δὲ ὀφθαλμοὶ προδήλως εἰς τὴν γνῶσιν λαμβάνονται.

ΕΡΩΤΗΣΙΣ 133

Ἐκ τοῦ Ἠσαΐου· «ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς κριθήσομαι μεθ' ὑμῶν».

---

4. Ἠσ. 5,2. 5. Μαξίμου Ὁμολογητοῦ, *Διονυσίου καὶ Γρηγορίου Πρὸς Θωμᾶν τὸν ἡγιασμένον Περὶ διαφόρων ἀποριῶν*, PG 91,1081D–1084A.

ΕΡΩΤΗΣΗ 131

'Από τὸν Ἠσαΐα· «φύτεψα ἀμπελώνα καὶ τοποθέτησα γύρω του φραγμὸ» καὶ τὰ λοιπά[4].

ΑΠΟΚΡΙΣΗ

Τὸ φύτεμα τοῦ ἀμπελώνα σημαίνει τὴ δημιουργία, ὁ φραγμὸς τὸ φυσικὸ νόμο καὶ ἡ περιχαράκωση τὸ γραπτό· μὲ αὐτοὺς ὁ δημιουργὸς ἀσφάλισε τὴ φύση. Ὅποιος λοιπὸν καλλιεργήσει τὴ φυσικὴ σπορὰ τοῦ ἀγαθοῦ μὲ γνήσια τὴν προαίρεσή του[5], ἐκεῖνος ἔδωσε καρπὸ στὸν σπορέα του. Ὅποιος ὅμως ὁρμᾶ παράλογα πρὸς τὸ μὴ ὄν, αὐτὸς κάνει ἀγκάθια, δηλαδὴ τὰ πάθη, καὶ ποδοπατεῖται ἀπὸ τοὺς δαίμονες ποὺ προκαλοῦν αὐτά.

ΕΡΩΤΗΣΗ 132

'Από τὸ Ἆσμα τῶν Ἀσμάτων· «ἔλα ἀπὸ τὸ Λίβανο, νύφη, ἔλα ἀπὸ τὸ Λίβανο, ἀπὸ τὰ μέρη ποὺ διαμένουν τὰ λιοντάρια, ἀπ' τὰ βουνὰ τῶν παρδάλεων»[6].

ΑΠΟΚΡΙΣΗ

Ὁ Θεὸς Λόγος ἀπευθύνεται στὴν ψυχὴ ποὺ τὸν νυμφεύεται μὲ τὰ καλά της ἔργα, ἢ καὶ σὲ ὅλο τὸ ἀνθρώπινο γένος γιὰ νὰ ἐγκαταλείψει τὴν εἰδωλολατρία -γιατὶ αὐτὸ σημαίνει ὁ Λίβανος- καὶ τὴν κακὴ συνήθεια, πράγμα ποὺ σημαίνει τὰ μέρη ποὺ μένουν τὰ λιοντάρια. Γιατὶ τὸ λιοντάρι ὁρμᾶ πάντοτε πάνω στοὺς ὤμους, δηλαδὴ τὴν πρακτική, καὶ ἀπὸ τὰ βουνὰ τῶν παρδάλεων, δηλαδὴ ἀπὸ τὴν ἄγνοια, γιατὶ τὸ ζῶο τοῦτο ἀπὸ τὴ φύση του ὁρμᾶ κατὰ τῶν ματιῶν καὶ τὰ μάτια εἶναι πρόδηλο ὅτι ἀντιστοιχοῦν στὴ γνώση.

ΕΡΩΤΗΣΗ 133

'Από τὸν Ἠσαΐα· «καὶ ἐπάνω στὰ βουνὰ καὶ στὰ ὄρη θὰ κριθῶ μαζί σας»[7].

---

6. Ἆσμα Ἀσμ. 4,8. 7. Δὲν ὑπάρχει τέτοιο χωρίο στὸν Ἠσαΐα. Βλ. Ἰεζ. 6,3. Μιχ. 6,1.

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ τὴν ζωὴν τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ τὸν περίγειον τοῦτον τόπον προνοητικῶς εἰσι πεπιστευμένοι ἄγγελοι, διακονοῦντες ἡμῖν τοὺς θείους λόγους, ὁμοίως δὲ καὶ οἱ προφῆται διεκόμισαν ἡμῖν διὰ τῶν ἰδίων λόγων τοὺς τρόπους τῆς σωτηρίας, ἐπὶ τούτων οὖν λέγει κριθήσεται μεθ' ἡμῶν, ὄρη λέγων τοὺς ἀγγέλους, βουνοὺς δὲ τοὺς πατριάρχας καὶ προφήτας.

ΕΡΩΤΗΣΙΣ 134

Τί σημαίνει τὸ τοῦ ψαλμοῦ, «ὀρφανὸν καὶ χήραν ἀναλήψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ»;

ΑΠΟΚΡΙΣΙΣ

Χήρα ἐστὶ ψυχὴ τὸν φυσικὸν νόμον θνήξασα, ὀρφανὸς δέ ἐστιν ὁ ὑπόκλοπος τρόπος, ὁ χάριν φιλενδειξίας καὶ λημμάτων ἁδροτέρων ἐπιτηδευόμενος, πατέρα μὴ ἔχων τὸν Θεόν. Διὰ οὖν τῆς ὑποθετικῆς συμβουλῆς ὁ Κύριος τὸν μὲν φυσικὸν νόμον ζωοποιῶν, τὸν δὲ ὑπόκλοπον τρόπον διορθούμενος, ὥστε δι' αὐτὸ τὸ ἀγαθὸν καὶ μὴ διὰ φθειρομένην δόξαν γενέσθαι, ἀναλαμβάνει, ἐξαφανίζων τὰς ὁδοὺς τῶν ἁμαρτωλῶν, τουτέστι τὴν προτέραν ἀγωγὴν ἐν ᾗ περιεπάτει.

ΕΡΩΤΗΣΙΣ 135

Ἐκ τοῦ Ἰώβ· «παρὰ τὸ μὴ ἔχειν σκέπην, πέτραν περιεβάλλοντο».

ΑΠΟΚΡΙΣΙΣ

Τὰ μὴ ἔχοντα σκέπην πρότερον, τουτέστι πίστιν, ἦσαν τὰ

8. Ψαλμ. 145,9.
9. Ἰὼβ 24,8.

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ τὴ ζωὴ τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ τὸν γύρω ἀπὸ τὴ γῆ τοῦτον τόπο ἡ πρόνοια τὸν ἔχει ἐμπιστευθεῖ στοὺς ἀγγέλους, ποὺ διακονοῦν γιὰ χάρη μας τοὺς θείους λόγους καὶ ὅμοια καὶ οἱ προφῆτες μετέφεραν σ' ἐμᾶς μὲ τοὺς ἴδιους τοὺς λόγους τους τοὺς τρόπους τῆς σωτηρίας, πάνω σ' αὐτὰ λέει ὅτι θὰ κριθεῖ μαζί μας, ὀνομάζοντας ὄρη τοὺς ἀγγέλους καὶ βουνὰ τοὺς πατριάρχες καὶ τοὺς προφῆτες.

ΕΡΩΤΗΣΗ 134

Τί σημαίνει τὸ χωρίο τοῦ ψαλμοῦ, «θὰ ἀναλάβει τὴ φροντίδα τοῦ ὀρφανοῦ καὶ τῆς χήρας καὶ θὰ ἐξαφανίσει τὴν ὁδὸ τῶν ἁμαρτωλῶν»[8];

ΑΠΟΚΡΙΣΗ

Χήρα εἶναι ἡ ψυχὴ ποὺ νεκρώθηκε ὡς πρὸς τὸ φυσικὸ νόμο, ὀρφανὸς εἶναι ὁ ὕπουλος τρόπος, ποὺ χρησιμοποιεῖται γιὰ ἐπίδειξη καὶ μεγάλα κέρδη καὶ δὲν ἔχει πατέρα του τὸ Θεό. Μὲ τὴν ὑποθετικὴ συμβουλὴ λοιπὸν καὶ τὴν παραίνεσή του ὁ Κύριος ζωοποιώντας τὸ φυσικὸ νόμο καὶ διορθώνοντας τὸν ὕπουλο τρόπο, ἀναλαμβάνει αὐτὸς ὥστε, ὅ,τι κάνομε νὰ γίνεται γιὰ τὸ ἴδιο τὸ ἀγαθὸ κι ὄχι γιὰ τὴ φθειρόμενη δόξα, ἐξαφανίζοντας τὶς μεθοδεύσεις τῶν ἁμαρτωλῶν, δηλαδὴ τὸν προηγούμενο τρόπο ζωῆς ποὺ ζοῦνε.

ΕΡΩΤΗΣΗ 135

Ἀπὸ τὸν Ἰώβ· «ἐπειδὴ δὲν εἶχαν σκέπη προφυλάχτηκαν ἀπὸ τὴ πέτρα»[9].

ΑΠΟΚΡΙΣΗ

Ἐκεῖνοι ποὺ δὲν εἶχαν προηγουμένως σκέπη, δηλαδὴ πί-

ἔθνη· περιεβάλοντο δὲ πέτραν, τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν.

ΕΡΩΤΗΣΙΣ 136

Εἰ δυνατὸν φυσικὴν ἀπόδειξιν εὑρεθῆναι περὶ τῆς ἁγίας Τριάδος;

ΑΠΟΚΡΙΣΙΣ

Πάντα τὰ ὄντα ἐν τρισὶ τρόποις εἶναι πεπίστευται, ἐν οὐσίᾳ, ἐν διαφορᾷ, ἐν ζωῇ· καὶ ἐκ μὲν τοῦ τῆς οὐσίας τῶν ὄντων λόγου τὸ εἶναί τινα οὐσίαν πιστούμεθα, ὅπερ ἐστὶν ὁ Πατήρ· ἐκ δὲ τῆς διαφορᾶς τῶν ὄντων τὴν σοφίαν, τουτέστι τὸν Υἱόν –σοφίας γὰρ τὸ ἀπονεῖμαι ἑκάστῃ φύσει τὴν πρόσφορον ἰδιότητα, καὶ εὐκρινῆ καὶ ἄφυρτα καὶ πρὸς ἑαυτὴν καὶ πρὸς τὰ λοιπὰ διατηρεῖν ἕκαστον τῶν γεγονότων –ἐκ δὲ τῆς ζωῆς τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἐπὶ μὲν τοῦ Θεοῦ ταῦτα ἐνυπόστατα εἰσὶ καὶ λέγονται, ἐπὶ δὲ τῶν κτισμάτων συμβεβηκότα.

ΕΡΩΤΗΣΙΣ 137

Ἐκ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου εἰς τὸ «πάντες μὲν εἰσέφερον τὸ κηρυχθὲν αὐτοῖς, οἱ δὲ αὐτεπάγγελτοι» ἦσαν καὶ τί σημαίνουσιν τὰ προσαγόμενα;

ΑΠΟΚΡΙΣΙΣ

Αὐτεπάγγελτοί εἰσιν οἱ ἐκ τῶν ἐνόντων αὐτοῖς φυσικῶν σπερμάτων πρὸς τὸ ἀγαθὸν ἐρχόμενοι, κηρυττόμενοι δὲ οἱ ἐκ διδασκαλίας εἰς τὸ ἀγαθὸν ἐρχόμενοι. Καὶ χρυσὸν μὲν προσφέρει ὁ εὐσεβῶς τὸν περὶ θεολογίας λόγον ποιούμενος, ἄργυρον

---

10. Α΄ Κορ. 10,4.
11. Γρηγορίου τοῦ Θεολόγου, *Λόγος 19, Εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν*, 8

στη, ἦταν τὰ ἔθνη, ἀλλὰ προφυλάχτηκαν ἀπὸ τὴν πέτρα, τὴν πίστη δηλαδὴ στὸν Κύριό μας Ἰησοῦ Χριστό[10].

ΕΡΩΤΗΣΗ 136

Ἂν εἶναι δυνατὸ νὰ βρεθεῖ φυσικὴ ἀπόδειξη γιὰ τὴν ἁγία Τριάδα;

ΑΠΟΚΡΙΣΗ

Ὅλα τὰ ὄντα πιστεύεται ὅτι ὑπάρχουν μὲ τρεῖς τρόπους, ὡς οὐσία, ὡς διαφορὰ καὶ ὡς ζωή. Ξεκινώντας ἀπὸ τὸ λόγο τῆς οὐσίας τῶν ὄντων βεβαιωνόμαστε ὅτι ὑπάρχει μιὰ οὐσία ποὺ εἶναι ὁ Πατέρας· ἀπὸ τὴ διαφορὰ τῶν ὄντων βεβαιωνόμαστε γιὰ τὴ σοφία, δηλαδὴ τὸν Υἱὸ -γιατὶ εἶναι ἔργο τῆς οὐσίας νὰ ἀπονείμει σὲ κάθε φύση τὴν ἰδιότητα ποὺ τῆς ἁρμόζει καὶ νὰ διατηρεῖ καθένα ἀπὸ τὰ δημιουργήματα εὐδιάκριτο καὶ ἄφυρτο καὶ μὲ τὸν ἑαυτό της καὶ πρὸς τὰ ἄλλα- καὶ ἀπὸ τὴ ζωὴ βεβαιωνόμαστε τὸ Πνεῦμα τὸ ἅγιο. Ἀλλὰ στὴν περίπτωση τοῦ Θεοῦ αὐτὰ εἶναι καὶ λέγονται ἐνυπόστατα, ἐνῶ στὴν περίπτωση τῶν κτισμάτων εἶναι καὶ λέγονται συμβεβηκότα.

ΕΡΩΤΗΣΗ 137

Ἀπὸ τὸν ἅγιο Γρηγόριο τὸ Θεολογο στὴ φράση «ὅλοι πρόσφεραν ὅ,τι τοὺς εἶπε, ἐνῶ ὁρισμένοι πρόσφεραν μὲ δική τους πρωτοβουλία»[11]. Τί σημαίνουν αὐτὰ ποὺ πρόσφεραν;

ΑΠΟΚΡΙΣΗ

«Αὐτεπάγγελτοι» εἶναι ὅσοι προσέρχονται στὸ ἀγαθὸ ἀπὸ τὰ φυσικὰ σπέρματα ποὺ ἔχουν μέσα τους, ἐνῶ «κηρυττόμενοι» ὅσοι προσέρχονται στὸ ἀγαθὸ ἀπὸ τὴ διδασκαλία. Χρυσὸ προσφέρει ὁποιος ὁμιλεῖ περὶ θεολογίας μ' εὐσέβεια· ἄργυρο,

---

(PG 35,1052B12-13) καὶ Ἕλληνες Πατέρες τῆς Ἐκκλησίας, Ἅπαντα Γρηγορίου Θεολόγου, τόμος 5, σ. 404,21-22έ.

*δὲ ὁ βίον καθαρὸν καὶ διδασκαλίαν λαμπρὰν καὶ διαφανῆ, λίθους δὲ τιμίους ὁ τὴν πρακτικὴν δυναστείαν θείοις λόγοις κοσμῶν, βύσσον δὲ κεκλωσμένην ὁ τὴν ἕξιν τῆς ἀρετῆς ἐν τοῖς ἀκουσίοις πειρασμοῖς ἀτίνακτον διαφυλάττων καὶ δι' αὐτῶν ὕδατος τρόπον τοὺς ἐγγινομένους τῇ ψυχῇ ἐκ τῆς ἁμαρτίας λογισμοὺς ἀποπλύνων καὶ ἐξασπρύνων, κόκκινον δὲ νενησμένην ὁ τῇ περιουσίᾳ τοῦ λόγου τὰ ἐφ' ἡμῖν ἡδονῇ καὶ *** πάθη ἐξαφανίζων διὰ τῆς νεκρώσεως τῶν μελῶν τοῦ σώματος, πορφύραν δὲ ὁ τὴν τῶν ὄντων γνῶσιν ἀκριβῶς καὶ ἀπταίστως ἐγκολπισάμενος· ἡ γὰρ πορφύρα κατὰ μίαν ἐπιβολὴν εἰς τὴν γνῶσιν λαμβάνεται· ἐκ πολλῶν γὰρ καὶ διαφόρων σύγκειται εἰδῶν, καθάπερ καὶ ἡ γνῶσις ἐκ πολλῶν καὶ διαφόρων θεωρημάτων. Δέρματα δὲ ἠρυθροδανωμένα προσφέρει ὁ τῇ αἰσθήσει παντελῶς νεκρωθείς, τρίχας δὲ ὁ τὴν παντελῆ πρὸς τὰ παρόντα ἀναισθησίαν κτησάμενος.*

ΕΡΩΤΗΣΙΣ 138

Τί ἐστιν τὸ τοῦ ψαλμοῦ «δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ» καὶ πῶς ἐστιν ἐν ταὐτῷ δυνατὸν καὶ τρέμειν καὶ ἀγαλλιᾶσθαι καὶ πῶς πάλιν ἐν τῷ ιη' λέγει «ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος», ὁ δὲ Ἰωάννης φησὶν «ἡ ἀγάπη ἔξω βάλλει τὸν φόβον»· καὶ εἰ ἔξω βάλλεται πῶς διαμένει;

ΑΠΟΚΡΙΣΙΣ

Διττὸς ὁ φόβος· ὁ μὲν ἐπὶ ἐγκλήμασιν, ὁ δὲ κατ' ἀξίαν τοῦ ἀγαπωμένου· ἡ οὖν ἀγάπη τὸν ἐπὶ ἐγκλήμασιν φόβον ἀποτίθεται, τὸν δὲ ἐπὶ τῆς ἀξίας τοῦ ἀγαπωμένου συντηρεῖ. Ἀγαλλίασις

12. Ἐδῶ ὑπάρχει χάσμα στὸ κείμενο.
13. Ψαλμ. 2,11.

ὅποιος ἔχει βίο καθαρὸ καὶ διδασκαλία λαμπρὴ καὶ διαφανή· λίθους πολύτιμους, αὐτὸς ποὺ στολίζει τὴν ἐπίδοση στὴν πράξη μὲ θείους λόγους, κλωσμένο βύσσινο ὕφασμα, ὅποιος φυλάει τὴν ἄσκηση τῆς ἀρετῆς ἀδιάσειστη στοὺς ἀκούσιους πειρασμοὺς καὶ μὲ αὐτὰ σὰν μὲ νερὸ ἀποπλύνει τοὺς λογισμοὺς ποὺ προκαλεῖ ἡ ἁμαρτία στὴν ψυχή· κόκκινο κλωσμένο ὕφασμα, ὅποιος μὲ τὴ περίσσεια τοῦ λόγου του ἐξαφανίζει μὲ τὴ νέκρωση τῶν μελῶν τοῦ σώματος τὰ πάθη ποὺ μᾶς κυριεύουν μὲ τὴν ἡδονὴ καὶ ...[12] πορφύρα προσφέρει ὅποιος ἔχει ἐγκολπωθεῖ ἀκριβῶς κι ἀλάνθαστα τὴ γνώση τῶν ὄντων. Ἡ πορφύρα κατὰ μιὰ ἄποψη ἀντιστοιχεῖ στὴ γνώση, γιατὶ ἀποτελεῖται ἀπὸ πολλὰ καὶ διάφορα εἴδη, ὅπως καὶ ἡ γνώση ἀπὸ πολλὰ καὶ διάφορα θεωρητικὰ στοιχεῖα. Δέρματα βαμμένα μὲ ἐρυθρόδανο προσφέρει ὅποιος ἔχει τελείως νεκρωθεῖ ὡς πρὸς τὴν αἴσθηση, καὶ μαλλιὰ προσφέρει ὅποιος ἔχει ἀποχτήσει τέλεια ἀναισθησία γιὰ τὰ παρόντα.

ΕΡΩΤΗΣΗ 138

Τί σημαίνει τὸ τοῦ ψαλμοῦ «ὑπηρετῆστε τὸν Κύριο μὲ φόβο σὰν δοῦλοι καὶ δοκιμάσατε ἀγαλλίαση μὲ τρόμο»[13], καὶ πῶς εἶναι δυνατὸ ταυτόχρονα νὰ τρέμει καὶ νὰ χαίρεται κανεὶς καὶ πῶς πάλι λέει στὸν δέκατο ὄγδοο ψαλμὸ «ἁγνὸς εἶναι ὁ φόβος τοῦ Κυρίου καὶ παραμένει στὸν αἰώνα τοῦ αἰώνα»[14], ἐνῶ ὁ Ἰωάννης λέει, «ἡ ἀγάπη βγάζει ἔξω τὸ φόβο»[15]· ἂν ὁ φόβος βγαίνει ἔξω, πῶς παραμένει;

ΑΠΟΚΡΙΣΗ

Ὁ φόβος εἶναι διπλός· ὁ ἕνας εἶναι φόβος γιὰ παραβάσεις καὶ ὁ ἄλλος φόβος γιὰ τὴν ἀξία ἐκείνου ποὺ ἀγαπᾶμε. Ἡ ἀγάπη λοιπὸν ἀποδιώκει τὸ φόβο γιὰ τίς παραβάσεις, ἐνῶ διατηρεῖ τὸ φόβο γιὰ τὴν ἀξία ἐκείνου ποὺ ἀγαπᾶμε. Ἀγαλλίαση πάλι εἶναι

14. Ψαλμ. 18,10. 15. Ἰω. 4,18.

δέ ἐστιν ἡ ἐπὶ κτήσει τινῶν ἐπίχαρτος διάθεσις, εὐφροσύνη δὲ ἡ ἐπὶ τῶν κτηθέντων ἀπόλαυσις.

ΕΡΩΤΗΣΙΣ 139

Τί σημαίνουσιν αἱ τῷ Φαραὼ καθ' ὕπνον δειχθεῖσαι βόες καὶ οἱ στάχυες;

ΑΠΟΚΡΙΣΙΣ

Ἐνταῦθα ὁ Φαραὼ ἐπὶ τῆς φύσεως λαμβάνεται, οἱ δὲ βόες οἱ καλοὶ τὴν πρᾶξιν δηλοῦσιν, οἱ δὲ στάχυες τὴν γνῶσιν· ἐν γὰρ τῷ ἑβδοματικῷ τούτῳ χρόνῳ γνῶσις καὶ πρᾶξις ἐνεργοῦνται. Αἱ δὲ ἕτεραι βόες καὶ στάχυες αἱ αἰσχραὶ καὶ ἀνεμόφθοροι δηλοῦσι τὴν ἄγνοιαν καὶ τὴν κακίαν, αἵτινες ἴσχυσαν καταπιεῖν τήν τε πρακτικὴν τῶν βοῶν ἀκμαιότητα, τήν τε γνῶσιν τὴν διὰ τῶν καλῶν σταχύων δηλουμένην. Ἀλλ' ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁ ἀληθινὸς Ἰωσήφ, ὁ μόνος καὶ προγνώστης καὶ διορθωτὴς τῆς τοιαύτης λιμοῦ, λαμβάνων πίστιν ὥσπερ χρυσὸν καὶ λαμπρὸν βίον ὥσπερ ἀργύριον καὶ ἠθικὴν φιλοσοφίαν ὥσπερ πρόβατα καὶ τὸ εὔδρομον καὶ πρόθυμον τοῦ κατὰ Θεὸν βίου ὥσπερ ἵππους, παρέχει τὸν σῖτον, τουτέστι τὴν ἀληθῆ γνῶσιν.

ΕΡΩΤΗΣΙΣ 140

Τί ἐστιν ὁ ἐν τῷ Εὐαγγελίῳ κριτὴς τῆς ἀδικίας καὶ τίς ἡ χήρα γυνή;

ΑΠΟΚΡΙΣΙΣ

«Κριτὴν ἀδικίας» λέγει τὸν φυσικὸν νόμον, ἐκ τῆς παραβάσεως πωρωθέντα καὶ μήτε Θεὸν μήτε «ἄνθρωπον ἐντρεπόμενον», χήραν δὲ τὴν χηρεύουσαν ἀγαθῶν ἔργων ψυχήν. Αὕτη γὰρ εἰ εἰς μετάμελον ἔλθοι, ἐκβιάζεται τὸν φυσικὸν νόμον διοχλοῦσα διὰ τῆς ἀσκήσεως καὶ ἐγκρατείας ἀποσχέσθαι τῶν

ἡ χαρούμενη διάθεση γιὰ κάποια ἀποκτήματα καὶ εὐφροσύνη ἡ ἀπόλαυση ὅσων ἀποχτήσαμε.

ΕΡΩΤΗΣΗ 139

Τί σημαίνουν οἱ ἀγελάδες ποὺ εἶδε ὁ Φαραὼ στὸν ὕπνο του καὶ τί τὰ στάχυα;[16];

ΑΠΟΚΡΙΣΗ

Ἐδῶ ὁ Φαραὼ ἐκπροσωπεῖ τὴ φύση, οἱ καλὲς ἀγελάδες δηλώνουν τὴν πράξη καὶ τὰ στάχυα τὴ γνώση· γιατὶ ἡ γνώση καὶ ἡ πράξη σ' αὐτὸν ἐδῶ τὸν ἑβδοματικὸ χρόνο ἐκτελοῦνται. Οἱ ἄλλες ἀγελάδες καὶ τὰ ἄλλα στοιχεῖα τὰ ἀδύνατα, ποὺ χάλασαν ἀπὸ τὸν καιρό, δηλώνουν τὴν ἄγνοια καὶ τὴν κακία, ποὺ μπόρεσαν νὰ καταπιοῦν καὶ τὴν ἀκμαιότητα γιὰ πράξη τῶν ἀγελάδων καὶ τὴ γνώση ποὺ δηλώνουν τὰ μεστὰ στάχυα. Ἀλλὰ ὁ Κύριός μας Ἰησοῦς Χριστός, ὁ ἀληθινὸς Ἰωσήφ, ὁ μόνος ποὺ προγνωρίζει καὶ ποὺ θεραπεύει τὴν ἀρρώστια αὐτήν, δεχόμενος πίστη ὡσὰν χρυσάφι καὶ βίο λαμπρὸ ὡσὰν ἄργυρο καὶ ἠθικὴ φιλοσοφία ὡσὰν πρόβατα καὶ τὴν ταχύτητα καὶ προθυμία τῆς κατὰ Θεὸν ζωῆς ὡσὰν ἵππους, παρέχει τὸ σιτάρι[17], δηλαδὴ τὴν ἀληθινὴ γνώση.

ΕΡΩΤΗΣΗ 140

Ποιός εἶναι ὁ ἀναφερόμενος στὸ Εὐαγγέλιο κριτὴς τῆς ἀδικίας καὶ ποιά ἡ χήρα γυναίκα[18];

ΑΠΟΚΡΙΣΗ

Κριτὴ ἀδικίας ἐννοεῖ τὸ φυσικὸ νόμο ποὺ ἔχει πωρωθεῖ ἀπὸ τὴν παράβαση καὶ δὲν ντρέπεται οὔτε Θεὸ οὔτε ἄνθρωπο[19], ἐνῶ χήρα ἐννοεῖ τὴν ψυχὴ ποὺ χηρεύει ἀπὸ ἀγαθὰ ἔργα. Ἂν αὐτὴ μετανοήσει, ἀσκεῖ βία στὸ φυσικὸ νόμο ἐνοχλώντας τον μὲ τὴν ἄσκηση καὶ τὴν ἐγκράτεια νὰ ἀποκοπεῖ ἀπὸ τὰ παραφύ-

16. Γεν. 41,1–7. 17. Βλ. Γεν. 47,14–17.
18. Λουκᾶ 18,2–8· 18,6. 19. Λουκᾶ 18,2.

παρὰ φύσιν. Καὶ ἐάν, φησίν, ὁ νοῦς διὰ τῆς ἐσπουδασμένης καὶ φιλοπόνου προσεδρείας ἰσχύσῃ ἀνύσαι καὶ τὰ ὑπὲρ φύσιν, πόσῳ μᾶλλον, φησίν, ὁ Θεὸς εἰσακούσεται τῶν διὰ προσευχῆς ἐκτενοῦς καὶ ἀναιδοῦς προσεδρείας «βοώντων πρὸς αὐτόν»;

ΕΡΩΤΗΣΙΣ 141

Τίς ἡ κεφαλὶς ἡ ἐπιδοθεῖσα Ἰεζεκιὴλ τῷ προφήτῃ, ἐν ᾗ ἐγέγραπτο «θρῆνος καὶ μέλος καὶ οὐαί», καὶ πῶς ἐγλυκάνθη ἐν τῷ στόματι αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ κεφαλὶς ἐστιν ὁ θεῖος λόγος· ἐγγέγραπται δὲ ἐν αὐτῷ «θρῆνος», τουτέστιν αἱ ἀπειλαὶ τῶν κολάσεων, «μέλος» αἱ τῶν ἀγαθῶν ἐπαγγελίαι, «οὐαὶ» δὲ καθότι οἱ μήτε τῷ φόβῳ τῶν κολάσεων μήτε τῇ προτροπῇ τῶν ἐπαγγελιῶν σωφρονιζόμενοι καὶ βελτίους γινόμενοι τὸ οὐαὶ τῆς αἰωνίου κολάσεως πάντως ἐκδέξονται. Τὸ δὲ γλυκανθῆναι ἐν τῷ στόματι τοῦ προφήτου τὴν κεφαλίδα τοῦτο δηλοῖ, ὅτι ὁ ἀεὶ μελετῶν τὰ προειρημένα καὶ προσέχων τοῖς ἀπειλουμένοις τε καὶ ἐπηγγελμένοις τῇ ἐλπίδι γλυκαίνεται.

ΕΡΩΤΗΣΙΣ 142

Τίνος χάριν μετὰ δέκα ἡμέρας τῆς ἀναλήψεως τοῦ Κυρίου τὸ Πνεῦμα κατῆλθεν;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν τὰ θεῖα πεπαιδευμένων, ὅτι ἐπειδὴ ἐννέα τάξεις κατὰ τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην αἱ ἀγγελικαὶ δυνάμεις εἰσίν, ἀνιὼν κατὰ τὸ ἀνθρώπινον ὁ Κύριος –κατὰ γὰρ τὸ θεῖον πάντα πληροῖ– ἑκάστῳ τάγματι μίαν ἡμέραν ἀπένειμεν

20. Λουκᾶ 18,7.
21. Ἰεζ. 2,9–10. 22. Ἰεζ. 3,3. 23. Πράξ. 2,1–4.
24. Διονυσίου Ἀρεοπαγίτου, *Περὶ οὐρανίου Ἱεραρχίας*, VI 2 (PG

ση ἔργα. Καὶ ἂν ὁ νοῦς, λέει, μὲ τὴν ἔντονη καὶ φιλόπονη ἐπιμονὴ μπορέσει νὰ κατορθώσει καὶ τὰ ὑπερφυσικά, πόσο περισσότερο, λέει, ὁ Θεὸς θ' ἀκούσει αὐτοὺς ποὺ φωνάζουν πρὸς αὐτὸν μὲ ἐκτενὴ προσευχὴ καὶ ἀναιδὴ ἐπιμονή;[20]

ΕΡΩΤΗΣΗ 141

Τί σημαίνει ἡ ἀρχὴ τοῦ βιβλίου ποὺ δόθηκε στὸν Ἰεζεκιὴλ τὸν προφήτη, στὸ ὁποῖο εἶχε γραφεῖ «θρῆνος καὶ μέλος καὶ οὐαί»[21], καὶ πῶς ἔγινε γλυκὺ στὸ στόμα του[22];

ΑΠΟΚΡΙΣΗ

Τὸ πρωτοσέλιδο τοῦ βιβλίου εἶναι ὁ θεῖος λόγος· σ' αὐτὸν ἔχει γραφτεῖ 'θρῆνος', δηλαδὴ οἱ ἀπειλὲς τῶν κολάσεων, 'μέλος', οἱ ὑποσχέσεις τῶν ἀγαθῶν, καὶ 'οὐαί', ἐπειδὴ ὅσοι δὲ σωφρονίζονται οὔτε ἀπὸ τὸ φόβο τῶν βασανιστηρίων οὔτε ἀπὸ τὴν προτροπὴ τῶν ἐπαγγελιῶν οὔτε βελτιώνονται, ὁπωσδήποτε τοὺς περιμένει τὸ 'οὐαὶ τῆς αἰώνιας κόλασης. Τὸ ὅτι ἔγινε γλυκὺ τὸ πρωτοσέλιδο μέσα στὸ στόμα τοῦ προφήτη δηλώνει ὅτι, ὅποιος μελετᾶ πάντοτε ὅσα εἰπώθηκαν πρωτύτερα καὶ δίνει προσοχὴ στὶς ἀπειλὲς καὶ στὶς ὑποσχέσεις, γλυκαίνεται ἀπὸ τὴν ἐλπίδα.

ΕΡΩΤΗΣΗ 142

Γιὰ ποιό λόγο κατέβηκε τὸ Πνεῦμα τοῦ Κυρίου δέκα ἡμέρες μετὰ τὴν Ἀνάληψη[23];

ΑΠΟΚΡΙΣΗ

Λένε μερικοὶ ποὺ ἔχουν μελετήσει τὰ θεῖα, ἐπειδὴ οἱ ἀγγελικὲς δυνάμεις εἶναι ἐννέα τάγματα, κατὰ τὸ Διονύσιο τὸν Ἀρεοπαγίτη[24], ἀνεβαίνοντας ὁ Κύριος σὰν ἄνθρωπος –γιατὶ σὰν Θεὸς γεμίζει τὰ πάντα[25]– ἀφιέρωσε σὲ κάθε τάγμα μία ἡμέρα

3,200D1-2).

25. Ἐφ. 1,23.

ἀπὸ τῆς ἐσχάτης ἕως τῆς τελευταίας· ἐδέοντο γὰρ καὶ αὗται τῆς τοῦ Κυρίου πρὸς αὐτας ἐπιδημίας· ἐν αὐτῷ γάρ, κατὰ τὸν Ἀπόστολον, ἀνακεφαλαιώθη οὐ μόνον τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ ἐν οὐρανῷ. Καὶ μετὰ τοῦτο ἐνεφανίσθη τῷ Θεῷ καὶ Πατρὶ καὶ οὕτω τὸ Πνεῦμα κάτεισιν.

Ἔστι δὲ θεωρῆσαι τὸ προκείμενον καὶ κατ᾽ ἄλλον θεωρίας τρόπον· ἐπειδὴ γὰρ ὁ τοῦ Θεοῦ λόγος ἐν ταῖς αὐτοῦ δέκα ἐντολαῖς ἐγκέκρυπται, σωματοῦται δὲ ἐν ἡμῖν συγκαταβαίνων ἡμῖν διὰ τῆς πράξεως, αὖθίς τε ἀνάγει ἡμᾶς διὰ τῆς γνώσεως ὑψῶν ἡμᾶς, μέχρις οὗ ἔλθωμεν εἰς τὴν πάντων ὑψηλοτέραν τῶν ἐντολῶν, τὴν λέγουσαν «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν»· ὅτε γὰρ ἐκ πάντων ἀφεθείς, μᾶλλον δὲ πάντα ἀφεὶς ὁ ἡμέτερος νοῦς εἰς αὐτὸν τὸν Θεὸν καταλήξει, τότε τὰς πυρίνας γλώσσας δέχεται, θεὸς κατὰ χάριν γινόμενος.

ΕΡΩΤΗΣΙΣ 143

Τί δήποτε λέγοντος τοῦ Λουκᾶ ἐν ταῖς Πράξεσιν περὶ τοῦ Παύλου ὅτι «ἔσπευδεν, εἰ δυνατὸν ἦν αὐτῷ, ποιῆσαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς εἰς Ἱεροσόλυμα», φαίνεται γονυκλισίαν ποιήσας, ὃ τοῖς κανόσιν ἀπηγόρευται;

ΑΠΟΚΡΙΣΙΣ

Οὐ περὶ αὐτῆς τῆς Πεντηκοστῆς ἐν ᾗ τὸ Πνεῦμα κατῆλθεν λέγει, ἀλλ᾽ ἐπειδὴ αἱ πεντήκοντα ἡμέραι «ἡμέρα» λέγεται «τῆς Πεντηκοστῆς», ἔσπευδεν ὁ Παῦλος τὴν ἀπὸ τῆς πασχαλίας πρώτην ἡμέραν ποιῆσαι εἰς Ἱεροσόλυμα, ὡς δῆλόν ἐστιν ὅτι ἐν ταῖς νηστείαις ἔκλινεν γόνυ.

---

26. Ἐφ. 1,10. 27. Β΄ Κορ. 11,31.
28. Δευτ. 6,4. 29. Πράξ. 2,3.

ἀπὸ τὸ κατώτατο ὡς τὸ ἀνώτατο· γιατὶ εἶχαν κι αὐτὰ ἀνάγκη ἀπὸ τὴν ἐπιδημία τοῦ Κυρίου σ' αὐτά. Γιατὶ σ' αὐτόν, κατὰ τὸν Ἀπόστολο, ἀνακεφαλαιώθηκαν ὄχι μόνο τὰ ἐπίγεια ἀλλὰ καὶ τὰ ἐπουράνια[26]. Ἔπειτ' ἀπὸ αὐτὸ παρουσιάστηκε στὸν Θεὸ καὶ Πατέρα καὶ ἔτσι κατεβαίνει τὸ Πνεῦμα[27].

Μποροῦμε νὰ ἐξηγήσομε τὸ ζήτημα καὶ μὲ ἄλλο πνευματικὸ τρόπο. Ἐπειδὴ δηλαδὴ ὁ Λόγος τοῦ Θεοῦ εἶναι κρυμμένος μέσα στὶς δέκα ἐντολὲς καὶ σωματώνεται μέσα μας δείχνοντας σὲ ἐμᾶς συγκατάβαση ἔμπρακτα, καὶ πάλι μᾶς ἀνεβάζει μὲ τὴ γνώση ὑψώνοντάς μας, ὥσπου νὰ φτάσομε στὴν ὑψηλότερη ἀπὸ ὅλες ἐντολὴ ποὺ λέει «ὁ Κύριος ὁ Θεός σου, εἶναι ἕνας Κύριος»[28], ὅταν λοιπὸν ἐλευθερωμένος ἀπὸ ὅλα ἢ καλύτερα ὅταν τὰ ἐγκαταλείψει ὅλα ὁ νοῦς μας καὶ καταλήξει στὸν ἴδιο τὸ Θεό, τότε δέχεται τὶς πύρινες γλῶσσες[29] καὶ γίνεται θεὸς κατὰ χάρη.

ΕΡΩΤΗΣΗ 143

Γιατί, ἐνῶ λέει ὁ Λουκᾶς στὶς Πράξεις γιὰ τὸν Παῦλο ὅτι «βιαζόταν μήπως μποροῦσε νὰ κάνει τὴν ἡμέρα τῆς Πεντηκοστῆς στὰ Ἱεροσόλυμα»[30], φαίνεται νὰ κάνει προσευχὴ μὲ γονυκλισία, πράγμα ποὺ ἔχει ἀπαγορευτεῖ ἀπὸ τοὺς κανόνες[31];

ΑΠΟΚΡΙΣΗ

Δὲν μιλάει γι' αὐτὴν τὴν Πεντηκοστή, κατὰ τὴν ὁποία κατέβηκε τὸ Πνεῦμα τοῦ Θεοῦ, ἀλλὰ ἐπειδὴ οἱ πενήντα μέρες καλοῦνται ἡμέρες τῆς Πεντηκοστῆς[32], βιαζόταν ὁ Παῦλος τὴν πρώτη ἀπὸ τὴν πασχάλια ἡμέρα νὰ τὴν κάνει στὰ Ἱεροσόλυμα, καὶ γίνεται φανερὸ ὅτι στὶς ἡμέρες τῶν νηστειῶν ἔκανε γονυκλισία.

---

30. Πράξ. 20,16.
31. Πράξ. 20,36.
32. Πράξ. 20,16.

ΕΡΩΤΗΣΙΣ 144

Τί δήποτε ὁ ἀπόστολος Παῦλος Ῥωμαῖον ἑαυτὸν ἀποκαλεῖ καὶ πρὸς χιλίαρχον διαλεγόμενος ἔφη ὅτι «ἐγὼ δὲ καὶ γεγέννημαι»;

ΑΠΟΚΡΙΣΙΣ

Οἱ κατὰ πᾶσαν χώραν, ὡς δή τι μέγα τὸ Ῥωμαῖοι καλεῖσθαι νομίζοντες, παρέχοντες δόσεις ἀπεγράφοντο Ῥωμαῖοι καὶ ἔτρεχεν εἰς τὸ γένος τὸ ὄνομα· ἐπειδὴ οὖν καὶ οἱ γονεῖς τοῦ Ἀποστόλου ὄντες ἐν Ταρσῷ ἀπεγράφησαν εἰς τὸ καλεῖσθαι Ῥωμαῖοι, εἰκότως ὁ Ἀπόστολος ὡς ἐξ αὐτῶν γεννηθεὶς λέγει ὅτι «ἐγὼ δὲ καὶ γεγέννημαι».

ΕΡΩΤΗΣΙΣ 145

Ἐκ τοῦ Ἀμὼς τοῦ προφήτου· «καὶ συναθροισθήσονται πόλεις δύο ἢ τρεῖς εἰς μίαν πόλιν τοῦ πιεῖν ὕδωρ καὶ οὐ μὴ ἐμπλησθῶσιν». Τί δηλοῦσιν αἱ πόλεις;

ΑΠΟΚΡΙΣΙΣ

Πόλεις ἐνταῦθα τὰς ψυχὰς ὑποληπτέον διὰ τὸ ὥσπερ οἰκίαις συγκεῖσθαι καὶ δεκτικὰς εἶναι τῶν ἀρετῶν· δύο δὲ πόλεις τὰς διὰ πράξεως καὶ θεωρίας πεπολισμένας ψυχάς· τρεῖς δὲ τὰς διὰ τῆς ἀνενδυάστου πίστεως τὴν θεολογίαν κατορθούσας. Ἐπεὶ οὖν ὁ προφήτης ἐν εἴδει κατάρας τοῦτο ἔθηκεν, σημαίνει ὅτι ἡνίκα γένηται λιμός, οὐκ ἄρτου καὶ ὕδατος, «ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου», κἂν εἰς τὸ μέτρον φθάσωσιν τῶν εἰρημένων ἀρετῶν αἱ τοιαῦται ψυχαί, ἀμελήσωσι δέ, δοκοῦσι μὲν ζητεῖν γνῶσιν, ἐπειδὴ δὲ τὴν πρᾶξιν οὐ μετέρχονται, ἀποτυγχάνουσιν· κἂν εἰ συνάγεσθαι δοκοῦσιν εἰς μίαν πόλιν, τουτέστιν εἰς τὸν διδάσκαλον, οὐκ ἐμπιπλῶνται γνώσεως· οὐδὲ γὰρ αὐτῷ

33. Πράξ. 22,25,27· 22,28.
34. Πράξ. 23,3,28.

ΕΡΩΤΗΣΗ 144

Γιὰ ποιό λόγο ὁ Παῦλος ἀποκαλεῖ τὸν ἑαυτό του Ρωμαῖο καὶ μιλώντας πρὸς τὸ χιλίαρχο εἶπε «ἐγὼ ὅμως εἶμαι καὶ γεννημένος»[33];

ΑΠΟΚΡΙΣΗ

Οἱ κάτοικοι ὁποιασδήποτε χώρας, θεωρώντας μεγάλο πράγμα νὰ καλοῦνται Ρωμαῖοι, ἔδιναν χρήματα καὶ πολιτογραφοῦνταν Ρωμαῖοι καὶ τὸ ὄνομα γινόταν οἰκογενειακό. Ἐπειδὴ λοιπὸν καὶ οἱ γονεῖς τοῦ Ἀποστόλου ζώντας στὴν Ταρσὸ γράφτηκαν νὰ καλοῦνταν Ρωμαῖοι, εὔλογα ὁ Ἀπόστολος ποὺ γεννήθηκε ἀπὸ αὐτοὺς λέει «ἐγὼ ὅμως εἶμαι καὶ γεννημένος»[34].

ΕΡΩΤΗΣΗ 145

Ἀπὸ τὸν προφήτη Ἀμὼς «καὶ θὰ συγκεντρωθοῦν δύο ἢ τρεῖς πόλεις σὲ μία γιὰ νὰ πιοῦν νερὸ καὶ δὲ θὰ τὸ χορτάσουν»[35]. Τί δηλώνουν οἱ πόλεις;

ΑΠΟΚΡΙΣΗ

Πόλεις ἐδῶ πρέπει νὰ ἐννοήσομε τὶς ψυχές, γιατὶ εἶναι συγκροτημένες ὅπως τὰ σπίτια καὶ ἐπιδέχονται τὶς ἀρετές. Δύο πόλεις εἶναι οἱ ψυχὲς ποὺ ἔχουν οἰκοδομηθεῖ μὲ τὴν πράξη καὶ τὴ θεωρία. Τρεῖς εἶναι οἱ πόλεις ποὺ μὲ ἀνεπιφύλακτη πίστη κατορθώνουν τὴ θεολογία. Ἐπειδὴ λοιπὸν ὁ προφήτης τὸ διατύπωσε αὐτὸ ὡς κατάρα, σημαίνει ὅτι 'ὅταν πέσει πείνα, ὄχι ψωμιοῦ καὶ νεροῦ, ἀλλὰ πείνα πρὸς ἀκουὴ τοῦ λόγου τοῦ Θεοῦ[36], ἀκόμα κι ἂν φτάσουν οἱ ψυχὲς αὐτὲς στὸ βαθμὸ τῶν ἀρετῶν ποὺ εἴπαμε, δείξουν ὅμως ἀμέλεια, νομίζουν βέβαια ὅτι ἐπιδιώκουν τὴ γνώση, ἐπειδὴ ὅμως δὲν ἀσκοῦν τὴν πράξη, ἀποτυγχάνουν. Ἀκόμα κι ἂν πιστεύουν ὅτι μαζεύονται σὲ μία πόλη, δηλαδὴ στὸν δάσκαλο, δὲ χορταίνουν γνώση. Γιατὶ οὔτε στὸ

35. Ἀμὼς 4,8. 36. Ἀμὼς 8,11.

δίδοται τῆς διδασκαλίας ἡ χάρις, τοῦ δύνασθαι ποτίσαι τοὺς ἐνδεεῖς τὴν θείαν γνῶσιν.

ΕΡΩΤΗΣΙΣ 146

Ἐκ τοῦ αὐτοῦ· «πόλις ἐξ ἧς ἐξεπορεύοντο χίλιοι, ὑπολειφθήσονται ἑκατόν, καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατόν, ὑπολειφθήσονται δέκα».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ πᾶς ἀριθμὸς εἰς τέσσαρας δεκάδας ἐμπεριέχεται –οἷον, ἡ πρώτη ἀπὸ τῆς μονάδος δεκάς, εἶτα πάλιν αὐτὴ τῆς ἑκατοντάδος ἐστὶ μονάς, εἶτα ἑκατοντὰς μονάς ἐστι τῆς χιλιάδος, πάλιν ἡ χιλιὰς μονάς ἐστι τῆς μυριάδος –ἐπεὶ οὖν καὶ ὁ τῆς ἀρετῆς ἀριθμὸς κατὰ πρόσβασιν πληθύνεται καὶ τὴν προσθήκην λαμβάνει, τοῦτο, οἶμαι, δηλοῦσθαι διὰ τῶν ἀριθμῶν, ὅτι τὰς δέκα ἐντολὰς οὕτω κατορθώσας, ὥστε ἑκάστην ἐντολὴν ἐμπεριέχεσθαι ταῖς λοιπαῖς, οὗτος δεκαπλασιάσας ταύτας ἦλθεν εἰς τὴν ἑκατοντάδα καὶ κατὰ τὴν Σάρραν τὸ ρ προσθήκην ἐδέξατο. Ὅστις δὲ καὶ τὴν ἐπὶ τούτοις γνῶσιν κατώρθωσε δεκαπλασιάσας τὰ ἑκατὸν ἦλθεν εἰς τὴν χιλιάδα. Ἐπειδὴ δὲ καὶ τοῦτο τῷ προφήτῃ ἐν εἴδει κατάρας εἴρηται, τοῦτο δηλοῖ ὅτι διὰ τῆς ἀμελείας ὁ εἰς τὸ μέτρον τῆς κατὰ τὴν ἀρετὴν χιλιάδος ἐλθὼν ὑφίεται καὶ εἰς ἑκατοντάδα ἔρχεται· ὡσαύτως καὶ ὁ ἀπὸ τῆς κατὰ τὴν πρᾶξιν ἑκατοντάδος εἰς μόνην τὴν κατὰ τὸ ἦθος τῶν ἐντολῶν παρατήρησιν ἔρχεται ἢ καὶ ἰουδαϊκῶς ταύτας ἐπιτελεῖ.

ΕΡΩΤΗΣΙΣ 147

Ἐκ τοῦ αὐτοῦ· «οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου, καὶ αὕτη ἐστὶν σκότος καὶ οὐ φῶς, ὃν τρόπον ὅτ' ἂν φύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος καὶ ἐμπέσῃ αὐτῷ ἄρκος καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ

37. Ἀμὼς 5,3. 38. Γεν. 17,15.

δάσκαλο δὲν δίνεται ἡ χάρη τῆς διδασκαλίας, γιὰ νὰ μπορεῖ νὰ ποτίσει ὅσους στεροῦνται τὴ θεία γνώση.

ΕΡΩΤΗΣΗ 146

Ἀπὸ τὸν ἴδιο· «πόλη ἀπὸ τὴν ὁποία ἔβγαιναν χίλιοι, θ' ἀπομείνουν ἑκατό, κι ἀπὸ ἐκείνη ποὺ ἔβγαιναν ἑκατό, θὰ μείνουν δέκα»[37].

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ ὅλος ἀριθμὸς περιέχεται σὲ τέσσερες δεκάδες –ὅπως ἡ πρώτη ἀπὸ τὴ μονάδα δεκάδα, ἔπειτα πάλι αὐτὴ εἶναι ἡ μονάδα τῆς ἑκατοντάδας κι ἔπειτα ἡ ἑκατοντάδα εἶναι ἡ μονάδα τῆς χιλιάδας καὶ ἡ χιλιάδα πάλι εἶναι μονάδα τῆς μυριάδας– ἐπειδὴ λοιπὸν καὶ ὁ ἀριθμὸς τῆς ἀρετῆς πληθύνεται προχωρώντας καὶ παίρνει κάποια προσθήκη, νομίζω ὅτι μὲ τοὺς ἀριθμοὺς δηλώνεται τοῦτο, ὅτι ὅποιος κατόρθωσε τὶς δέκα ἐντολὲς μ' αὐτὸ τὸν τρόπο, ὥστε κάθε ἐντολὴ νὰ περιέχεται στὶς λοιπές, αὐτὸς δεκαπλασιάζοντάς τες ἔφτασε στὴν ἑκατοντάδα καὶ ἀνάλογα μὲ τὴ Σάρρα δέχτηκε τὴν προσθήκη τοῦ ρ[38]. Ὅποιος τώρα κατόρθωσε κι αὐτὴν τὴ γνώση δεκαπλασιάζοντας τὸ ἑκατὸ ἔφτασε στὴ χιλιάδα. Ἐπειδὴ ὅμως καὶ αὐτὸ τὸ εἶπε ὁ προφήτης στὸ εἶδος τῆς κατάρας, δηλώνοντας αὐτό, ὅτι ὅποιος ἔφτασε μὲ τὴν ἀμέλεια στὸ μέτρο τῆς χιλιάδας τῆς ἀρετῆς, ὑποχωρεῖ καὶ κατεβαίνει στὴν ἑκατοντάδα· ὅμοια κι αὐτὸς ἀπὸ τὴν ἑκατοντάδα τῆς πράξης κατεβαίνει μόνο στὴ φύλαξη ἀπὸ τὶς ἐντολὲς ὅλες μέσω τῆς ἐντολῆς τῆς ἠθικῆς ἢ καὶ τὴν ἐπιτελεῖ μὲ τὸν ἰουδαϊκὸ τρόπο.

ΕΡΩΤΗΣΗ 147

Ἀπὸ τὸν ἴδιο· «ἀλίμονο γι' αὐτοὺς ποὺ ἐπιθυμοῦν τὴν ἡμέρα τοῦ Κυρίου κι αὐτὴ εἶναι σκοτάδι κι ὄχι φῶς, ὅπως ὅταν ξεφύγει ἄνθρωπος ἀπὸ ἕνα λιοντάρι καὶ πέσει ἐπάνω του ἀρκούδα καὶ ὁρμήσει μέσα στὸ σπίτι

καὶ ἀπερείσηται τὰς χεῖρας αὐτοῦ εἰς τὸν τοῖχον καὶ δάκῃ αὐτὸν ὄφις».

ΑΠΟΚΡΙΣΙΣ

«Ἡμέρα Κυρίου» ἐστὶν ὁ φωτισμὸς καὶ ἡ γνῶσις τοῦ Κυρίου· ὅστις οὖν ἐπιθυμεῖ ἐπιλαβέσθαι γνώσεως Θεοῦ ἄνευ πράξεως, οὗτος εἰκότως ταλανίζεται· ὑπὸ γὰρ τῶν παθῶν διοχλούμενος, θυμοῦ τε καὶ ἐπιθυμίας, φεύγειν τὸ δακεῖν ζητῶν ἐκ τοῦ λέοντος, τουτέστι τοῦ θυμοῦ, ἐμπίπτει εἰς τὴν ἄρκον τῆς ἐπιθυμίας· εἶτα ἐκ τούτων στενοχωρούμενος ἐμπηδᾷ εἰς τὸν οἶκον καὶ τὰς χεῖρας εἰς τὸν τοῖχον ἀπερείδεται καὶ δάκνει αὐτὸν ὄφις· οἶκός ἐστιν ἡ ψυχή, τεῖχος δὲ τὸ σῶμα· ἐπειδὰν οὖν τὰς πρακτικὰς τῆς ψυχῆς δυνάμεις τῇ ἀπολαύσει τοῦ σώματος ἀπερείσηται, ἐξέρχεται ἡ ἡδονὴ –αὐτὴ γὰρ ὁ ὄφις– καὶ δάκνει αὐτόν· δι' ἑκάστης γὰρ τοῦ σώματος αἰσθήσεως, ὥσπερ δι' ὀπῆς ἕρπουσα ἡ ἡδονή, δάκνει τὴν ἀθλίαν ψυχήν. Τῷ οὖν οὕτως ἀσθενοῦντι τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ὁ τῆς γνώσεως ἥλιος σκότος ἐστὶ καὶ τύφλωσις.

ΕΡΩΤΗΣΙΣ 148

Ἐκ τοῦ ψαλτηρίου· «τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως».

ΑΠΟΚΡΙΣΙΣ

Ὡς ἁγνίζοντα ἡμᾶς ἀπὸ πάσης κηλῖδος ἁμαρτιῶν εἴρηνται «ἁγνά»· «ἀργύριον δὲ πεπυρωμένον» διὰ τὸ διαφανὲς αὐτῶν καὶ φωτιστικὸν ὡς ἐν ἀργύρῳ· καὶ διὰ τὸ θεῖον αὐτῶν καὶ δοκιμαστικὸν τῶν ἡμετέρων καρδιῶν· γῆ γὰρ ἡ καρδία ἐν τῷ Εὐαγγελίῳ εἴρηται· «κεκαθαρμένον δὲ ἑπταπλασίως» ὅτ' ἂν ἑκάστην ἐντολὴν ἑπταπλασίως καθαίρομεν. Καλὸν δὲ ἐπὶ μιᾶς

39. Ἀμὼς 1,18219. 40. Ἀμὼς 5,18.
41. Ψαλμ. 11,7.

του καὶ στηρίξει τὰ χέρια του στὸν τοῖχο καὶ τὸν δαγκώσει φίδι»[39].

ΑΠΟΚΡΙΣΗ

Ἡμέρα Κυρίου[40] εἶναι ὁ φωτισμὸς καὶ ἡ γνώση ποὺ μᾶς δίνει ὁ Κύριος. Ὅποιος λοιπὸν ἐπιθυμεῖ ν' ἀποχτήσει τὴ γνώση τοῦ Θεοῦ χωρὶς ἔργα, αὐτὸς εὔλογα ταλανίζεται. Ἐπειδὴ τὸν κυνηγοῦν τὰ πάθη, ὁ θυμὸς καὶ ἡ ἐπιθυμία, ζητώντας ν' ἀποφύγει τὸ λιοντάρι, δηλαδὴ τὸ θυμό, πέφτει πάνω στὴν ἀρκούδα τῆς ἐπιθυμίας. Πιεζόμενος ἔπειτα ἀπὸ αὐτὰ πηδᾶ μέσα στὸ σπίτι, στηρίζει τὰ χέρια του στὸν τοῖχο καὶ τὸν δαγκώνει τὸ φίδι. Σπίτι εἶναι ἡ ψυχὴ καὶ τοῖχος τὸ σῶμα. Ὅταν λοιπὸν στηρίξει τὶς πρακτικὲς δυνάμεις τῆς ψυχῆς ἐπάνω στὴ σωματικὴ ἀπόλαυση, βγαίνει ἡ ἡδονὴ –γιατὶ αὐτὸ εἶναι τὸ φίδι– καὶ τὸν δαγκώνει. Γιατὶ ἀπὸ κάθε αἴσθηση, σὰν ἀπὸ κάποια τρύπα, σέρνεται ἡ ἡδονὴ καὶ δαγκώνει τὴ δύστυχη ψυχή. Γι' αὐτὸν λοιπὸν ποὺ ἔχει αὐτὴ τὴν ἀσθένεια στὰ μάτια τῆς ψυχῆς ὁ ἥλιος τῆς γνώσης εἶναι σκοτάδι καὶ τύφλωση.

ΕΡΩΤΗΣΗ 148

Ἀπὸ τὸ Ψαλτήρι· «τὰ λόγια τοῦ Κυρίου εἶναι λόγια ἁγνά, ἀσήμι ποὺ ἀναχωνεύτηκε μὲ τὴ φωτιά, δοκιμασμένο στὴ γῆ, καθαρισμένο ἑφτὰ φορές»[41].

ΑΠΟΚΡΙΣΗ

Λέγονται τὰ λόγια τοῦ Κυρίου ἁγνὰ ἐπειδὴ μᾶς ἐξαγνίζουν ἀπὸ κάθε κηλίδα ἁμαρτίας. Λέγονται ἀσήμι πυρακτωμένο, ἐπειδὴ εἶναι φωτεινὰ καὶ φωτίζουν ὅπως τὸ ἀσήμι κι ἐπειδὴ εἶναι θεϊκὰ καὶ δοκιμάζουν τὶς καρδιές μας· γιατὶ ἡ καρδιὰ λέγεται μέσα στὸ Εὐαγγέλιο γῆ[42]. Λέγονται καθαρισμένο ἑφτὰ φορές[43], ὅταν κάθε ἐντολὴ τὴν καθαρίζομε ἑφτὰ φορές. Εἶναι καλὸ ὅμως

42. Ματθ. 13,19.
43. Ψαλμ. 1,7.

ἐντολῆς σαφηνισθῆναι τὸ λεγόμενον· διαγορεύει ὁ νόμος τὸ «οὐ φονεύσῃς»· ὅστις οὖν ταύτην τὴν ἐντολὴν θέλει ἑπταπλασίως καθᾶραι, οὐ μόνον τοῦ διὰ χειρὸς φόνου ἀπέχεται, ἀλλὰ κἂν ἴδῃ πεινῶντα τρέφει, κἂν ἴδῃ διψῶντα ποτίζει, κἂν ἴδῃ γυμνὸν περιβάλλει, κἂν ἴδῃ ξένον συνάγει, κἂν ἴδῃ νοσοῦντα οὐ παρορᾷ, κἂν ἐν φυλακῇ ἴδῃ τρέχει πρὸς αὐτόν· καὶ ἁπλῶς ὁ ἑνὸς τούτων ἀμελήσας κατὰ τοῦτον φόνον εἰργάσατο· ἔασε γὰρ ὅσον τὸ ἐπ' αὐτῷ ἀποθανεῖν, δυνάμενος ἀνακτήσασθαι τὸν δεόμενον αὐτοῦ. Συνάπτων οὖν τις τὰς ἀπηριθμημένας ἓξ τοῦ Κυρίου ἐντολὰς τῆς νομικῆς «οὐ φονεύσῃς» ἐντολῆς, καθαίρει τὸ λόγιον Κυρίου ἑπταπλασίως· τοῦτο δὲ καὶ ἐπὶ ἑκάστης ἐντολῆς δυνατὸν ἐφαρμόζειν.

ΕΡΩΤΗΣΙΣ 149

Ἐκ τῶν Παροιμιῶν· «σπάνιον εἰσάγαγε σὸν πόδα πρὸς τὸν σεαυτοῦ φίλον, μήποτε πλησθείς σου μισήσῃ σε».

ΑΠΟΚΡΙΣΙΣ

Φίλον ἐνταῦθα τὸ σῶμα ἡμῶν λέγει διὰ τὴν πρὸς αὐτὸ φυσικὴν ἕνωσίν τε καὶ στοργήν. Παραινεῖ οὖν ὁ λόγος τὴν περὶ τὸ σῶμα πρόνοιαν μὴ πεφροντισμένην ποιεῖσθαι, ἀλλὰ μόνῳ τῷ τῆς ψυχῆς ἴχνει τὴν αὐτοῦ πρόνοιαν ποιεῖσθαι, καὶ τοῦτο δὲ σπανίως, μήποτε, τὴν ἀνάπαυσιν αὐτοῦ περὶ πολλοῦ ποιουμένου σου, τὰ τῶν ἐχθρῶν καὶ μισούντων ἐν σοὶ ἐνδείξηται.

ΕΡΩΤΗΣΙΣ 150

Τί σημαίνει τὸ ἀπὸ τοῦ πατριάρχου Ἰακὼβ λεγόμενον τὸ «ἐγὼ ἀπετίννυον κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός»;

---

44. Ἐξ. 20,15. 45. Ματθ. 25,35–36.

νὰ διασαφηνίσομε τὸ λόγο μας ἐπάνω σὲ μιά ἐντολη· Προστάζει ὁ νόμος «δὲ θὰ φονεύσεις»[44]. Ὅποιος λοιπὸν θέλει νὰ καθαρίσει ἑφτὰ φορὲς αὐτὴ τὴν ἐντολή, δὲν ἀποφεύγει μόνο τὸ φόνο μὲ τὸ χέρι, ἀλλὰ κι ἂν δεῖ πεινασμένο τοῦ δίνει τροφή, κι ἂν δεῖ διψασμένο τοῦ δίνει νερό, κι ἂν δεῖ γυμνὸ τὸν ντύνει, κι ἂν δεῖ ξένο τὸν περιμαζεύει, κι ἂν δεῖ ἄρρωστο δὲν τὸν προσπερνᾶ, κι ἂν δεῖ κάποιον στὴ φυλακή, τρέχει σ' αὐτόν[45]· καὶ γενικὰ ὅποιος ἀδιαφορήσει γιὰ ἕναν ἀπὸ αὐτούς, προξενεῖ σ' αὐτὸν φόνο. Γιατὶ τὸν ἄφησε ὅσο ἦταν στὸ χέρι του νὰ πεθάνει, ἐνῶ μποροῦσε νὰ σώσει αὐτὸν ποὺ τὸν παρακαλοῦσε. Συνδέοντας λοιπὸν κάποιος τὶς ἕξι ἐντολὲς τοῦ Κυρίου ποὺ ἀπαριθμήσαμε μὲ τὴν ἐντολὴ τοῦ νόμου «δὲ θὰ φονεύσεις» καθαρίζει τὸ λόγο τοῦ Κυρίου ἑφτὰ φορές. Αὐτὸ μπορεῖ νὰ γίνει καὶ γιὰ κάθε ἐντολή.

ΕΡΩΤΗΣΗ 149

Ἀπὸ τὶς Παροιμίες· «νὰ ἐπισκέπτεσαι σπάνια τὸν φίλο σου, μήπως σὲ χορτάσει κάποτε καὶ σὲ μισήσει»[46].

ΑΠΟΚΡΙΣΗ

Φίλο ἐδῶ ὀνομάζει τὸ σῶμα μας ἐξαιτίας τῆς φυσικῆς ἑνώσης καὶ στοργῆς μας πρὸς αὐτό. Ὁ λόγος αὐτὸς μᾶς προτρέπει νὰ μὴ παρέχομε στὸ σῶμα πάρα πολὺ ἐπιμελημένη πρόνοια, ἀλλὰ νὰ τὸ φροντίζομε μόνο μὲ τὸ ἐλάχιστο τῆς φροντίδας ποὺ δείχνομε στὴν ψυχή, καὶ αὐτὸ σπάνια, μήπως, φροντίζοντας ὑπερβολικὰ τὴν ἀνάπαυσή του, σοῦ παρουσιάζει συμπεριφορὰ τῶν ἐχθρῶν σου καὶ ὅσων σὲ μισοῦν.

ΕΡΩΤΗΣΗ 150

Τί σημαίνει αὐτὸ ποὺ λέγεται ἀπὸ τὸν πατριάρχη Ἰακώβ, «ὅ,τι σοῦ ἔκλεβαν τὴ μέρα ἢ τὴ νύχτα ἐγὼ σοῦ τὸ πλήρωνα ἀπὸ τὰ δικά μου»[47];

46. Παρμ. 25,17. 47. Γεν. 31,39.

ΑΠΟΚΡΙΣΙΣ

«Κλέμματα ἡμέρας» νόησον τὰ διὰ τῶν ἔξωθεν αἰσθήσεων συμβαίνοντα ἡμῖν ἀπὸ τοῦ πονηροῦ ἡττήματα, ὑπὲρ ὧν ὁ πατριάρχης ἀπετίννυε τοὺς τῆς ἀσκήσεως πόνους. «Κλέμματα δὲ νυκτός» εἰσιν ἅπερ διὰ τῶν ἔνδον λογισμῶν συλᾷ ἡμᾶς ὁ ἐχθρός, ὑπὲρ ὧν χρὴ ἡμᾶς κατὰ τὸν πατριάρχην ἀποτιννύειν πόνους καὶ ἀγρυπνίας καὶ τὰ λοιπὰ τῆς ἀσκήσεως εἴδη.

ΕΡΩΤΗΣΙΣ 151

Τί σημαίνει ἡ κατὰ τὸν νόμον περὶ τῆς ἀγνοίας τοῦ φόνου νευροκοπουμένη ἐν τῇ φάραγγι δάμαλις;

ΑΠΟΚΡΙΣΙΣ

Σημαίνει διὰ τούτων τὸ πνευματικὸν βούλημα τῆς Γραφῆς, ὅτι οὐ μόνον περὶ τῶν προδήλων ἁμαρτημάτων χρὴ δεδοικέναι ὡς μέλλοντας ὑπὲρ αὐτῶν διδόναι δίκην, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀγνώστως ἡμῖν πραττομένων δεδοικότας, ἀεὶ τὴν δάμαλιν, τουτέστι τὴν σάρκα ἡμῶν, νευροκοπεῖν ἐν τῇ φάραγγι τῆς ἐγκρατείας καὶ τῆς ἀσκήσεως. Διὰ τοῦτο δὲ τὴν δάμαλιν ζῶσαν κατελίμπανον, ἵνα καὶ ἡμεῖς μάθωμεν μὴ τὸ σῶμα ἀποκτέννειν, ἀλλὰ τὰς ἐπανισταμένας ἡδονὰς νευροκοπεῖν καὶ δαμάζειν.

ΕΡΩΤΗΣΙΣ 152

Τί σημαίνουσι Ναδὰβ καὶ Ἀβιοὺδ οἱ «προσενέγκαντες πῦρ ἀλλότριον» καὶ διὰ τοῦτο κατακαέντες;

ΑΠΟΚΡΙΣΙΣ

Οἱ ἀεὶ τῷ Θεῷ ἱερατεύοντες καὶ προσάγοντες ἑαυτοὺς τῷ Θεῷ θυσίαν ζῶσαν, καὶ τὴν ζέσιν τοῦ ἁγίου Πνεύματος ἔχοντες

---

48. Δευτ. 21,1–4. 49. Λευιτ. 14,1–2. Ἀριθμ. 3,4,26,61.
50. Ρωμ. 12,1.

ΑΠΟΚΡΙΣΗ

Κλοπιμαῖα τῆς ἡμέρας νὰ ἐννοήσεις ὅσες ἧττες ἀπὸ τὸν πονηρὸ μᾶς συμβαίνουν μέσω τῶν ἐξωτερικῶν αἰσθήσεων, γιὰ τὶς ὁποῖες ὁ πατριάρχης πλήρωνε μὲ τοὺς κόπους τῆς ἄσκησης. Κλοπιμαῖα τῆς νύχτας εἶναι ὅ,τι μᾶς παίρνει ὁ ἐχθρὸς μὲ τοὺς ἐξωτερικοὺς λογισμούς μας, τὰ ὁποῖα πρέπει κατὰ τὸν πατριάρχη νὰ πληρώνομε μὲ κόπους κι ἀγρυπνίες καὶ τὰ ἄλλα εἴδη τῆς ἄσκησης.

ΕΡΩΤΗΣΗ 151

Τί σημαίνει ἡ σύμφωνα μὲ τὸ νόμο θανάτωση τῆς δαμάλας στὸ φαράγγι μὲ τὸ κόψιμο τῶν νεύρων της στὴν περίπτωση ποὺ ἀγνοεῖται ὁ φονιάς[48];

ΑΠΟΚΡΙΣΗ

Μὲ αὐτὰ σημαίνεται τὸ πνευματικὸ βούλημα τῆς Γραφῆς ὅτι δὲν πρέπει νὰ φοβούμαστε γιὰ τὰ ὁλοφάνερα μόνο ἁμαρτήματα, ἐπειδὴ πρόκειται νὰ τιμωρηθοῦμε γι' αὐτά, ἀλλὰ φοβούμενοι καὶ γιὰ ὅσα πράττομε χωρὶς νὰ τὸ καταλάβομε, νὰ κόβομε τὰ νεῦρα πάντοτε τῆς δαμάλας, δηλαδὴ τῆς σάρκας μας, στὸ φαράγγι τῆς ἐγκράτειας καὶ τῆς ἄσκησης. Γι' αὐτὸ ἄφηναν ζωντανὴ τὴ δαμάλα, γιὰ νὰ μάθομε κι ἐμεῖς νὰ μὴ φονεύομε τὸ σῶμα, ἀλλὰ τὶς ἡδονὲς ποὺ ἐπαναστατοῦν νὰ κόβομε τὰ νεῦρα τους καὶ νὰ τὶς δαμάζομε.

ΕΡΩΤΗΣΗ 152

Τί σημαίνει ὁ Ναδὰβ καὶ ὁ Ἀβιοὺδ ποὺ πρόσφεραν φωτιὰ ξένη καὶ γι' αὐτὸ κατακάηκαν[49];

ΑΠΟΚΡΙΣΗ

Ὅσοι ἱερουργοῦν πάντοτε στὸ Θεὸ καὶ προσφέρουν τὸν ἑαυτό τους στὸ Θεὸ «θυσία ζῶσα»[50], κι ἔχουν μέσα τους τὴ

ἐν ἑαυτοῖς κατὰ τὸν Κλεόπαν, τὸ ἴδιον πῦρ τῷ Θεῷ προσάγουσιν· ὅτ' ἂν δὲ ῥᾳθυμήσαντες ἔξω ταύτης τῆς καταστάσεως γένωνται καὶ τὴν ἔξαψιν τῶν παθῶν ἐν ἑαυτοῖς συναγάγωσιν, τότε τὸ ἀλλότριον πῦρ ἐπεισήγαγον καὶ κατακαίονται τὴν συνείδησιν τῷ πυρὶ τῶν ἐλέγχων.

ΕΡΩΤΗΣΙΣ 153

Τίνος χάριν ἡ σεμίδαλις ταῖς νομικαῖς θυσίαις ἀεὶ συμπαραλαμβάνεται, καὶ ποτὲ μὲν ἐλαίῳ πεφυραμένη, ποτὲ δὲ εἰς κλίβανον, ποτὲ δὲ εἰς τήγανον;

ΑΠΟΚΡΙΣΙΣ

Τὴν σεμίδαλιν ἐπὶ τοῦ λόγου ληπτέον ὡς λογικῶν οὖσαν τροφήν· καὶ ὅτε μὲν ἐλαίῳ πεφυραμένη, τὸν λόγον δηλοῖ μετὰ τοῦ φωτισμοῦ τῆς γνώσεως· ὅτ' ἂν δὲ εἰς τήγανον, δηλοῖ τὸν λόγον δεδοκιμασμένον καὶ συνεστῶτα ἐκ τῶν ἔνδοθεν προσπιπτόντων ἡμῖν ἡδονικῶν πειρασμῶν· ὅτ' ἂν δὲ εἰς κλίβανον, δηλοῖ τὸν λόγον στερρὸν ὄντα διὰ τῆς ἐν ὑπομονῇ δοκιμασίας τῶν ἔξωθεν ἡμῖν προσπιπτόντων πειρασμῶν.

ΕΡΩΤΗΣΙΣ 154

Διατί ἐν τῷ ἑβδόμῳ μηνὶ εἰς τὴν πεντεκαιδεκάτην ἡμέραν, ἑπτὰ ἡμέρας ἑορταζόντων τῶν κατὰ τὸν νόμον, προσῆγον εἰς τὴν πρώτην ἡμέραν ιδ' μόσχους καὶ ἑκάστης ἡμέρας ὑφαίρουσαν τὸν ἕνα μόσχον, ἕως οὗ ἦλθον εἰς τοὺς ἑπτά;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ τὸν λόγον τοῦ Κυρίου στραφῆναι δεῖ καὶ γενέσθαι ὡς τὰ παιδία, τὸ δὲ παιδίον ἐστέρηται πάντῃ τῆς ἐμπαθοῦς κινήσεως, ἡνίκα δὲ γένηται δεκατεσσάρων ἐτῶν εὐθέως ἡ ἐμπαθὴς κίνησις ἄρχεται ἐν αὐτῷ διεγείρεσθαι, τοῦτο οὖν, ὡς

51. Λουκᾶ 24,18· 32. 52. Λευιτ. 2,1–6.

φλόγα τοῦ Ἁγίου Πνεύματος[51] κατὰ τὸν Κλεόπα, προσφέρουν στὸ Θεὸ τὴν ἴδια τὴ φωτιά τους. Ὅταν ὅμως δείξουν ραθυμία καὶ βγοῦν ἔξω ἀπὸ αὐτὴν τὴν κατάσταση καὶ συγκεντρώσουν μέσα τους τὴν ἔξαψη τῶν παθῶν, τότε ἔβαλαν μέσα τους τὴν ξένη φωτιὰ καὶ κατακαίγεται ἡ συνείδησή τους ἀπὸ τὴ φωτιὰ τῶν ἐλέγχων.

ΕΡΩΤΗΣΗ 153

Γιὰ ποιό λόγο τὸ σεμιγδάλι συμπεριλαμβάνεται πάντοτε στὶς θυσίες τοῦ νόμου ἄλλοτε ζυμωμένο μὲ λάδι, ἄλλοτε ψημένο στὸ φοῦρνο καὶ ἄλλοτε σὲ τηγάνι[52];

ΑΠΟΚΡΙΣΗ

Τὸ σεμιγδάλι πρέπει νὰ τὸ θεωρήσομε ὡς λόγο, ἐπειδὴ εἶναι τροφὴ τῶν λογικῶν ὄντων. Καὶ ὅταν εἶναι ζυμωμένο μὲ λάδι, δηλώνει τὸ λόγο τὸ φωτισμένο ἀπὸ τὴ γνώση. Ὅταν ψήνεται στὸν φοῦρνο, δηλώνει τὸ λόγο τὸ στερεωμένο ἀπὸ τὴν ὑπομονητικὴ δοκιμασία στοὺς πειρασμοὺς ποὺ μᾶς ἔρχονται ἀπ' ἔξω.

ΕΡΩΤΗΣΗ 154

Γιατί τὸν ἕβδομο μῆνα στὶς δεκαπέντε ὅταν γιόρταζαν σύμφωνα μὲ τὸ νόμο ἑπτὰ ἡμέρες, πρόσφεραν τὴν πρώτη ἡμέρα δεκατέσσερα μοσχάρια καὶ κάθε μέρα ἀφαιροῦσαν ἕνα μοσχάρι ὥσπου ἔφταναν στὰ ἑφτά[53];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου «πρέπει νὰ ἀλλάξομε καὶ νὰ γίνομε σὰν τὰ παιδιά»[54] καὶ τὸ παιδὶ στερεῖται τελείως ἀπὸ τὴν ἐμπαθὴ ὁρμή, ἐνῶ ὅταν γίνει δεκατεσσάρων ἐτῶν ἀρχίζει ἀμέσως νὰ διεγείρεται σ' αὐτὸ ἡ ἐμπαθὴς ὁρμή, αὐτὸ

53. Ἀριθμ. 29,12-32. 54. Ματθ. 18,3.

οἶμαι, τὸ μυστικὸν τοῦ νόμου παραδηλοῖ, ὅτι χρὴ καὶ τῆς φυσικῆς κινήσεως τὴν μείωσιν τῷ Θεῷ ἱερουργεῖν, μέχρις ἂν εἰς τὴν τελείαν ἔλθωμεν ἀπάθειαν.

ΕΡΩΤΗΣΙΣ 155

Τί σημαίνουσιν οἱ σν' ἄνδρες οἵτινες ἐπεσυνεστήσαντο Μωυσῇ καὶ «προσφέροντες τὸ θυμίαμα, ἐξῆλθε πῦρ παρὰ Κυρίου καὶ κατέφαγεν» αὐτοὺς καὶ προσέταξε Κύριος τῷ Ἐλεάζαρ «ἀνελέσθαι τὰ πυρεῖα αὐτῶν καὶ ποιῆσαι αὐτὰ λεπίδας ἐλατὰς» καὶ προσαρτῆσαι τῷ θυσιαστηρίῳ;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ πεντήκοντα ἀριθμὸς ἐπὶ τῶν θείων ἀεὶ λαμβάνεται ὡς ὑπερβατικὸς τῶν ὑπὸ χρόνον· ὁ δὲ τῶν διακοσίων ἀριθμὸς ἐπὶ τῶν αἰσθητῶν καὶ αἰσθήσεων διὰ τὴν τοῦ τέσσαρα πρὸς τὸν πέντε ἀριθμὸν σύνθεσιν. Ὅσοι οὖν τὰ αἰσθητὰ αἰσθητῶς λαμβάνουσι καὶ τὰς θείας ἀρετὰς διὰ τὰ αἰσθητὰ μετέρχονται, οὗτοι ἐπισυνίστανται τῷ θείῳ νόμῳ καὶ τῷ πυρὶ τῶν ἐλέγχων τὴν συνείδησιν αὐτῶν κατακαίονται.

Καὶ τότε ὁ ἱερατικὸς τῆς διδασκαλίας λόγος τὰ πυρεῖα αὐτῶν λαμβάνει, τουτέστι τὸν νοῦν ἐν ᾧ τὸν οὐ κατ' ἐπίγνωσιν ζῆλον τῷ Θεῷ ἐνόμιζον προσάγειν, καὶ διὰ τῆς διδασκαλίας τὸ ἐπικείμενον αὐτῷ πάχος ἐλαύνει καὶ λεπτύνει καὶ τῷ θυσιαστηρίῳ, τουτέστι τῇ θείᾳ γνώσει, προσάγει.

ΕΡΩΤΗΣΙΣ 156

Τίνος χάριν «ἄλλαγμα κυνὸς καὶ μίσθωμα πόρνης» ἀπαγορεύει ὁ νόμος;

---

55. Ἀριθμ. 16,2,35· 17,1–3.
56. Ρωμ. 10,2.

λοιπόν, νομίζω, ὅτι δηλώνει αὐτὸ τὸ μυστικὸ τοῦ νόμου, ὅτι πρέπει καὶ τὴ μείωση τῆς φυσικῆς ὁρμῆς νὰ προσφέρομε ἱερὴ θυσία στὸ Θεό, ὥσπου νὰ φτάσομε στὴν τέλεια ἀπάθεια.

ΕΡΩΤΗΣΗ 155

Τί θέλει νὰ δηλωθεῖ μὲ τοὺς διακόσιους πενήντα ἄνδρες ποὺ ἐπιτέθηκαν κατὰ τοῦ Μωυσῆ κι ἐνῶ πρόσφερναν θυμίαμα, βγῆκε φωτιὰ σταλμένη ἀπὸ τὸν Κύριο καὶ τοὺς κατάφαγε καὶ πρόσταξε ὁ Κύριος τὸν Ἐλεάζαρ νὰ μαζέψει τὰ θυμιατήρια τους καὶ νὰ τὰ κάνει σφυρηλατώντας τα ἐλάσματα καὶ νὰ τὰ προσαρτήσει στὸ θυσιαστήριο[55];

ΑΠΟΚΡΙΣΗ

Ὁ ἀριθμὸς πενήντα χρησιμοποιεῖται πάντοτε γιὰ τὰ θεῖα ἐπειδὴ ὑπερβαίνει τὰ ὑποκείμενα στὸ χρόνο, ἐνῶ ὁ ἀριθμὸς διακόσια γιὰ τὰ αἰσθητὰ καὶ τὶς αἰσθήσεις ἐξαιτίας τοῦ συνδυασμοῦ τοῦ ἀριθμοῦ τέσσερα μὲ τὸ πέντε. Ὅσοι λοιπὸν ἀντιλαμβάνονται τὰ αἰσθητὰ μὲ τὴν αἴσθηση καὶ ἀσκοῦν τὶς θεῖες ἀρετὲς γιὰ χάρη τῶν αἰσθητῶν, αὐτοὶ ἐξεγείρονται κατὰ τοῦ θείου νόμου καὶ κατακαίεται ἀπὸ τὴ φωτιὰ τῶν ἐλέγχων ἡ συνείδησή τους.

Καὶ τότε ὁ ἱερατικὸς λόγος τῆς διδασκαλίας παίρνει τὰ θυμιατήρια τους, δηλαδὴ τὸ νοῦ, μὲ τὸν ὁποῖο πίστευαν ὅτι πρόσφεραν στὸ Θεὸ «τὸν ὄχι κατ' ἐπίγνωση ζῆλο τους»[56] καὶ μὲ τὴ διδασκαλία καὶ τὸ πάχος ποὺ τὸν καλύπτει τὸ σφυρηλατεῖ καὶ τὸ λεπταίνει καὶ τὸ προσφέρει στὸ θυσιαστήριο, δηλαδὴ στὴ θεία γνώση.

ΕΡΩΤΗΣΗ 156

Γιὰ ποιό λόγο ἀπαγορεύει ὁ νόμος «τὴν προσφορὰ ἀπὸ συναλλαγὴ κίναιδου καὶ ἀμοιβὴ πόρνου»[57];

57. Δευτ. 23,19.

ΑΠΟΚΡΙΣΙΣ

Σημαίνει διὰ τούτων ὅτι δεῖ τῷ Θεῷ τὰς ἀρετὰς προσάγειν θυμοῦ καὶ ἐπιθυμίας ἀνεπιμίκτους, θυμὸν λέγων τὸν κύνα, πόρνην δὲ τὴν ἐπιθυμίαν.

ΕΡΩΤΗΣΙΣ 157

Ἐπειδὴ προδήλως ὁ κα΄ ψαλμὸς εἰς τὸν Κύριον ἀναφέρεται, πῶς νοήσωμεν τὸ «ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς διὰ τὴν ἄφατον αὐτοῦ περὶ ἡμᾶς φιλανθρωπίαν ἐγένετο καὶ ἐκλήθη σκώληξ· ὡς γὰρ ὁ σκώληξ ἄνευ συνουσίας τίκτεται, οὕτω καὶ ὁ Κύριος ἐκτὸς σπορᾶς συνελήφθη. Ἀλλὰ καὶ ὡς σκώληξ δέλεαρ γέγονε τῷ διαβόλῳ· περιχανὼν γὰρ ὡς σκώληκι τῇ σαρκί, τῇ θεότητι περιεπάρη. Ἀλλὰ καὶ τοῖς ἐχθροῖς ἐστι σκώληξ· τῇ γὰρ σοφίᾳ ὁ σοφὸς εὐθὺς εὑρίσκεται, τῷ δὲ ἄφρονι σκολιός. Ἀλλὰ καὶ ἐν ἡμῖν γίνεται σκώληξ ἡνίκα ἁμαρτάνομεν, τὴν συνείδησιν ἡμῶν διελέγχων καὶ κατατρώγων.

ΕΡΩΤΗΣΙΣ 158

Τί ἐστι τὸ ἐν τῇ Γενέσει γεγραμμένον τὸ «καὶ ἔταξε τὰ χερουβὶμ καὶ τὴν φλογίνην ρομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς»;

ΑΠΟΚΡΙΣΙΣ

Ὥσπερ τὸ ξύλον τὸ αἰσθητὸν τροφὴ γίνεται τῆς σαρκός, οὕτω καὶ τὸ «ξύλον τῆς ζωῆς», ὅπερ ἐστὶν ὁ Κύριος, τροφὴ καὶ ζωὴ γίνεται τῶν ἡμετέρων ψυχῶν. Ὁδὸς δὲ ἡ ἀπάγουσα πρὸς

58. Ψαλμ. 21,7.
59. Γεν. 3,24.

ΑΠΟΚΡΙΣΗ

Μ' αὐτὰ δηλώνει ὅτι πρέπει νὰ προσφέρομε τὶς ἀρετὲς στὸ Θεὸ χωρὶς πρόσμιξη θυμοῦ κι ἐπιθυμίας, ἐννοώντας ὡς θυμὸ τὸν κίναιδο καὶ ὡς πόρνη τὴν ἐπιθυμία.

ΕΡΩΤΗΣΗ 157

Ἐπειδὴ ὁλοφάνερα ὁ εἰκοστὸς πρῶτος ψαλμὸς ἀναφέρεται στὸν Κύριο, πῶς θὰ ἐξηγήσομε τὸ «ἐγὼ εἶμαι σκουλήκι καὶ ὄχι ἄνθρωπος»[58];

ΑΠΟΚΡΙΣΗ

Ὁ Κύριός μας Ἰησοῦς Χριστὸς ἀπὸ τὴν ἄφατη πρὸς ἐμᾶς φιλανθρωπία ἔγινε καὶ ὀνομάστηκε σκουλήκι· γιατί, ὅπως τὸ σκουλήκι γεννιέται χωρὶς συνεύρεση, ἔτσι καὶ ὁ Κύριος συνελήφθη ἀσπόρως. Ἀλλὰ καὶ σὰν σκουλήκι ἔγινε δόλωμα γιὰ τὸ διάβολο· γιατὶ ἀνοίγοντας τὸ στόμα του νὰ φάει σὰν σκουλήκι τὴ σάρκα, καρφώθηκε ἐπάνω στὴ θεότητα. Ἀλλὰ καὶ γιὰ τοὺς ἐχθροὺς εἶναι σκουλήκι· γιατὶ στὴ σοφία ὁ σοφὸς βρίσκεται εἰλικρινής, ἐνῶ γιὰ τὸν ἀνόητο ὕπουλος. Ἀλλὰ καὶ γιὰ μᾶς γίνεται σκουλήκι ὅταν ἁμαρτάνομε, ἐλέγχοντας καὶ κατατρώγοντας τὴ συνείδησή μας.

ΕΡΩΤΗΣΗ 158

Τί σημαίνει τὸ γραμμένο στὴ Γένεση «καὶ ὅρισε τὰ Χερουβὶμ καὶ τὴ φλόγινη ρομφαία ποὺ περιστρέφεται νὰ φυλάγουν τὴν ὁδὸ πρὸς τὸ δένδρο τῆς ζωῆς»[59];

ΑΠΟΚΡΙΣΗ

Ὅπως τὸ αἰσθητὸ δέντρο γίνεται τροφὴ τῆς σάρκας, ἔτσι καὶ τὸ δέντρο τῆς ζωῆς[60], ποὺ εἶναι ὁ Κύριος, γίνεται τροφὴ καὶ ζωὴ τῶν ψυχῶν μας. Καὶ ὁδὸς πάλι ποὺ ὁδηγεῖ σ' αὐτὸν εἶναι

60. Γεν. 2,9.

αὐτόν ἐστιν αἱ ἀρεταί, φυλάττεται δὲ αὐτὴ ὑπὸ τῶν χερουβὶμ καὶ τῆς φλογίνης ρομφαίας· χερουβὶμ δὲ ἑρμηνεύεται 'πλῆθος γνώσεως', διὰ δὲ τῆς γνώσεως ὁ πόθος ἡμῖν ὁ πρὸς τὸν Θεὸν ἐγγίνεται, διὰ δὲ τῆς φλογίνης ρομφαίας, τουτέστι τῆς διακρίσεως τῆς τῶν μοχθηρῶν ἀναλωτικῆς, ὁ φόβος ἡμῖν προσγίνεται· ἄρα οὖν φόβος καὶ πόθος ἐστὶν ὁ φυλάσσων τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Στρέφεσθαι δὲ λέγεται ἡ ρομφαία· ὅτ' ἂν γὰρ ἁμαρτάνομεν διὰ τῆς συνειδήσεως ἡμῶν διελέγχουσα κατὰ πρόσωπον ὑπαντᾷ, ὅτε δὲ μετανοῶμεν δίδωσι πάροδον.

ΕΡΩΤΗΣΙΣ 159

Ἐκ τοῦ Ἀποστόλου· «ὅστις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσὸν ἢ ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, τὸ πῦρ αὐτὰ δοκιμάσει. Εἴ τινος οὖν τὸ ἔργον μενεῖ ὃ ἐποικοδόμησε, μισθὸν λήψεται· εἴ τινος δὲ τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτω δέ, ὡς διὰ πυρός».

ΑΠΟΚΡΙΣΙΣ

Θεμέλιός ἐστιν ἡ τοῦ Χριστοῦ πίστις. Ἐποικοδομεῖ δέ τις ἐν αὐτῇ ὡς χρυσὸν μὲν τὴν θεολογικὴν μυσταγωγίαν, ὡς ἄργυρον δὲ τὸν διαφανῆ βίον, λίθους δὲ τιμίους τοὺς εὐσεβεῖς λογισμούς, ξύλα δὲ τὴν περὶ τὰ αἰσθητὰ προσπάθειαν, χόρτον δὲ ὁ τὴν ἀλογίαν τρεφόμενος, καλάμην δὲ ὁ τὴν φθορὰν ἐργαζόμενος. Καὶ ἐπὶ μὲν τῶν ἐχόντων τὰς ἀγαθὰς πράξεις ἡ τῆς γνώσεως ἡμέρα δηλοῖ ὅτι ἐν πυρί, τουτέστιν ἐν τῷ Πνεύματι, γέγονεν ἡ τούτων ἀποκάλυψις. Ἐν δὲ τοῖς ἁμαρτάνουσιν τὰ ἔργα κατακαίονται, τῆς διαγνώσεως δικαιούσης τὴν συνείδησιν καὶ μειούσης τὰς ἁμαρτίας διὰ τῆς μετανοίας καὶ σῳζούσης τὸν ἄνθρωπον, ζημιούσης δὲ τοῦ προλαβόντος χρόνου τὴν ἀργίαν τῶν ἀρετῶν. Ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι τὰ ἔργα τῆς ἁμαρτίας

---

61. Α΄ Κορ. 3,12–13.

οἱ ἀρετὲς καὶ φυλάγεται αὐτὴ ἀπὸ τὰ Χερουβὶμ καὶ τὴ φλόγινη ρομφαία. Χερουβὶμ ἑρμηνεύεται 'πλῆθος γνώσης'· μὲ τὴ γνώση γεννιέται μέσα μας ὁ πόθος πρὸς τὸ Θεό, ἐνῶ μὲ τὴ φλόγινη ρομφαία, τὴ ρομφαία δηλαδὴ τῆς διάκρισης ποὺ ἐξολοθρεύει τοὺς μοχθηρούς, μᾶς ἔρχεται ὁ φόβος. Ἄρα λοιπὸν ὁ φόβος καὶ ὁ πόθος εἶναι ποὺ φυλάγουν τὴν ὁδὸ πρὸς τὸ δένδρο τῆς ζωῆς. Ἀλλὰ ἡ ρομφαία λέγεται ὅτι περιστρέφεται· ὅταν δηλαδὴ ἁμαρτάνομε, μᾶς ἐλέγχει μὲ τὴν συνείδησή μας καὶ μᾶς ἀντικρύζει ἀπὸ τὴν κόψη, ὅταν μετανοιώνουμε μᾶς ἀφήνει νὰ περνᾶμε.

ΕΡΩΤΗΣΗ 159

Ἀπὸ τὸν Ἀπόστολο· «Ὅποιος ἔχτισε πάνω σ' αὐτὸ τὸ θεμέλιο χρυσάφι ἢ ἀσήμι, πέτρες πολύτιμες, ξύλα, χόρτο, καλαμιές, θὰ τὰ δοκιμάσει ἡ φωτιά. Ἂν κάποιου τὸ ἔργο ποὺ ἔχτισε πάνω σ' αὐτὸ μένει, αὐτὸς θὰ λάβει μισθό· ἂν κάποιου τὸ ἔργο κατακαεῖ, θὰ χάσει τὴν ἀμοιβή του, ὁ ἴδιος ὅμως θὰ σωθεῖ, περνώντας σὰν μέσα ἀπὸ τὶς φλόγες»[61].

ΑΠΟΚΡΙΣΗ

Θεμέλιο εἶναι ἡ πίστη τοῦ Χριστοῦ. Πάνω σ' αὐτὴν χτίζει κανεὶς σὰν χρυσάφι τὴ θεολογικὴ μυσταγωγία, σὰν ἀσήμι τὸ διάφανο βίο, σὰν πέτρες πολύτιμες τοὺς εὐσεβεῖς λογισμούς, σὰν ξύλα τὴν προσκόλληση στὰ αἰσθητά, σὰν χόρτο ὅποιος ἔχει τροφή του τὴν ἀλογία, σὰν καλαμιὲς ὅποιος κάνει τὰ ἔργα τῆς φθορᾶς. Καὶ γιὰ ὅσους ἔχουν τὶς ἀγαθὲς πράξεις ἡ ἡμέρα τῆς γνώσης δηλώνει ὅτι μὲ τὴ φωτιά, δηλαδὴ μὲ τὸ Πνεῦμα, ἔγινε ἡ ἀποκάλυψή τους. Σ' αὐτοὺς ποὺ ἁμαρτάνουν τὰ ἔργα τους κατακαίονται, δικαιώνοντας ἡ διάκριση τὴ συνείδηση, μειώνοντας τὶς ἁμαρτίες μὲ τὴ μετάνοια καὶ σώζοντας τὸν ἄνθρωπο, τιμωρώντας ὅμως τὴν ἀργία στὶς ἀρετὲς τοῦ προηγούμενου χρόνου. Ἀλλὰ καὶ στὸ μελλοντικὸ αἰώνα τὰ ἔργα τῆς

εἰς ἀνυπαρξίαν χωροῦσιν, τῆς φύσεως τὰς ἰδίας δυνάμεις σῴας ἀπολαμβανούσης διὰ τοῦ πυρὸς τῆς κρίσεως.

ΕΡΩΤΗΣΙΣ 160

Τί ἐστιν ὅπερ ὁ Δαυῒδ ψάλλει λέγων, «δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ φύσιν δοῦλοί ἐσμεν τοῦ Θεοῦ, τῆς δὲ παιδίσκης αὐτοῦ τῆς σοφίας υἱοί, δοθῆναι ἡμῖν εὔχεται πρῶτον τὸ κράτος, τουτέστι τὴν κατὰ τῶν παθῶν δυναστείαν, καὶ τότε διὰ τοῦτο ἡ σωτηρία ἡμῖν περιγίνεται.

ΕΡΩΤΗΣΙΣ 161

Ἐπειδὴ ἐν ταῖς Βασιλείαις γέγραπται ὅτι ὁ Θεὸς «ἐπέσεισε τὸν Δαυῒδ» ἀριθμῆσαι τὸν λαόν, ἐν δὲ ταῖς Παραλειπομέναις τὸν διάβολον λέγει, πῶς οὖν δειχθήσεται ἡ θεία Γραφὴ ἑαυτῇ συμφωνοῦσα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ Ἀπόστολος «θεὸν τοῦ αἰῶνος τούτου» λέγει τὸν διάβολον, κατὰ τοῦτο ἐκληπτέον τὸ τῶν Βασιλειῶν. Ἢ καὶ ἄλλως· ἐπειδὴ χωρὶς τῆς τοῦ Θεοῦ προνοίας οὐδὲν γίνεται, ἀλλ' εἴτε κατὰ εὐδοκίαν, εἴτε κατ' οἰκονομίαν, εἴτε κατὰ συγχώρησιν τὰ πάντα γίνονται, τὸ ἐν ταῖς Βασιλείαις γεγραμμένον ὅτι «ὁ Θεὸς ἐπέσεισεν» ἀντὶ τοῦ «παρεχώρησεν» νοεῖν ἐστιν εὐσεβές, ἐν δὲ ταῖς Παραλειπομέναις τὸν διάβολον τὸν ἐνεργήσαντα καὶ αἴτιον γενόμενον. «Ἑβδομήκοντα δὲ χιλιάδες πίπτουσιν» ἢ οἱ

---

62. Ψαλμ. 85,16. 63. Β' Βασ. 24,1.
64. Α' Παραλ. 21,1. 65. Β' Κορ. 4,4.

ἁμαρτίας καταλήγουν στὴν ἀνυπαρξία, ἐνῶ ἡ φύση ἀποδέχεται τὶς δυνάμεις της σῶες μέσω τῆς φωτιᾶς τῆς κρίσης.

ΕΡΩΤΗΣΗ 160

Τί σημαίνει αὐτὸ ποὺ ψάλλει ὁ Δαβὶδ «δῶσε τὴ δύναμή σου στὸ παιδί σου καὶ σῶσε τὸ γιὸ τῆς δούλης σου»[62];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ἀπὸ τὴ φύση μας εἴμαστε δοῦλοι τοῦ Θεοῦ καὶ υἱοὶ τῆς δούλης του τῆς σοφίας, εὔχεται πρῶτα νὰ μᾶς δοθεῖ ἡ δύναμη, δηλαδὴ ἡ ὑπερίσχυση κατὰ τῶν παθῶν, καὶ τότε χάρη σ' αὐτὸ ἔρχεται σ' ἐμᾶς ἡ σωτηρία μας.

ΕΡΩΤΗΣΗ 161

Ἐπειδὴ στὸ βιβλίο τῶν Βασιλειῶν ἔχει γραφεῖ ὅτι «ὁ Θεὸς προστάζει τὸν Δαβὶδ νὰ ἀριθμήσει τὸ λαό»[63], ἐνῶ στὸ βιβλίο τῶν Παραλειπομένων λέει ὅτι τὸν διάταξε ὁ διάβολος[64], πῶς θὰ δεχθεῖ ὅτι ἡ θεία Γραφὴ συμφωνεῖ μὲ τὸν ἑαυτό της;

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ Ἀπόστολος καλεῖ τὸ διάβολο θεὸ τούτου τοῦ αἰώνα[65], πρέπει νὰ ἐννοήσομε τὸ λόγο τῶν Βασιλειῶν σύμφωνα μ' αὐτό. Ἢ καὶ διαφορετικά· ἐπειδὴ χωρὶς τὴν πρόνοια τοῦ Θεοῦ δὲν γίνεται τίποτε, ἀλλὰ ὅλα γίνονται εἴτε σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ εἴτε κατὰ θεία οἰκονομία ἢ καὶ κατὰ παραχώρησή του[66], αὐτὸ ποὺ εἶναι γραμμένο στὸ βιβλίο τῶν Βασιλειῶν ὅτι «ὁ Θεὸς πρόσταξε» εἶναι εὐσεβὲς νὰ τὸ ἐννοοῦμε ἀντὶ τοῦ 'παραχώρησε', ἐνῶ στὸ βιβλίο τῶν Παραλειπομένων πρέπει νὰ ἐννοοῦμε τὸν διάβολο ποὺ ἐνέργησε[67] καὶ ἔγινε αἴτιος. «Ἑβδο-

66. Μαξίμου Ὁμολογητοῦ, *Ἐπιστολὴ 26*, PG 91,617A· Βλ. Ἐρώτηση 8,6.
67. Α' Παραλ. 21,14. Β' Βασ. 24,15.

εὑρεθέντες μετὰ Ἀβεσαλὼμ ἢ οἱ τὸ πάθος ἔχοντες τῆς οἰήσεως καὶ ὑπερηφανίας. Κατὰ δὲ τὴν θεωρίαν, τοῦτο σημαίνει ὅτι πᾶς Δαυΐδ, ὁ μὴ κατὰ διάθεσιν ἀλλὰ συναρπαγὴν ἐπάρσεως ἀπογεννήσας λογισμόν, μεταγνοὺς αἰτεῖται τὸν Θεόν, καὶ θνήσκουσιν οἱ περὶ τὰ χρονικὰ καὶ πρόσκαιρα λογισμοί· ὁ γὰρ ἑβδομηκοστὸς ἀριθμὸς τὴν χρονικὴν κίνησιν σημαίνει διὰ τὸν ἑβδοματικὸν κύκλον. Διὰ τοῦτο γὰρ παραιτήσασθαι ἄμεινον τοῦ ἀπὸ τῶν ἐχθρῶν δαιμόνων διώκεσθαι καὶ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου.

ΕΡΩΤΗΣΙΣ 162

Τί σημαίνει ὁ παραλυτικὸς ὁ διὰ τῆς στέγης ὑπὸ τεσσάρων χαλώμενος καὶ εἰ δυνατὸν κατὰ τὴν ἱστορίαν ἀποστεγασθῆναι τὸν οἶκον;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὴν ἱστορίαν πάντως ἀπεστεγάσθη ὁ οἶκος, ἐπειδὴ οἱ τῶν τόπων ἐκείνων αὐτόπται γενόμενοί φασι τὰς στέγας τῶν οἴκων ἀπὸ λίθου κισηρήτου εἶναι ἐλαφροτάτου, ὥστε τὸν ἀποστεγάσαι βουλόμενον εὐκόλως καὶ συντόμως δύνασθαι τοῦτο ποιεῖν. Κατὰ δὲ τὸν τῆς ἀναγωγῆς τρόπον, παραλυτικός ἐστι πᾶς νοῦς ἐν ἁμαρτίαις νοσῶν καὶ μὴ δυνάμενος διὰ τῆς φυσικῆς θεωρίας –αὕτη γὰρ ἡ θύρα– ἰδεῖν τὸν λόγον· διὰ τῆς πίστεως ἀποστεγάσας τὸ κάλυμμα τῆς παχύτητος τοῦ νομικοῦ γράμματος, διὰ τῶν τεσσάρων ἀρετῶν χαλᾶται ἐκ τοῦ ματαίου ὕψους πρὸς τὸν ἑαυτὸν κενώσαντα λόγον καὶ τῇ πίστει καὶ τῇ πράξει λαμβάνει τὴν ἴασιν.

ΕΡΩΤΗΣΙΣ 163

Τί σημαίνει ἡ Βαβυλωνία κάμινος;

---

68. Ἆσμα Ἀσμ. 8,11. 69. Μάρκ. 2,4· Λουκᾶ 5,19.

μήντα χιλιάδες πέφτουν» ἢ εἶναι ὅσοι βρέθηκαν μὲ τὸν Ἀβεσαλὼμ ἢ ὅσοι ἔχουν τὸ πάθος της οἴησης καὶ τῆς ὑπερηφάνειας. Μεταφορικὰ αὐτὸ σημαίνει ὅτι καθένας Δαβὶδ ποὺ τοῦ παρουσιάστηκε ἕνας λογισμὸς ἔπαρσης ὄχι ἀπὸ διάθεση ἀλλὰ ἐντελῶς ξαφνικά, μετανοώντας ζητᾶ τὸ Θεὸ καὶ πεθαίνουν οἱ λογισμοί του σχετικὰ μὲ τὰ χρονικὰ καὶ τὰ πρόσκαιρα. Ὁ ἀριθμὸς δηλαδὴ ἑβδομήντα σημαίνει τὴν χρονικὴ κίνηση γιὰ τὸν ἑβδομαδικὸ κύκλο. Γι' αὐτὸ εἶναι καλύτερα νὰ παραιτηθεῖς ἀπὸ τὸ νὰ σὲ καταδιώκουν οἱ ἐχθροὶ δαίμονες καὶ νὰ ἔχεις πείνα γιὰ ν' ἀκούσεις τὸ λόγο του Κυρίου[68].

ΕΡΩΤΗΣΗ 162

Τί σημαίνει ὁ παραλυτικὸς ποὺ τὸν κατέβασαν οἱ τέσσερις ἀπὸ τὴ στέγη κι ἂν εἶναι δυνατὸ σύμφωνα μὲ τὴν ἱερὰ ἱστορία ν' ἀποστεγαστεῖ τὸ σπίτι[69];

ΑΠΟΚΡΙΣΗ

Σύμφωνα βέβαια μὲ τὴν ἱστορία ἔβγαλαν ὁπωσδήποτε τὴ στέγη ἀπὸ τὸ σπίτι, ἐπειδὴ ὅσοι γνώρισαν τοὺς τόπους ἐκείνους μὲ τὰ ἴδια τους τὰ μάτια λένε ὅτι οἱ στέγες τῶν σπιτιῶν ἐκεῖ εἶναι ἀπὸ πέτρα κίσηρη πολὺ ἐλαφριά, ὥστε ὁποιος θέλει νὰ ξεσκεπάσει ἕνα σπίτι μπορει νὰ τὸ κάνει εὔκολα καὶ σύντομα. Μεταφορικὰ ὅμως παραλυτικὸς εἶναι κάθε νοῦς ἄρρωστος ἀπὸ ἁμαρτίες καὶ ποὺ δὲν μπορεῖ μὲ τὴ φυσικὴ θεωρία –γιατὶ αὐτὴ εἶναι ἡ πόρτα τοῦ σπιτιοῦ– νὰ δεῖ τὸ Λόγο. Ἀφοῦ μὲ τὴν πίστη ἀποστεγάσει τὸ κάλυμμα τῆς παχύτητας τοῦ νομικοῦ γράμματος, μὲ τὶς τέσσερες ἀρετὲς κατεβαίνει ἀπὸ τὸ μάταιο ὕψος πρὸς τὸ Λόγο ποὺ ἐκένωσε τὸν ἑαυτό του[70] καὶ παίρνει τὴν ἴαση μὲ τὴν πίστη καὶ μὲ τὴν πράξη.

ΕΡΩΤΗΣΗ 163

Τί σημαίνει τὸ καμίνι τῆς Βαβυλώνας[71];

70. Φιλ. 2,7. 71. Δαν. 3,6.

ΑΠΟΚΡΙΣΙΣ

Διττῶς τοὺς πειρασμοὺς προσγίνεσθαι ἡμῖν συμβαίνει· ἑκουσίως διὰ τῶν ἐν ἡμῖν ἡδονικῶν παθῶν, καὶ ἀκουσίως διὰ τῶν ἔξωθεν ἐπιφορῶν. Καὶ ὅτε μὲν ἑκουσίως, παρακελευομένου τοῦ Ναβουχοδονόσορ, τουτέστι τοῦ διαβόλου, ἐξάπτομεν ἑαυτοῖς τὴν κάμινον τῶν παθῶν, ὑποκαίοντες θυμὸν μὲν ὡς κληματίδα, ἐπιθυμίαν δὲ ὡς πίσσαν, ἡδονὴν δὲ ὡς τὴν νάφθαν, τὴν τοῦ λόγου δὲ παρατροπὴν ὡς στυππίον –τὸ γὰρ λίνον ἐπὶ τοῦ λόγου λαμβάνεται, ὅθεν καὶ οἱ ἱερεῖς ἱερατεύοντες λίνα ἐφόρουν–· ὅτ' ἂν οὖν ὁ λόγος παρατραπῇ, γίνεται στυππίον καὶ δι' αὐτοῦ εὐχερῶς τὰ λοιπὰ πάθη ἐξάπτονται. Ἐὰν δέ τις κατὰ τοὺς μακαρίους παῖδας ἐπικαλέσεται τὸν Θεὸν διὰ τῆς ταπεινώσεως καὶ τῆς ἐκτενοῦς προσευχῆς, ἐκλύεται τῶν δεσμῶν χειρῶν καὶ ποδῶν, τουτέστι τὴν πρακτικὴν καὶ τὴν κατὰ Θεὸν πορείαν, καὶ δροσίζεται τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος. Ὅτ' ἂν δὲ ἀκουσίως πειραζόμεθα καὶ ἀνάπτει ἡμῖν ὁ νοητὸς Ναβουχοδονόσορ τὴν κάμινον διὰ τῶν ἔξωθεν ἐπιφορῶν, νόσων καὶ λοιπῶν ἀβουλήτων περιστάσεων, καὶ οὕτω δυνάμεθα διὰ τῆς ὑπομονῆς καὶ εὐχαριστίας δροσίζεσθαι τῇ ἐλπίδι τῶν ἀποκειμένων ἀγαθῶν.

ΕΡΩΤΗΣΙΣ 164

Τίνος χάριν καταγελωμένου Ἐλισσαίου τοῦ προφήτου ἐκ τῶν παίδων ηὔξατο καὶ ἐξῆλθον ἄρκοι καὶ ἀνέρρηξαν μβ' παῖδας;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες μὴ εἶναι Ἰσραηλίτας τοὺς παῖδας, ἀλλ' ἐκ τῶν ἀλλοφύλων, καὶ οὐχὶ παῖδας τῇ ἡλικίᾳ, ἀλλὰ τῇ φρονήσει. Ἐπεὶ οὖν ἤκουον τὸν προφήτην πολλὰ σημεῖα ποιοῦντα καὶ οὐκ ἐπίστευον, ἀλλὰ κατεγέλων αὐτῷ, παρῆσαν δέ τινες μὴ κοινωνοῦντες τῆς ματαίας αὐτῶν γνώμης, ἵνα μὴ οὖν οὗτοι βλάπτων-

72. Δαν. 3,46. 73. Λευιτ. 6,3· 16,4. 74. Δαν. 3,51.

ΑΠΟΚΡΙΣΗ

Οἱ πειρασμοὶ μᾶς ἔρχονται κατὰ δύο τρόπους· ἑκούσια μὲ τὰ πάθη τῆς ἡδονῆς μέσα μας, καὶ ἀκούσια μὲ τὶς ἐξωτερικὲς προσβολές. Κι ὅταν μᾶς ἔρχονται ἑκούσια, μὲ τὴν προτροπὴ τοῦ Ναβουχοδονόσορ, δηλαδὴ τοῦ διαβόλου, ἀνάβομε γιὰ τὸν ἑαυτό μας τὸ καμίνι τῶν παθῶν μὲ προσάναμμα τὸ θυμὸ σὰν κληματίδα, τὴν ἐπιθυμία σὰν πίσσα, τὴν ἡδονὴ σὰ νάφθα[72] καὶ τὴν παρεκτροπὴ τοῦ λόγου σὰν στουππὶ (γιατὶ τὸ λινάρι χρησιμοποιεῖται γιὰ τὸ λόγο, γι' αὐτὸ καὶ οἱ ἱερεῖς ὅταν λειτουργοῦσαν φοροῦσαν λινά)[73]. Ὅταν λοιπὸν ὁ λόγος παρεκτραπεῖ γίνεται στουππὶ κι εὔκολα μ' αὐτὸ ἀνάβουν τὰ ὑπόλοιπα πάθη. Ἂν ὅμως κάποιος, ὅπως οἱ μακάριοι τρεῖς νέοι, ἐπικαλεστεῖ τὸ Θεὸ μὲ τὴν ταπείνωση καὶ τὴν ἐκτενὴ προσευχή[74], ἐλευθερώνεται ἀπὸ τὰ δεσμὰ τῶν χεριῶν καὶ τῶν ποδιῶν[75], δηλαδὴ τὴν πρακτικὴ καὶ τὴ σύμφωνη μὲ τὸ θέλημα τοῦ Θεοῦ πορεία, καὶ δροσίζεται μὲ τὴν ἐπιφοίτηση τοῦ ἁγίου Πνεύματος[76]. Ὅταν ὅμως δεχόμαστε ἕναν ἀκούσιο πειρασμὸ κι ὁ νοητὸς Ναβουχοδονόσορ μᾶς ἀνάβει τὸ καμίνι μὲ τὶς ἐξωτερικὲς ἐπιθέσεις, νόσων δηλαδὴ κι ἄλλων ἀθέλητων περιστάσεων, μποροῦμε καὶ ἔτσι νὰ δροσιζόμαστε μὲ τὴν ἐλπίδα τῶν ἀγαθῶν ποὺ μᾶς περιμένουν.

ΕΡΩΤΗΣΗ 164

Γιὰ ποιό λόγο, ὅταν τὰ παιδιὰ περιγελοῦσαν τὸν προφήτη Ἐλισσαῖο προσευχήθηκε καὶ «βγῆκαν ἀρκοῦδες ποὺ σπάραξαν σαράντα δύο παιδιά»[77];

ΑΠΟΚΡΙΣΗ

Λένε ὅτι τὰ παιδιὰ δὲν ἦταν ἰσραηλιτόπαιδα, ἀλλὰ παιδιὰ ἀλλοφύλων καὶ μάλιστα ὄχι παιδιὰ στὴν ἡλικία, ἀλλὰ στὴ γνώση. Ἐπειδὴ λοιπὸν ἄκουγαν ὅτι ὁ προφήτης ἔκανε πολλὰ θαύματα καὶ δὲν τὸ πίστευαν ἀλλὰ τὸν περιγελοῦσαν, καὶ ὑπῆρχαν καὶ μερικοὶ ποὺ δὲν συμμερίζονταν τὴν ἄδικη γνώμη τους,

75. Δαν. 3,91–92. 76. Δαν. 3,50. 77. Δ' Βασ. 2,23-24.

ται καὶ τὸ βλάσφημον εἰς Θεὸν ἀνατρέχῃ, ἐπεξῆλθεν αὐτοῖς ὁ Θεός. Κατὰ δὲ τὴν θεωρίαν πᾶς νοῦς κατὰ τὸν Ἐλισσαῖον φαλακρός, τουτέστι καθαρὸς ὑλικῶν νοημάτων, ἐν τῇ ἀναβάσει τῆς γνώσεως πολλὰ ὑπὸ τῶν λογισμῶν τῶν περὶ τὰ αἰσθητὰ καὶ τὴν ὕλην καὶ τὸ εἶδος καταγελᾶται, τοῦ τεσσαράκοντα δηλοῦντος τὰ αἰσθητά· ὕλη δὲ καὶ τὸ εἶδος προστιθέμενα ἀποτελεῖ τὸν τεσσαρακονταδύο ἀριθμόν. Σκώπτεται οὖν ἐκ τῶν τοιούτων λογισμῶν ὁ νοῦς πρὸς τὸ εἰς ὄκνον αὐτὸν ἐμβληθῆναι πρὸς τὴν ἀρετήν. Τούτους οὖν δι' εὐχῆς ἀναιρεῖ διὰ τῶν δύο ἄρκων, τουτέστι διὰ ἡδονῆς καὶ ἐπιθυμίας· κατ' ἀντιστροφὴν γὰρ ἐπὶ τὸ κρεῖττον μεταχειριζόμενα τὰ τοιαῦτα πάθη, ἀποκτενοῦσι τοὺς λογισμοὺς τοὺς ἐμπαίκτας.

ΕΡΩΤΗΣΙΣ 165

Τί σημαίνει ἡ τοῦ Εὐαγγελίου παραβολὴ ἡ περιέχουσα τὴν συμβουλὴν τῶν βασιλέων τῶν κ' καὶ τῶν δέκα χιλιάδων;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μετὰ τῶν δέκα χιλιάδων παρατασσόμενος βασιλεὺς σημαίνει τὸν ἐν ἡμῖν βασιλέα νοῦν μετὰ τῶν δέκα ἐντολῶν πολεμοῦντα τῷ ἑτέρῳ βασιλεῖ τῷ ἔχοντι τὰς εἴκοσι χιλιάδας, τουτέστι τῷ κοσμοκράτορι τῷ μετὰ τῶν αἰσθητῶν καὶ τῶν αἰσθήσεων ἀντιπαρατασσομένῳ· αἱ γὰρ πέντε αἰσθήσεις προσκλινόμεναι τοῖς αἰσθητοῖς ἐκ τεσσάρων οὖσι στοιχείοις, ποιοῦσι τὸν εἴκοσι· διὰ τούτων γὰρ ἡμῖν ὁ ἐχθρὸς παρατάσσεται. Τὸ δὲ «καθίσαι» καὶ «βουλεύσασθαι» σημαίνει, Εἰ δυνατόν ἐστι πᾶσαν κακοπάθειαν καὶ πόνον ὑπὲρ ἀρετῆς ἀναδέξασθαι· εἰ δὲ μή γε, τὰ πρὸς εἰρήνην πρεσβεῦσαι, φησίν, τουτέστι τοῖς ἐπιταχθεῖσιν ἡμῖν μετὰ τὴν παράβασιν φυσικοῖς ὑποτασσομένους, τὴν κατὰ τὸ Εὐαγγέλιον ἀδυνάτως ἔχοντας μετελθεῖν πολιτείαν.

---

78. Δ' Βασ. 2,23. 79. Λουκᾶ 14,31-32.
80. Λουκᾶ 14,31.

γιὰ νὰ μὴ βλάπτονται αὐτοὶ καὶ ἡ βλασφημία ἀνατρέχει στὸ Θεό, ἐπέφερε ἐναντίον τους τιμωρία ὁ Θεός. Μεταφορικὰ ὅμως κάθε νοῦς, ὅπως ὁ Ἐλισσαῖος[78], φαλακρός, καθαρὸς δηλαδὴ ἀπὸ ὑλικὰ νοήματα, κατὰ τὴν πρόοδο τῆς γνώσης δέχεται πολλὰ περιπαίγματα ἀπὸ τοὺς λογισμοὺς γύρω ἀπὸ τὰ αἰσθητά, τὴν ὕλη καὶ τὴ μορφή· ὁ ἀριθμὸς σαράντα δηλώνει τὰ αἰσθητά· ὅταν προστεθοῦν ἡ ὕλη καὶ ἡ μορφὴ γίνεται ὁ ἀριθμὸς σαράντα δύο. Δέχεται λοιπὸν ὁ νοῦς περιπαίγματα ἀπὸ αὐτοῦ τοῦ εἴδους τοὺς λογισμοὺς γιὰ νὰ τὸν ρίξουν στὴν ἀδιαφορία γιὰ τὴν ἀρετή. Αὐτοὺς λοιπὸν μὲ προσευχὴ τοὺς σκοτώνει μὲ τὶς δύο ἀρκοῦδες, τὴν ἡδονὴ δηλαδὴ καὶ τὴν ἐπιθυμία· χρησιμοποιούμενα δηλαδὴ τὰ πάθη αὐτὰ κατ' ἀντιστροφὴ γιὰ τὸ καλύτερο σκοτώνουν τοὺς περιπαικτικοὺς λογισμούς.

ΕΡΩΤΗΣΗ 165

Τί σημαίνει ἡ παραβολὴ τοῦ Εὐαγγελίου ποὺ περιέχει τὴν σύγκρουση τῶν δύο βασιλιάδων μὲ τὶς εἴκοσι καὶ μὲ τὶς δέκα χιλιάδες στρατό[79];

ΑΠΟΚΡΙΣΗ

Ὁ βασιλιὰς ποὺ παρατάσσεται μὲ τὶς δέκα χιλιάδες εἶναι ὁ μέσα μας βασιλιὰς νοῦς ποὺ μὲ τὶς δέκα ἐντολὲς πολεμεῖ τὸν ἄλλο βασιλιὰ[80] ποὺ ἔχει τὶς εἴκοσι χιλιάδες, δηλαδὴ τὸν κοσμοκράτορα, ποὺ ἀντιπαρατάσσεται μὲ τὰ αἰσθητὰ καὶ τὶς αἰσθήσεις· γιατὶ οἱ πέντε αἰσθήσεις, ὅταν πολλαπλασιαστοῦν μὲ τὰ αἰσθητὰ ποὺ ἀποτελοῦνται ἀπὸ τέσσερα στοιχεῖα, κάνουν τὸν ἀριθμὸ εἴκοσι· γιατὶ μὲ αὐτὰ μᾶς πολεμᾶ ὁ ἐχθρός. Τὸ «νὰ καθίσομε καὶ νὰ σκεφτοῦμε»[81] σημαίνει, ἂν εἶναι δυνατὸ νὰ δεχτοῦμε ὁποιαδήποτε κακοπάθεια καὶ ὁποιοδήποτε μόχθο γιὰ τὴν ἀρετή[82]. Ἂν ὄχι, νὰ ζητήσομε εἰρήνη, δηλαδὴ ὑποτασσόμενοι στὰ φυσικὰ ποὺ μᾶς ἐπιβλήθηκαν μετὰ τὴν παράβαση, ἀφοῦ δὲν ἔχομε τὴ δύναμη νὰ ζήσουμε τὴ σύμφωνη μὲ τὸ Εὐαγγέλιο πολιτεία.

---

81. Λουκᾶ 14,31. 82. Λουκᾶ 14,32.

ΕΡΩΤΗΣΙΣ 166

Τί σημαίνει ὁ ἐν τῷ Εὐαγγελίῳ κωφὸς δαίμων;

ΑΠΟΚΡΙΣΙΣ

Ψυχὴ ἀνήκοος ταῖς ἐντολαῖς τοῦ Κυρίου ὀχλεῖται ὑπὸ τοῦ κωφοῦ δαίμονος· ὅτ' ἂν δὲ ὁ λόγος τοῦ Θεοῦ γένηται ἐν αὐτῇ διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, τότε οὐ μόνον ἀκούει, ἀλλὰ καὶ λαλεῖ διὰ τῆς γνώσεως τοῦ Θεοῦ.

ΕΡΩΤΗΣΙΣ 167

Τί σημαίνει ὁ ἐν τῷ Εὐαγγελίῳ κατὰ τὴν παραβολὴν τοῦ Κυρίου πύργος, ὃν ὁ μὴ δυνηθεὶς ἀπαρτίσαι ἐμπαίζεται ὑπὸ τῶν παραπορευομένων;

ΑΠΟΚΡΙΣΙΣ

*Ὁ πύργος σημαίνει τὴν τῶν ἀρετῶν τελείωσιν μετὰ γνώσεως οἰκοδομηθεῖσαν. Ὅστις οὖν μετὰ τὴν κατὰ πρᾶξιν ἀπάθειαν ἔχει ἐπιτηδειότητα πρὸς ἐπίκτησιν φυσικῶν καὶ θεωρητικῶν καὶ θεολογικῶν λόγων, δι' ὧν ἀπαρτίζεται ἡ τελεία γνῶσις, οὗτος ἀπαρτίζει τὴν οἰκοδομὴν τοῦ πύργου· ὁ δὲ ἕν τι τούτων ἐλλείπων, ὡς μὴ δυνηθεὶς εἰς πέρας ἀγαγεῖν τὴν οἰκοδομήν, ἐμπαίζεται παρὰ τῶν παραπορευομένων ***.*

ΕΡΩΤΗΣΙΣ 168

**** εὐαγγελιστῶν δειχθήσεται.*

ΑΠΟΚΡΙΣΙΣ

Τὰ καθόλου φασὶ σημαντικὰ εἶναι τῶν ἐπὶ μέρους καὶ τὰ ἐπὶ μέρους τῶν καθόλου· ὁ οὖν εἰπὼν «ἦλθον τὸ ἀπολωλὸς ζητῆσαι», τὴν καθόλου φύσιν ἐσήμανεν Ἰσραὴλ οὖσαν κατὰ τὸν τῆς Γενέσεως λόγον καὶ τὸν «Θεὸν ἀεὶ ὁρῶσαν»· ὁ δὲ εἰπὼν

83. Λουκᾶ 11,14. 84. Λουκᾶ 14,28–30.

ΕΡΩΤΗΣΗ 166

Τί σημαίνει ὁ «κουφὸς δαίμονας»[83] τοῦ Εὐαγγελίου;

ΑΠΟΚΡΙΣΗ

Ψυχὴ ποὺ δὲν ἀκούει τὶς ἐντολὲς τοῦ Κυρίου τὴν ἐνοχλεῖ ὁ κουφὸς δαίμονας, ὅταν ὅμως ἔρθει μέσα της μὲ τὴν ἐργασία τῶν ἐντολῶν ὁ λόγος τοῦ Θεοῦ, τότε ὄχι μόνο ἀκούει ἀλλὰ καὶ μιλάει μὲ τὴ γνώση τοῦ Θεοῦ.

ΕΡΩΤΗΣΗ 167

Τί σημαίνει ὁ πύργος τῆς παραβολῆς τοῦ Κυρίου ποὺ ἀναφέρεται στὸ Εὐαγγέλιο, καὶ ποὺ ἐμπαίζεται ἀπὸ τοὺς περαστικοὺς ἐκεῖνος ποὺ δὲν μπόρεσε νὰ τὸν ἀποτελειώσει[84];

ΑΠΟΚΡΙΣΗ

Ὁ πύργος σημαίνει τὴν τελείωση τῶν ἀρετῶν ποὺ οἰκοδομήθηκε μὲ τὴ γνώση. Ὅποιος λοιπὸν μετὰ τὴν ἀπάθεια τῆς πράξης ἔχει τὴν ἱκανότητα ἀπόκτησης φυσικῶν καὶ θεωρητικῶν καὶ θεολογικῶν λόγων, ποὺ ἀπαρτίζουν τὴν τέλεια γνώση, αὐτὸς ὁλοκληρώνει τὴν οἰκοδομὴ τοῦ πύργου· ὅποιος ὅμως τοῦ λείπει ἕνα ἀπὸ αὐτά, ἐπειδὴ δὲν μπόρεσε νὰ φέρει σὲ πέρας τὴν οἰκοδομή, γίνεται ὁ περίγελος τῶν περαστικῶν ***

ΕΡΩΤΗΣΗ 168

*** *** τῶν εὐαγγελιστῶν θὰ φανερωθοῦν.

ΑΠΟΚΡΙΣΗ

Τὰ γενικά, λένε, σημαίνουν τὰ μερικὰ καὶ τὰ μερικὰ σημαίνουν τὰ γενικά. Αὐτὸς λοιπὸν ποὺ εἶπε «ἦρθα νὰ ζητήσω τὸ πρόβατο ποὺ χάθηκε»[85], σήμανε τὴ φύση στὸ σύνολό της ποὺ εἶναι Ἰσραήλ, κατὰ τὸ λόγο τῆς Γένεσης[86], καὶ «ποὺ πάντα βλέ-

85. Λουκᾶ 19,10. 86. Γεν. 32,30.

«εἰς τὰ πρόβατα οἴκου Ἰσραὴλ» καὶ μόνον «ἀπεστάλθαι», καὶ αὐτὸς διὰ τοῦ ἐπὶ μέρους τὸ καθόλου ἐσήμανεν. Ἐπειδὴ γὰρ ἐν τῷ Ἀβραὰμ τὸ διαρρυὲν ἐν τῷ προπάτορι διὰ τῆς παρακοῆς τῆς φύσεως ἀγαθὸν δι' ἐπιγνώσεως ἀνεσώθη, ἐπαγγελίαν ὁ Θεὸς αὐτῷ δίδωσιν «πατέρα» αὐτὸν ἔσεσθαι «πολλῶν ἐθνῶν», τῶν δι' ἐπιγνώσεως εἰς τὴν ὁμοίαν αὐτοῦ πίστιν καταντώντων καὶ υἱοθετουμένων αὐτῷ· δῆλον γὰρ ὅτι εἴπερ υἱοθετοῦνται, καὶ τοῦ οἴκου Ἰσραήλ εἰσι καὶ συγκληρονόμοι καὶ σύσσωμοι.

Ἡ δὲ αἴτησις τῶν ψιχίων τῆς Χαναναίας τὴν ἁρμόδιον τῶν εἰσαγομένων εἰς τὸν κατ' ἀρετὴν βίον ἐξ ἀπιστίας δηλοῖ διδασκαλίαν· ὁ γὰρ ἁπλοῦς καὶ τελειότατος τῆς γνώσεως λόγος εἰς πολλὰ μερίζεται κατὰ τὴν τῶν ὑποδεχομένων ἕξιν· ἄρα οὖν τοῖς εἰσαγομένοις ἁρμόδιός ἐστιν ἡ κατήχησις, ἥτις ψιχίων παρεικάζεται. Ὁ δὲ κύων, ἐπειδὴ ζῷόν ἐστιν ὑλακτικόν, ἐκδιώκων μὲν τοὺς ἀλλοτρίους, προσσαίνων δὲ τοῖς οἰκείοις, λαμβάνεται ἐπὶ τῆς πρακτικῆς ἕξεως, ἥτις ἐκδιώκει μὲν τὰς παρὰ φύσιν κακίας, προσσαίνει δὲ ταῖς φυσικαῖς ἀρεταῖς, τονωτικῶς ταύτας φυλάττουσα.

ΕΡΩΤΗΣΙΣ 169

Τί σημαίνει ἡ κατὰ τὸν Ἰωὰβ ἱστορία ἡνίκα τὸν Σάβεε τὸν υἱὸν τοῦ Βοχορὶ ἐπεδίωκεν «ἐπαίροντα χεῖρα αὐτοῦ ἐπὶ Δαυΐδ», καὶ τίς ἡ γυνὴ ἡ ῥίψασα ἀπὸ τοῦ τείχους τὴν κεφαλὴν αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Ἰωὰβ δασυνόμενος ἑρμηνεύεται 'ἔξωθεν' ἢ 'ἐπιδιώκων', ψιλούμενος δὲ 'διδοὺς ἢ πάροχος'· ἐνταῦθα δὲ ἐπὶ τῆς ἀνδρείας τὸν Ἰωὰβ ἐκληπτέον, τὸν δὲ Σάβεε ἐπὶ τῆς ὑπερηφανίας, ἥτις ὡς κεφαλὴ οἰκίσκων τρόπον καὶ τὰ λοιπὰ πάθη ἐμπεριέ-

---

87. Ματθ. 15,24. 88. Γεν. 17,5. 89. Ματθ. 15,26–27. Μάρκ. 7,27–28.

πει τὸ Θεό». Αὐτὸ πάλι ποὺ εἶπε ὅτι «στάλθηκε στὰ πρόβατα καὶ μόνο τοῦ οἴκου Ἰσραήλ»[87], κι αὐτὸς μὲ τὸ μερικὸ δήλωσε τὸ γενικό. Ἐπειδὴ δηλαδὴ στὸν Ἀβραὰμ ἀνασώθηκε μὲ τὴν ἐπίγνωση τὸ ἀγαθὸ ποὺ ἐξαιτίας τῆς παρακοῆς ξέφυγε ἀπὸ τὸν προπάτορα, τοῦ ἔδωσε ὁ Θεὸς τὴν ὑπόσχεση ὅτι «θὰ γίνει πατέρας πολλῶν ἐθνῶν»[88], ποὺ μ' ἐπίγνωση καταλήγουν στὴν ὅμοια μὲ τὴ δική του πίστη καὶ υἱοθετοῦνται ἀπὸ αὐτόν. Γιατὶ εἶναι φανερὸ ὅτι ἂν υἱοθετοῦνται εἶναι κι ἀπὸ τὸν οἶκο Ἰσραὴλ καὶ συγκληρονόμοι κι ἕνα σῶμα μαζί του.

Ἡ αἴτηση τῆς Χαναναίας νὰ λάβει τὰ ψιχία δηλώνει τὴν ἁρμόδια διδασκαλία γιὰ ὅσους εἰσάγονται ἀπὸ τὴν ἀπιστία στὸ βίο τῆς ἀρετῆς. Ὁ ἁπλὸς δηλαδὴ καὶ παντέλειος λόγος τῆς γνώσης μερίζεται σὲ πολλὰ ἀνάλογα μὲ τὴ διάθεση ὅσων τὸν δέχονται. Ἄρα λοιπὸν σὲ ὅσους εἰσάγονται ἁρμόδια εἶναι ἡ κατήχηση, ποὺ παρομοιάζεται μὲ ψιχία[89]. Ὁ σκύλος πάλι ἐπειδὴ εἶναι ζῶο ποὺ ἀλυχτᾶ, διώχνει τοὺς ξένους καὶ κουνάει τὴν οὐρά του στοὺς γνωστούς, χρησιμοποιεῖται γιὰ τὴν πρακτικὴ ἱκανότητα, ποὺ διώχνει τὶς παραφύσει κακίες, θωπεύει ὅμως τὶς φυσικὲς ἀρετὲς καὶ τὶς φυλάει δυναμώνοντάς τες.

ΕΡΩΤΗΣΗ 169

Τί σημαίνει ἡ σχετικὴ μὲ τὸν Ἰωὰβ ἱστορία, ὅταν καταδίωκε τὸν Σάβεε τὸν υἱὸ τοῦ Βοχορὶ[90] ποὺ σήκωσε χέρι ἐναντίον τοῦ Δαβὶδ[91] καὶ ποιά εἶναι ἡ γυναίκα ποὺ ἔρριξε ἀπὸ τὸ τεῖχος τὸ κεφάλι του[92];

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἰωὰβ μὲ δασεία ἐξηγεῖται 'ἀπὸ ἔξω' ἢ 'αὐτὸς ποὺ καταδιώκει', ἐνῶ μὲ ψιλὴ 'αὐτὸς ποὺ δίνει' ἢ 'ὁ πάροχος'. Ἐδῶ τὸ ὄνομα Ἰωὰβ πρέπει νὰ τὸ πάρομε μὲ τὴν ἔννοια τῆς ἀνδρείας, τὸ Σάβεε μὲ τὴν ἔννοια τῆς ὑπερηφάνειας, ποὺ σὰν κεφαλὴ τῶν οἰκίσκων περιέχει καὶ τὰ λοιπὰ πάθη. Ὅταν λοιπὸν ὁ ἐνάρετος

---

90. Β' Βασ. 20,7. 91. Β' Βασ. 20,21. 92. Β' Βασ. 20,21–22.

χει. Ὅτ' ἂν οὖν αἴσθηται ὁ ἐνάρετος νοῦς τῆς ἐπαναστάσεως τῆς ὑπερηφανίας, ἀποστέλει τὸν Ἰωάβ, τουτέστι τὴν ἀνδρείαν, ἐκδιώκουσαν καὶ παροτρύνουσαν τὰς τῆς ψυχῆς δυνάμεις πρὸς ἀναίρεσιν αὐτῆς. Φεύγουσα οὖν αὐτὴ ἐγκρύπτεται ὡς εἴς τινα πόλιν, μιᾷ τῶν ἀρετῶν· ἐκπορθεῖ ταύτην ἡ ἀνδρεία, ζητοῦσα τὴν τῆς ὑπερηφανίας ἀναίρεσιν ποιήσασθαι· ἡ δὲ σοφὴ γυνή, ἥτις ἐστὶν ἡ σοφία, τῇ ἐφευρέσει τῶν συστατικῶν τῆς ἀρετῆς αἰτιῶν ἀναίρεσιν ποιεῖται τῶν ποιητικῶν τῶν παθῶν αἰτιῶν, δι' ὧν πᾶσα σύστασις γίνεται ἐν τῇ ψυχῇ κακίας.

ΕΡΩΤΗΣΙΣ 170

Τί σημαίνει ἡ κατὰ τὸν Ἀμεσσαεὶ ἱστορία ἡνίκα ὁ Ἰωὰβ ἀπέκτεινεν αὐτόν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Ἀμεσσαεὶ 'ἠλειμμένος' ἢ 'ἀλείφων' ἑρμηνεύεται· λαμβάνεται οὖν ἐπὶ τῆς ἀπαθείας, ὡς πᾶσαν λαβὴν τῶν ἐναντίων διαφεύγων εὐχερῶς διὰ τὴν τελειότητα, ὁ δὲ Ἰωὰβ ἐπὶ τῆς ἀνδρείας. Ὅτ' ἂν οὖν ἡ ψυχὴ διὰ τῆς ἀνδρείας μετὰ τὴν ἐν ἕξει τελείαν ἀπάθειαν καταλείψασα τὴν εὐχήν, πάθει τινὶ μάτην προσασχολεῖται, ἀποκτέννει, τουτέστιν ἄπρακτον ποιεῖ τὸν τελεώτερον τῆς θεωρίας τρόπον, τοῖς ἡττημένοις ἐχθροῖς προσασχολουμένη.

ΕΡΩΤΗΣΙΣ 171

Τί σημαίνει ἡ κατὰ τὸν αὐτὸν Ἰωὰβ ἱστορία ὅτε ἀπέκτεινε τὸν Ἀβεννὴρ καὶ τίς ἡ ἐπενεχθεῖσα αὐτῷ κατάρα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐνταῦθα ὁ Ἰωὰβ ἐπὶ τοῦ μνησικάκου λαμβάνεται λογισμοῦ, καθ' οὗ καὶ τὴν κατάραν δέχεται, τὸ ἐπὶ σκυτάλης ἐπε-

93. Β' Βασ. 20,8–10. 94. Β' Βασ. 3,27.

νοῦς αἰσθανθεῖ τὴν ἐξέγερση τῆς ὑπερηφάνειας, ἀποστέλλει τὸν Ἰωάβ, δηλαδὴ τὴν ἀνδρεία, ποὺ διώχνει καὶ παροτρύνει τὶς δυνάμεις τῆς ψυχῆς νὰ φονεύσουν τὴν ὑπερηφάνεια. Φεύγοντας λοιπὸν αὐτὴ κρύβεται, σὰν μέσα σὲ πόλη, σὲ μιὰ ἀρετή. Ἡ ἀνδρεία τὴν ἐκπορθεῖ, ζητώντας νὰ πραγματοποιήσει τὸ φόνο τῆς ὑπερηφάνειας. Ἡ σοφὴ γυναίκα τότε, ποὺ εἶναι ἡ σοφία, μὲ τὴν εὕρεση τῶν συστατικῶν αἰτίων τῆς ἀρετῆς πραγματοποιεῖ τὸ φόνο τῶν ποιητικῶν αἰτίων τῶν παθῶν, τὰ ὁποῖα δίνουν ὑπόσταση σὲ κάθε κακία μέσα στὴν ψυχή.

ΕΡΩΤΗΣΗ 170

Τί σημαίνει ἡ ἱστορία τοῦ Ἀμεσσαεί, ὅταν τὸν σκότωσε ὁ Ἰωάβ[93];

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἀμεσσαεὶ ἐξηγεῖται 'ἀλειμμένος' ἢ 'αὐτὸς ποὺ ἀλείφει'· χρησιμοποιεῖται λοιπὸν μὲ τὴν ἔννοια τῆς ἀπάθειας, ἐπειδὴ ξεφεύγει εὔκολα κάθε λαβὴ τῶν ἐχθρῶν ἐξαιτίας τῆς τελειότητάς του, ἐνῶ ὁ Ἰωὰβ μὲ τὴν ἔνοια τῆς ἀνδρείας. Ὅταν λοιπὸν ἡ ψυχὴ μὲ τὴν ἀνδρεία καὶ μετὰ τὴν τέλεια ἀπάθεια στὴ συμπεριφορά της, ἐγκαταλείποντας τὴν προσευχή, ἀσχολεῖται μάταια μὲ κάποιο ἐπιπρόσθετο πάθος, σκοτώνει, δηλαδὴ ἀδρανοποιεῖ τὸν τελειότερο τρόπο τῆς θεωρίας, ἀσχολούμενη ἐπιπλέον μὲ τοὺς νικημένους ἐχθρούς.

ΕΡΩΤΗΣΗ 171

Τί σημαίνει ἡ ἱστορία τοῦ ἴδιου Ἰωὰβ ὅταν σκότωσε τὸν Ἀβεννὴρ[94] καὶ ποιά ἦταν ἡ ἐναντίον του κατάρα[95];

ΑΠΟΚΡΙΣΗ

Ἐδῶ ὁ Ἰωὰβ ἀντιπροσωπεύει τὸν μνησίκακο λογισμὸ καὶ γι' αὐτὸ δέχεται καὶ τὴν κατάρα· τὸ ὅτι στηρίζεται στὸ ρόπαλο

95. Β' Βασ. 3,29.

ρείδεσθαι καὶ ἐν ῥομφαίᾳ πίπτειν, δηλοῦντος, οἶμαι, τοῦ λόγου διὰ μὲν τῆς σκυτάλης τὴν περὶ τὰ αἰσθητὰ τοῦ μνησικάκου ἐλπίδα –πᾶς γὰρ μνησίκακος λογισμός, ἀεὶ ἐν τοῖς ὑλικοῖς εἱλούμενος, ἐν αὐτοῖς καὶ τὴν ἐπερείδησιν ἔχει– διὰ δὲ τοῦ «πίπτειν ἐν ῥομφαίᾳ» τὴν διὰ τοῦ τομωτάτου λόγου τῆς τοιαύτης σχέσεως ἀναίρεσιν.

ΕΡΩΤΗΣΙΣ 172

Τίνος ἐπέχει πρόσωπον ὁ Χοῦσι ἡνίκα ἔπεμψεν αὐτὸν ὁ Δαυῒδ «διασκεδάσαι τὴν βουλὴν τοῦ Ἀχιτόφελ»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ Χοῦσι υἱὸς ἦν τοῦ Ἰεμινί, ὡς μὲν εἰς τὸ ἴδιον πρόσωπον ἑρμηνεύεται 'νήθων', ὡς δὲ πρὸς τὴν τοῦ πατρὸς σχέσιν λέγεται 'υἱὸς δεξιός', λαμβάνεται δὲ ἐπὶ τῆς διακρίσεως· αὐτὴ γὰρ τῇ διαγνωστικῇ δυνάμει λεπτύνει καὶ διασκεδάζει τῶν ἀντικειμένων τὰς βουλάς.

ΕΡΩΤΗΣΙΣ 173

Τί σημαίνει τὸ εἰρημένον τῷ Ἀποστόλῳ «τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Θεὸς κατὰ μὲν τὴν οὐσίαν ἀποφατικῶς πάντων ὑφεξῄρηται τῶν ὄντων· οὔτε γὰρ λέγεται, οὔτε νοεῖται, οὐδὲ μετέχεται οὐδαμῶς ἀπό τινος· κατὰ δὲ τὴν προνοητικὴν πρόοδον ὑπὸ πολλῶν μετεχόμενος, ὑπ' αὐτῶν καὶ πληροῦται. Ἕκαστον γὰρ τῶν γεγονότων κατὰ τὸν ἑαυτοῦ λόγον, τὸν ἐν τῷ Θεῷ ὄντα, μέλος Θεοῦ λέγεται εἶναι καὶ τόπον ἐν τῷ Θεῷ ἔχειν· ἀμέλει τοι καὶ εἰ κατ' αὐτὸν κινηθείη σοφῶς τε καὶ λελογισμένως, ἐν τῷ Θεῷ γενήσεται, τὸν ἑαυτοῦ τόπον πληρῶν καὶ τὴν εὐπρέπειαν ἐν τῷ σώματι τοῦ Χριστοῦ ὡς μέλος εὔχρηστον ἐργαζόμενος.

96. Β' Βασ. 3,29. 97. Β' Βασ. 15,32–34. 98. Ἐφ. 1,23. 99. Α' Κορ. 6,15.

καὶ σκοτώνεται μὲ ξίφος[96], νομίζω ὅτι μὲ τὴ σκυτάλη δηλώνει τὴ σχετικὴ μὲ τὰ αἰσθητὰ ἐλπίδα τοῦ μνησίκακου –γιατὶ κάθε λογισμὸς μνησικακίας κυλιέται πάντοτε στὰ ὑλικὰ καὶ σ' αὐτὰ ἔχει τὴ στήριξή του– ἐνῶ μὲ τὴ θανάτωσή του μὲ τὸ ξίφος δηλώνει τὴν ἀναίρεση τῆς σχέσης αὐτῆς.

ΕΡΩΤΗΣΗ 172

Ποιόν ἀντιπροσωπεύει ὁ Χοῦσι, ὅταν τὸν ἔστειλε ὁ Δαβὶδ νὰ διαλύσει τὸ σχέδιο τοῦ Ἀχιτόφελ[97];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ Χοῦσι ἦταν γιὸς του Ἰεμινί, προσωπικὰ ὁ ἴδιος ἑρμηνεύεται 'αὐτὸς ποὺ γνέθει', ὡς πρὸς τὴ σχέση του μὲ τὸν πατέρα του λέγεται 'υἱὸς ἐπιδέξιος' καὶ χρησιμοποιεῖται μὲ τὴν ἔννοια τῆς διάκρισης. Γιατὶ αὐτὴ μὲ τὴ διαγνωνιστική της δύναμη λεπτύνει καὶ διαλύει τὰ σχέδια τῶν ἐχθρῶν

ΕΡΩΤΗΣΗ 173

Τί σημαίνει ὁ λόγος τοῦ Ἀποστόλου «αὐτὸ ποὺ γεμίζει ἐκεῖνον ποὺ γεμίζει τὰ πάντα μὲ τὸ κάθετί τους»[98];

ΑΠΟΚΡΙΣΗ

Ὁ Θεὸς κατὰ τὴν οὐσία βρίσκεται σὲ ἀρνητικὴ σχέση καὶ ἀφαιρεῖται ἀπὸ ὅλα τὰ ὄντα. Γιατὶ οὔτε λέγεται οὔτε νοεῖται οὔτε μετέχεται καθόλου ἀπὸ κάποιο ὄν. Κατὰ τὴν προνοητική του ὅμως κίνηση ἐπειδὴ τὸν μετέχουν πολλά, αὐτὰ καὶ τὸν γεμίζουν. Γιατὶ τὸ κάθετι ποὺ ἔγινε μὲ τὸ Λόγο του, ποὺ εἶναι μέσα στὸ Θεό[99], λέγεται πὼς εἶναι μέλος τοῦ Θεοῦ κι ἔχει θέση μέσα στὸ Θεό[1]. Καὶ βέβαια ἂν κινηθεῖ κάτι ἔνθεα μὲ σοφία καὶ γνώση, θὰ φθάσει μέσα στὸ Θεό[2], παίρνοντας τὴ θέση του σ' αὐτὸν καὶ συντελώντας στὴν εὐρυθμία στὸ σῶμα τοῦ Χριστοῦ ὡς μέλος εὔχρηστο. Ὅποιος ὅμως ἐγκαταλείποντας παράλογα

1. Πράξ. 17,28. 2. Μαξίμου Ὁμολογητοῦ, *Διονυσίου καὶ Γρηγορίου Πρὸς Θωμᾶν τὸν ἡγιασμένον Περὶ διαφόρων ἀποριῶν*, PG 91,1080C.

Ὅστις δέ, ἀφεὶς τὸν ἴδιον λόγον, παραλόγως πρὸς τὰ ἀνύπαρκτα φέρεται, δίκην δικαίως αἰωνίαν ὑφέξει τῆς γενομένης ὅσον ἐπ' αὐτῷ μομφῆς ἐν τῷ σώματι τοῦ Χριστοῦ.

ΕΡΩΤΗΣΙΣ 174

Τί σημαίνει ὁ Ἀδωνιβέζεκ ὑπὸ τοῦ Ναυὴ Ἰησοῦ «κρεμνώμενος ἐπὶ διδύμου ξύλου»;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ δίδυμον ξύλον τύπον φέρει τῆς κατὰ ψυχὴν καὶ σῶμα πρὸς τὰ αἰσθητὰ ἐνεργείας καὶ σχέσεως. Ὅστις οὖν κατὰ τὸν Ἰησοῦν διὰ τῶν ἐντολῶν τέμνων τὴν ὁδὸν τῆς ἀρετῆς, ἀνενέργητον τὴν κακίαν ἐπί τε ψυχῆς καὶ σώματος πρός τε τὴν αἴσθησιν καὶ πρὸς τὰ παρὰ φύσιν ποιήσει, οὗτος «τὸν ἄρχοντα τοῦ κόσμου τούτου ἐπὶ διδύμου ξύλου ἐκρέμασεν».

ΕΡΩΤΗΣΙΣ 175

Τί σημαίνει ἡ κατὰ τὸν Ἀχαὰβ ἱστορία ἡνίκα ὁ προφήτης εἶδε τὰς ἀγγελικὰς δυνάμεις ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ προφήτης ἐνταῦθα τὸν καθόλου τῆς προνοίας ὑφαίνει λόγον, εἰδὼς πᾶσιν ἐμμεμίχθαι τὸν ἀρχικὸν λόγον· καὶ διὰ μὲν τῶν δεξιῶν τοὺς ὑποθετικοὺς τῶν καθηκόντων πράξεων εἰσηγεῖται λόγους, διὰ δὲ τῶν ἀριστερῶν τοὺς τῆς κρίσεως, ἤτοι τῶν οὐκ ἐφ' ἡμῖν. Ὅστις δὲ μήτε τῇ διδασκαλίᾳ τοῦ θείου νόμου, μήτε τῇ ἐπιφορᾷ τῶν συμβαινόντων θλίψεων πρὸς τὸ εὐθὲς ἄγεται, οὗτος παραδίδοται, καταλιμπανόμενος τῇ φιλαυτίᾳ, ἤτοι τῇ ἐν αὐτῷ ἁμαρτίᾳ, ἥτις, εἰς πλεῖονα κακῶν ὠθοῦσα βάθος, οὐχ ἵσταται, ἕως οὗ ἀποκτείνασα ἀμετανόητον τῷ ἐκεῖσε παραπέμψῃ δικαστηρίῳ.

---

3. Ἰησ. Ναυῆ 8,29.

τὸν λόγο του βαδίζει πρὸς τὰ ἀνύπαρκτα, δίκαια θὰ ὑποστεῖ τιμωρία αἰώνια γιὰ τὴ μομφὴ ποὺ προκλήθηκε ἐξαιτίας του στὸ σῶμα τοῦ Χριστοῦ.

ΕΡΩΤΗΣΗ 174

Τί σημαίνει τὸ κρέμασμα τοῦ Ἀδωνιβέζεκ ἀπὸ τὸν Ἰησοῦ τοῦ Ναυῆ πάνω σὲ δίδυμο ξύλο[3];

ΑΠΟΚΡΙΣΗ

Τὸ δίδυμο ξύλο εἶναι ὁ τύπος τῆς ἐνέργειας καὶ σχέσης τῆς ψυχῆς καὶ τοῦ σώματος μὲ τὰ αἰσθητά. Ὅποιος λοιπὸν κατὰ τὸν Ἰησοῦ ἀνοίγοντας μὲ τὶς ἐντολὲς τὸ δρόμο τῆς ἀρετῆς κάνει ἀναποτελεσματικὴ τὴν κακία πρὸς τὴν ψυχὴ καὶ τὸ σῶμα ὡς πρὸς τὴν αἴσθηση καὶ τὰ παραφύση, αὐτὸς πέτυχε νὰ κρεμάσει τὸν ἄρχοντα τοῦ κόσμου τούτου πάνω σὲ δίδυμο ξύλο[4].

ΕΡΩΤΗΣΗ 175

Τί σημαίνει ἡ ἱστορία σχετικὰ μὲ τὸν Ἀχαάβ, ὅταν ὁ προφήτης εἶδε τὶς ἀγγελικὲς δυνάμεις ἀπὸ δεξιὰ κι ἀπὸ ἀριστερά του[5];

ΑΠΟΚΡΙΣΗ

Ἐδῶ ὁ προφήτης ὑφαίνει τὸ συνολικὸ λόγο γιὰ τὴν πρόνοια, γνωρίζοντας ὅτι σ' ὅλα ἔχει ἀναμιχθεῖ ὁ ἀρχικὸς λόγος. Λέγοντας λοιπὸν ἀπὸ δεξιὰ εἰσηγεῖται τοὺς λόγους ποὺ προϋποθέτουν οἱ ἀπαραίτητες πράξεις, ἐνῶ μὲ τοὺς ἀπὸ τ' ἀριστερὰ τοὺς λόγους τῆς κρίσης, δηλαδὴ αὐτοὺς ποὺ ἐξαρτῶνται ἀπὸ ἐμᾶς. Ὅποιος τώρα δὲν ὁδηγεῖται στὸ ὀρθὸ οὔτε μὲ τὴ διδασκαλία τοῦ θείου νόμου οὔτε μὲ τὴν προσβολὴ τῶν θλίψεων ποὺ δοκιμάζει αὐτὸς παραδίδεται κι ἐγκαταλείπεται στὴ φιλαυτία, δηλαδὴ στὴ μέσα του ἁμαρτία, ποὺ ὠθώντας τον σὲ μεγαλύτερο βάθος κακῶν δὲν σταματᾶ, ὥσπου φονεύοντάς τον τὸν παραπέμψει ἀμετανόητο στὸ ἐκεῖ δικαστήριο.

4. Ἰω. 12,31· 14,30· 16,11· Ἰησ. Ναυῆ 8,29. 5. Γ' Βασ. 22,19.

ΕΡΩΤΗΣΙΣ 176

Τί σημαίνει ἡ ἐν τῷ Εὐαγγελίῳ συγκύπτουσα γυνὴ ἐπὶ ἔτη ιη';

ΑΠΟΚΡΙΣΙΣ

Ψυχὴ τοῖς αἰσθητοῖς ἐνησχημένη διὰ τῶν ταύτης τριῶν δυνάμεων σημαίνεται διὰ τῆς συγκυπτούσης γυναικός. Ὁ γὰρ ἕξ ἀριθμός, ἐν ᾧ ὁ αἰσθητὸς εἰς γένεσιν παρήχθη κόσμος, τρισσούμενος ἀποτελεῖ τὸν ὀκτωκαιδέκατον. Ἐὰν οὖν διὰ τῆς μετανοίας προσέλθῃ τῷ Λόγῳ καὶ Θεῷ, ὑγιὴς γίνεται, μηκέτι εἰς τὰ γήϊνα κατακύπτουσα, ἀλλὰ τὰ οὐράνια περιαθροῦσα κάλλη.

ΕΡΩΤΗΣΙΣ 177

Τί σημαίνει ἡ ᾠδὴ Ἀμβακοὺμ λέγουσα «ἐξέλειπον ἀπὸ βρώσεως πρόβατα καὶ οὐχ ὑπάρχουσι βόες ἐπὶ φάτνης»;

ΑΠΟΚΡΙΣΙΣ

Πρόβατά εἰσι τὰ τοῦ νοῦ νοήματα καὶ κινήματα, βόες δὲ ἡ πνευματικὴ διδασκαλία, φάτνη ἡ κατὰ πρᾶξιν ἀπάθεια, ἧς μὴ ὑπαρχούσης ἐκλιμπάνει ἡ πνευματικὴ διδασκαλία· ταύτης δὲ ἐκλειπούσης συνεκλείπειν αὐτῇ πέφυκε καὶ τὰ δι' αὐτῆς ἐν τῷ νοΐ ἡμῶν συνιστάμενα νοήματά τε καὶ κινήματα, τῆς ψυχῆς πρὸς τὰ τοῦ βίου πράγματα διὰ τὸν τοῦ λόγου λιμὸν κατερχομένης.

Ἢ καὶ ἄλλως· ἐξέλιπον τὰ λογικὰ πρόβατα ἐκ τοῦ μὴ σιτεῖσθαι τὴν πνευματικὴν τῆς διδασκαλίας βρῶσιν, διὰ τὸ μὴ ὑπάρχειν ἐπὶ τῆς φάτνης τῆς Ἐκκλησίας τοὺς πνευματικοὺς βόας, τοὺς διδασκάλους.

ΕΡΩΤΗΣΙΣ 178

Τί σημαίνει κατ' ἀναγωγὴν τὸ τοῦ Κυρίου παράγγελ-

6. Λουκᾶ 13,11. 7. Ἀββακ. 9,17.

ΕΡΩΤΗΣΗ 176

Τί διδάσκει ἡ κυρτωμένη ἐπὶ δεκαοκτὼ χρόνια γυναίκα τοῦ Εὐαγγελίου[6];

ΑΠΟΚΡΙΣΗ

Μὲ τὴν κυρτωμένη γυναίκα σημαίνεται ἡ ψυχὴ ποὺ ἔχει αἰχμαλωτιστεῖ μὲ τὶς τρεῖς δυνάμεις της. Ὁ ἀριθμὸς δηλαδὴ ἔξι, σύμφωνα μὲ τὸν ὁποῖο ἦρθε στὴ γένεση ὁ αἰσθητὸς κόσμος, ὅταν πολλαπλασιαστεῖ ἐπὶ τρία μας δίνει τὸ δεκαοχτώ. Ἂν λοιπὸν προσέλθει στὸ Λόγο καὶ Θεὸ μετανοημένη, βρίσκει τὴν ὑγεία της καὶ δὲν σκύβει πιὰ στὰ γήινα, ἀλλὰ κοιτάζει ὁλόγυρά της τὰ οὐράνια κάλλη.

ΕΡΩΤΗΣΗ 177

Τί σημαίνει ἡ ᾠδὴ τοῦ Ἀββακοὺμ ποὺ λέει, «φαγώθηκαν τὰ πρόβατα καὶ χάθηκαν, δὲν ὑπάρχουν πιὰ στὸ παχνὶ μοσχάρια»[7];

ΑΠΟΚΡΙΣΗ

Πρόβατα εἶναι τὰ νοήματα καὶ οἱ σκέψεις τοῦ νοῦ, μοσχάρι ἡ πνευματικὴ διδασκαλία, καὶ φάτνη ἡ ἀπάθεια στὶς πράξεις, πού, ἂν δὲν ὑπάρχει, χάνεται ἡ πνευματικὴ διδασκαλία. Κι ὅταν αὐτὴ χαθεῖ, χάνονται μαζί της καὶ τὰ νοήματα καὶ τὰ κινήματα τῆς ψυχῆς ποὺ δημιουργεῖ μέσα στὸ νοῦ μας, ἐπειδὴ ἡ ψυχὴ κατεβαίνει στὶς ἀσχολίες τῆς ζωῆς ἐξαιτίας τῆς πείνας τοῦ λόγου.

Ἢ καὶ ἀλλιῶς· χάθηκαν τὰ λογικὰ πρόβατα μὴ ἔχοντας νὰ φᾶνε τὴν πνευματικὴ τροφὴ τῆς διδασκαλίας, ἐπειδὴ δὲν ὑπῆρχαν στὴ πνευματικὴ φάτνη τῆς Ἐκκλησίας τὰ πνευματικὰ μοσχάρια, οἱ δάσκαλοι.

ΕΡΩΤΗΣΗ 178

Τί σημαίνει μεταφορικὰ τὸ παράγγελμα τοῦ Κυρίου,

μα, «ἐάν τις ἀγγαρεύσῃ σε μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ ἀγγαρεύων ἡμᾶς ἐστιν ὁ Κύριος διὰ τῆς αὐτοῦ διδασκαλίας τὸ ἓν τῆς ἐντολῆς αὐτοῦ μίλιον. Καλὸν οὖν ἡμᾶς ἀκούειν αὐτοῦ κελεύοντος καὶ ὑπάγειν δύο μίλια, τουτέστιν ὑπακούειν τῆς ἐντολῆς καὶ προστίθειν διὰ τῶν ἔργων τὸ ἄλλο ἓν μίλιον.

Ἢ καὶ ἄλλως· ἀγγαρευόμεθα τὸ τῆς πίστεως μίλιον, ἀπαιτούμεθα δὲ καὶ τὰ ἔργα τῆς πίστεως.

ΕΡΩΤΗΣΙΣ 179

Τί ἐστι τό, «ἐὰν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐάν σε, φησίν, οἱ δαίμονες διὰ τῶν λογισμῶν ῥαπίσωσιν εἰς τὴν δεξιὰν σιαγόνα, ἐπαίροντες διὰ τῶν δεξιῶν ἔργων, στρέψον τὴν ἄλλην, τουτέστι τὰ τῆς ἀριστερᾶς πράξεως ἔργα, ὅσα ἡμῖν πέπρακται, ὑπ' ὄψιν ἄγων.

ΕΡΩΤΗΣΙΣ 180

Τί σημαίνει τὸ εἰρημένον ἀπὸ τοῦ Κυρίου πρὸς τοὺς μαθητάς, ὅτι «οὐ μὴ πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου, ἕως ἂν αὐτὸ πίω καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ βρῶσις καὶ πόσις ἐστὶ τοῦ Θεοῦ ἡ ἡμετέρα σωτηρία κατὰ τὸ γεγραμμένον, ταύτην δὲ διὰ τῆς κατὰ σάρκα οἰκονομίας ἐκπληρώσας ὁ Κύριος καὶ τὸν περὶ ἡμᾶς αὐτοὺς

8. Ματθ. 5,41. 9. Ματθ. 5,39.

«ἂν σ' ἀγγαρέψει κάποιος γιὰ ἕνα μίλι, πήγαινε μαζί του δύο»[8];

ΑΠΟΚΡΙΣΗ

Αὐτὸς ποὺ μᾶς ἀγγαρεύει εἶναι ὁ Κύριος μὲ τὴ διδασκαλία του γιὰ τὸ ἕνα μίλι τῆς ἐντολῆς του. Εἶναι καλὸ λοιπὸν νὰ ἀκοῦμε τὴν προσταγή του καὶ νὰ πηγαίνομε δύο μίλια, δηλαδὴ νὰ ὑπακοῦμε στὴν προσταγή, καὶ νὰ προσθέτομε μὲ τὰ ἔργα τὸ ἄλλο ἕνα μίλι.

Ἢ καὶ διαφορετικά· ἀγγαρευόμαστε γιὰ τὸ ἕνα μίλι τῆς πίστης καὶ μᾶς ζητοῦνται καὶ τὰ ἔργα τῆς πίστης.

ΕΡΩΤΗΣΗ 179

Τί σημαίνει τὸ παράγγελμα, «ἂν σὲ ραπίσει κάποιος στὸ δεξὶ μάγουλο, γύρισέ του καὶ τὸ ἄλλο»[9];

ΑΠΟΚΡΙΣΗ

Ἂν οἱ δαίμονες, λέει, μὲ τοὺς διάφορους λογισμοὺς σὲ ραπίσουν στὸ δεξιὸ μάγουλο κολακεύοντάς σε γιὰ τὰ δεξιά σου ἔργα, γύρισέ τους καὶ τὸ ἄλλο, δηλαδὴ φέρνοντας μπροστὰ ὅσα ἔργα ἔπραξες μὲ τὶς πράξεις σου ἀπὸ τ' ἀριστερά.

ΕΡΩΤΗΣΗ 180

Τί σημαίνει ὁ λόγος τοῦ Κυρίου στοὺς μαθητές του, «δὲ θὰ πιῶ ἀπὸ τὸ καινούργιο κρασὶ τοῦ ἀμπελιοῦ ὥσπου νὰ τὸ πιῶ καινούργιο μαζί σας στὴ βασιλεία τοῦ Πατέρα μου»[10];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ τροφὴ καὶ ποτὸ τοῦ Θεοῦ εἶναι, σύμφωνα μὲ ὅ,τι ἔχει γραφεῖ, ἡ σωτηρία μας[11], αὐτήν, ἀφοῦ τὴν πραγματοποίησε ὁ Κύριος μὲ τὴν οἰκονομία τῆς σάρκωσής του κι ἔφερε σὲ πέ-

10. Ματθ. 26,29. Μάρκ. 14,25. 11. Ρωμ. 14,17.

σωτήριον σκοπὸν εἰς πέρας ἀγαγὼν διὰ τῆς αὐτοῦ διδασκαλίας καὶ πολιτείας, τοὺς αὐτοῦ μαθητὰς ὑπὲρ τὴν αἴσθησιν ποιήσας γενέσθαι, «οὐκέτι», φησίν, «πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου», τουτέστι τῆς οἰκονομηθείσης διὰ τῆς αὐτοῦ ἐνδημίας τοῖς ἀνθρώποις σωτηρίας. Ἀλλ' ἐν τῷ μέλλοντι αἰῶνι πίνει τοῦτο καινόν, τουτέστιν ἀνανεούμενον διὰ τοῦ ἁγίου Πνεύματος, καὶ θεοὺς χάριτι τοὺς ἀξίους ἀπεργαζόμενος διὰ τῆς ἐκστατικῆς καὶ μεμεθυσμένης τῶν ἀγαθῶν μετουσίας.

ΕΡΩΤΗΣΙΣ 181

Τί ἐστι τὸ «οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσι ἔτη»;

ΑΠΟΚΡΙΣΙΣ

Κηδόμενος ὁ Θεὸς τῆς τῶν ἀνθρώπων τότε σωτηρίας προεῖπεν ἔσεσθαι τὴν αὐτῶν ζωὴν ἑκατὸν εἴκοσι ἔτη· ἕως οὗ γὰρ ἐχρηματίσθη ὁ Νῶε κατασκευάσαι τὴν κιβωτὸν ἐγένοντο εἴκοσι ἔτη· ἐν ἑκατὸν δὲ ἔτεσιν ἔμεινε τεκταίνων τὴν κιβωτόν, ὥστε διὰ τῆς παραστάσεως ἐλθεῖν αὐτοὺς εἰς διόρθωσιν· μετὰ ταῦτα δὲ ἐπήγαγε τὸν κατακλυσμὸν καὶ ἦρεν ἅπαντας. Καὶ ἀληθεύει ἡ Γραφὴ ἑκατὸν εἴκοσι ἔτη ἔσεσθαι τῇ γενεᾷ ἐκείνῃ ἐξότε ἠπείλησεν αὐτοῖς.

ΕΡΩΤΗΣΙΣ 182

Τί δηλοῖ ἐν ταῖς Πράξεσιν ὁ Εὔτυχος πεσὼν «ἀπὸ τοῦ τριστέγου, διαλεγομένου τοῦ Παύλου»;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς νοῦς τὴν πρακτικὴν καθάπερ πρώτην στέγην ἀναβὰς

12. Ματθ. 26,29. Μάρκ. 14,25.
13. Γεν. 6,3.

ρας τὸ σκοπὸ τῆς σωτηρίας ποὺ μᾶς ἀφοροῦσε μὲ τὴ διδασκαλία καὶ τὴν πολιτεία του κάνοντας τοὺς μαθητές του νὰ ξεπεράσουν τὴν αἴσθηση, λέει· «δὲ θὰ πιῶ ἀπὸ τὸ γένημα τοῦ ἀμπελιοῦ»[12], δηλαδὴ τὴ σωτηρία ποὺ οἰκονομήθηκε μὲ τὸν ἐρχομό του στοὺς ἀνθρώπους. Ἀλλὰ θὰ πιεῖ τὸ κρασὶ καινούργιο στὸ μελλοντικὸ αἰώνα, δηλαδὴ ἀνανεωμένο ἀπὸ τὸ ἅγιο Πνεῦμα, καὶ κάνοντας τοὺς ἄξιους θεοὺς κατὰ χάρη μὲ τὴν ἐκστατικὴ καὶ μεθυστικὴ μετουσία τῶν ἀγαθῶν.

ΕΡΩΤΗΣΗ 181

Τί σημαίνει τὸ «δὲ θὰ μείνει τὸ Πνεῦμα σ' αὐτοὺς τοὺς ἀνθρώπους ἐπειδὴ εἶναι σάρκες· ἡ διάρκεια τῆς ζωῆς τους θὰ εἶναι ἑκατὸν εἴκοσι χρόνια»[13];

ΑΠΟΚΡΙΣΗ

Φροντίζοντας ὁ Θεὸς τότε γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων, προανάγγειλε ὅτι ἡ ζωή τους θὰ κρατήσει ἑκατὸν εἴκοσι χρόνια. μέχρι ποὺ εἰδοποιήθηκε ὁ Νῶε νὰ κατασκευάσει τὴν κιβωτὸ συμπληρώθηκαν εἴκοσι χρόνια· ἑκατὸ χρόνια κράτησε ἡ κατασκευὴ τῆς κιβωτοῦ[14], ὥστε, βλέποντάς την, νὰ φτάσουν νὰ διορθωθοῦν. Ἔπειτα ἀπὸ αὐτὰ ἐπέφερε τὸν κατακλυσμὸ καὶ τοὺς ἐξόντωσε ὅλους. Ἔτσι βγαίνει λοιπὸν ἀληθινὴ ἡ Γραφὴ ὅτι θὰ περάσουν ἑκατὸν εἴκοσι χρόνια γιὰ τὴ γενιὰ ἐκείνη ἀπὸ τότε ποὺ τοὺς ἀπείλησε.

ΕΡΩΤΗΣΗ 182

Τί σημαίνει τὸ ἀναφερόμενο στὶς Πράξεις πέσιμο τοῦ Εὐτυχου ἀπὸ τὸ τρίτο πάτωμα, ἐνῶ μιλοῦσε ὁ Παῦλος[15];

ΑΠΟΚΡΙΣΗ

Κάθε νοῦς ἀφοῦ ἀνέβηκε τὴν πρακτικὴ σὰν τὸ πρῶτο πά-

14. Γεν. 5,32· 6,6· 7,11. 15. Πράξ. 20,9.

καὶ τῇ φυσικῇ θεωρίᾳ ὡς δευτέρᾳ στέγῃ ἐπιστήσας ἑαυτὸν καὶ διὰ τῆς ἀνενδυάστου πίστεως τῷ τῆς θεολογίας ὕψει ὥσπερ τρίτῃ στέγῃ ἑαυτὸν ἐπιβιβάσας, εἶτα τοῦ θείου λόγου καταμελήσας καὶ νυστάξας, πίπτει ἀπὸ τοῦ εἰρημένου τριστέγου· εἰ δὲ ἐπιπίπτων αὐτῷ ὁ λόγος τῆς διδασκαλίας εὕρῃ ἐν αὐτῷ ζωτικόν τι καὶ μὴ πάντῃ διὰ τῆς ἀπογνώσεως ἐνεκρώθη, διὰ τῆς μετανοίας πάλιν ζωοποιεῖται.

ΕΡΩΤΗΣΙΣ 183

Πῶς τῆς προθέσεως οὐ ταύτῆς οὔσης, ἓν τὸ δηνάριον λέγεται ἐν τῷ Εὐαγγελίῳ δίδοσθαι παρὰ τοῦ οἰκοδεσπότου τοῖς ἐν τῷ ἀμπελῶνι καμοῦσι, καὶ ὅτι αἱ κλήσεις διάφοροι;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν ἁγίων πατέρων τὰς διαφόρους κλήσεις τὰς διαφόρους ἡλικίας σημαίνειν, ἕτεροι δὲ τὰς διαφόρους προθέσεις. Τὸ δὲ δηνάριον ὑπόθου εἶναι τὴν σωφροσύνην, ἀλλὰ πολλαὶ ταύτης αἱ διαφοραί· ὁ μὲν γὰρ ἔχων τὴν ἑαυτοῦ γυναῖκα, ταύτης τυχὼν φυλάττει κατὰ τοῦτο τὴν σωφροσύνην· ἔστι δὲ ἄλλος ὑψηλότερος τούτου, ὅτι οὐ συνεχῶς κέχρηται τῇ ἀδείᾳ τοῦ νόμου· ἄλλος δὲ διὰ μόνην τὴν ἐκ διαδοχῆς παιδοποιΐαν τοῦ γένους ταύτῃ κέχρηται· ἕτερος δὲ μετὰ τὸ τυχεῖν ἑνὸς ἢ δευτέρου παιδὸς τέλεον ἀφίσταται τῆς γαμικῆς ὁμιλίας· ἔστι δὲ ὁ πάντων τούτων ὑψηλότερος, ὁ μηδόλως ἑαυτὸν ἐπιδώσας τῷ γάμῳ, ἀλλὰ διὰ τὴν εἰς τὸν Κύριον ἀγάπην τὴν παρθενίαν ἀσκῶν. Ἔδειξεν οὖν ὁ λόγος πέντε προθέσεις, μίαν τῆς μιᾶς ὑψηλοτέραν, ἐν αἷς δηλοῦνται αἱ πέντε κλήσεις καὶ τὸ ἓν τῆς σωφροσύνης δηνάριον· τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν ἔκλαβε.

16. Πράξ. 20,10.

τωμα κι ἀφοῦ πρόσεξε τὴ φυσικὴ θεωρία σὰν δεύτερο πάτωμα καὶ μὲ τὴν ἀνεπιφύλαχτη πίστη ἀφοῦ ἔφτασε στὸ ὕψος τῆς θεολογίας σὰν σὲ τρίτο πάτωμα, στὴ συνέχεια, ἐπειδὴ ἀδιαφόρησε γιὰ τὸ θεῖο λόγο καὶ νύσταξε, πέφτει ἀπὸ τὸ τρίτο πάτωμα ποὺ εἴπαμε. Ἂν πέφτοντας τότε ἐπάνω του ὁ λόγος τῆς διδασκαλίας βρεῖ μέσα του ἕνα ζωτικὸ στοιχεῖο[16] καὶ δὲν τὸν ἔχει νεκρώσει τελείως ἡ ἀπόγνωση, τότε μὲ τὴ μετάνοια ζωντανεύει καὶ πάλι[17].

ΕΡΩΤΗΣΗ 183

Πῶς, ἐνῶ ἡ πρόθεση δὲν εἶναι ἡ ἴδια, λέγεται στὸ Εὐαγγέλιο ὅτι ὁ οἰκοδεσπότης δίνει σ' ὅσους κοπίασαν στὸ ἀμπέλι τὸ ἴδιο ἕνα δηνάριο, ἂν καὶ ἡ πρόσκληση γιὰ ἐργασία ἔγινε σὲ διαφορετικὴ ὥρα[18];

ΑΠΟΚΡΙΣΗ

Μερικοὶ ἅγιοι πατέρες λένε ὅτι οἱ διαφορετικὲς προσκλήσεις σημαίνουν τὶς διαφορετικὲς ἡλικίες καὶ ἄλλοι τὶς διαφορετικὲς προθέσεις. Τὸ δηνάριο ὑπόθεσε πὼς εἶναι ἡ σωφροσύνη ἀλλ' ὅτι οἱ παραλλαγές της εἶναι πολλές. Ὅποιος ἔχει δηλαδὴ τὴ δική του γυναίκα ἀφότου τὴν ἔλαβε, μ' αὐτὸ τὸ νόημα φυλάγει τὴ σωφροσύνη. Ὑπάρχει ἄλλος ποὺ εἶναι ἀνώτερος ἀπὸ αὐτόν, γιατὶ δὲν χρησιμοποιεῖ συνεχῶς τὴν ἄδεια τοῦ νόμου. Ἄλλος πάλι τὴν πλησιάζει μόνο γιὰ νὰ τεκνοποιήσει γιὰ τὴ διαδοχὴ τοῦ γένους. Ἄλλος, ἀφοῦ κάνει ἕνα ἢ δύο παιδιά, διακόπτει τελείως τὴ συζυγικὴ συνουσία. Ὑπάρχει ὅμως καὶ ὁ ἀνώτερος ἀπὸ ὅλους αὐτούς, αὐτὸς ποὺ δὲν δέθηκε καθόλου μὲ τὸ γάμο, ἀλλὰ φύλαξε τὴν παρθενία ἀπὸ ἀγάπη γιὰ τὸν Κύριο. Ὁ λόγος μας λοιπὸν ἔδειξε πέντε προθέσεις κάθε μιὰ ὑψηλότερη ἀπὸ τὴν ἄλλη, μὲ τὶς ὁποῖες φανερώνονται οἱ πέντε προσκλήσεις καὶ τὸ ἕνα δηνάριο. Αὐτὸ μετάφερέ το καὶ στὶς ἄλλες ἀρετές.

---

17. Πράξ. 20,12.
18. Ματθ. 20,1-16.

ΕΡΩΤΗΣΙΣ 184

Τί δηλοῖ τὰ κατὰ τὸν προφήτην Ἰωνᾶν καὶ τίς ἡ Ἰόππη ἐξ ἧς φεύγει;

ΑΠΟΚΡΙΣΙΣ

Λαμβάνεται ὁ Ἰωνᾶς φεύγων ἀπὸ προσώπου Κυρίου εἰς τὴν ἡμετέραν φύσιν· αὕτη γὰρ οὖσα εἰς Ἰόππην –ἑρμηνεύεται δὲ 'κατασκοπὴ χαρᾶς', δηλοῦται δὲ ὁ παράδεισος– ἔφυγεν διὰ τῆς παρακοῆς καὶ δίδωσιν ἑαυτὴν ἐν τῇ θαλάσσῃ τοῦ βίου καὶ χειμάζεται καὶ καταπίνεται ὑπὸ τοῦ νοητοῦ κήτους καὶ ἐμεῖται διὰ τῆς τοῦ Κυρίου ἐν τῷ ᾅδῃ τριημέρου ταφῆς. Λαμβάνεται δὲ πάλιν καὶ εἰς τὸ προφητικὸν χάρισμα καὶ κηρύσσει ἐν τῇ Νινευῇ, τουτέστιν εἰς τὰ ἔθνη, καὶ ἀδημονεῖ ἐπὶ τῇ κολοκύνθῃ· ἔστι δὲ ἡ κολόκυνθα ἡ σωματικὴ τοῦ νόμου λατρεία, ἣν ὁ σκώληξ ἐξήρανεν, ὁ Κύριος Ἰησοῦς ὁ Χριστός, ὁ εἰπὼν «ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος»· κατήργησε γὰρ διὰ τῆς αὐτοῦ παρουσίας τὴν πρόσκαιρον τοῦ νόμου λατρείαν.

Τὸ δὲ εἶναι ἐν τῇ πόλει δώδεκα χιλιάδας, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστεράν, σημαίνει τοὺς μήτε ὑπερβολῇ μήτε ἐλλείψει, ἀλλὰ μεσότητι καὶ ὁδῷ βασιλικῇ τὴν ἀρετὴν μετιόντας.

ΕΡΩΤΗΣΙΣ 185

Τί δήποτε κόραξ διατρέφει τὸν Ἠλίαν πρωὶ μὲν ἄρτον, δείλης δὲ κρέα;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ κόραξ λαμβάνεται ἐπὶ τῆς φύσεως τῆς διὰ τῆς παρακοῆς μελανθείσης, Ἠλίας δὲ καθήμενος ἐν τῷ χειμάρρῳ λαμβάνεται ἐπὶ τοῦ νοὸς τοῦ γνωστικοῦ ἐν τῷ χειμάρρῳ τῶν πειρασμῶν καὶ τῶν πόνων τῆς ἀσκήσεως ἱδρυμένου. Οὗτος τρέφεται ἐκ τῆς μελανθείσης φύσεως πρωὶ μὲν ἄρτον, τουτέστι

---

19. Ἰωνᾶς 1,31. 20. Ἰωνᾶς 1,4· 2,1–11· 3,4· 4,7–8.

ΕΡΩΤΗΣΗ 184

Τί σημαίνει τὸ συμβὰν στὸν προφήτη Ἰωνᾶ καὶ ποιά εἶναι ἡ Ἰόππη ἀπὸ τὴν ὁποία φεύγει[19];

ΑΠΟΚΡΙΣΗ

Ὁ Ἰωνᾶς ποὺ φεύγει ἀπὸ μπροστὰ ἀπὸ τὸν Κύριο ἐκπροσωπεῖ τὴ φύση μας. Αὐτή, ἐνῶ ἦταν στὴν Ἰόππη –ποὺ ἑρμηνεύεται 'παρατήρηση χαρᾶς' καὶ δηλώνεται ὁ παράδεισος– ἔφυγε ἐξαιτίας τῆς παρακοῆς της καὶ παραδίνεται στὴ θάλασσα τοῦ βίου καὶ θαλασσοδέρνεται καὶ τὴν καταπίνει τὸ νοητὸ κῆτος καὶ τὴν ἐξεμεῖ μὲ τὴν τριήμερη ταφὴ τοῦ Κυρίου στὸν ἅδη. Ἐκπροσωπεῖ ὅμως καὶ τὸ προφητικὸ χάρισμα καὶ κηρύττει στὴ Νινευή, δηλαδὴ στὰ ἔθνη καὶ ἀγανακτεῖ γιὰ τὴν κολοκυθιά[20]. Ἡ κολοκυθιὰ εἶναι ἡ σωματικὴ λατρεία τοῦ νόμου, ποὺ τὴν ξέρανε τὸ σκουλήκι, ὁ Κύριος Ἰησοῦς Χριστός, ποὺ εἶπε «ἐγὼ εἶμαι σκουλήκι, δὲν εἶμαι ἄνθρωπος»[21]· γιατὶ μὲ τὴν παρουσία του κατάργησε τὴν πρόσκαιρη λατρεία τοῦ νόμου.

Ἡ ὕπαρξη μέσα στὴν πόλη «τῶν δώδεκα χιλιάδων ἀνθρώπων ποὺ δὲν γνώριζαν δεξιὸ ἢ ἀριστερό»[22], σημαίνει αὐτοὺς ποὺ ἀσκοῦσαν τὴν ἀρετὴ οὔτε μὲ ὑπερβολὴ οὔτε μὲ ἔλλειψη, ἀλλὰ μὲ τὴ μεσότητα καὶ ἀκολουθώντας τὸ βασιλικὸ δρόμο.

ΕΡΩΤΗΣΗ 185

Γιὰ ποιό λόγο τὸ κοράκι τρέφει τὸν Ἠλία τὸ πρωὶ μὲ ψωμὶ καὶ τὸ δειλινὸ μὲ κρέας[23];

ΑΠΟΚΡΙΣΗ

Ὁ κόρακας λαμβάνεται μὲ τὴν ἔννοια τῆς φύσης ποὺ μαύρισε ἐξαιτίας τῆς παρακοῆς, ἐνῶ ὁ Ἠλίας ποὺ κάθεται στὸ χείμαρρο λαμβάνεται μὲ τὴν ἔννοια τοῦ γνωστικοῦ νοῦ ποὺ κάθεται στὸ χείμαρρο τῶν πειρασμῶν καὶ τῶν κόπων τῆς ἄσκησης. Αὐτὸς ἔχει ὡς τροφὴ ποὺ τοῦ δίνει ἡ μαυρισμένη φύση, ψωμὶ

21. Ψαλμ. 21,7. 22. Ἰωνᾶς 14,11. 23. Γ' Βασ. 17,6.

γνῶσιν ἐκ τῆς τῶν ὄντων φυσικῆς θεωρίας συλλέγων,· δείλης δὲ κρέα· μυεῖται γὰρ τὸ ἐπ' ἐσχάτων τοῦ Κυρίου γενησόμενον τῆς ἐνανθρωπήσεως μυστήριον, ὅτι πάντως ἐκ τοῦ μὴ ὄντος ὑποστήσας τὴν φύσιν, καὶ διαφθαρεῖσαν ἐπανορθώσηται.

Ἢ καὶ ἄλλως· Ἠλίας εἰς τύπον τοῦ Κυρίου λαμβάνεται· αὐτὸς γάρ, λιμοῦ νοητοῦ πάσας τὰς καρδίας κατέχοντος, ἦλθεν ἐν τῷ χειμάρρῳ, τουτέστιν ἐν τῷ βίῳ, τῶν πειρασμῶν καὶ τῶν παθῶν ἑκὼν ἀνασχόμενος, καὶ οἱ ἴδιοι εἰς τὰ ἴδια ἐλθόντα οὐ παρέλαβον οὐδὲ ἔθρεψαν, τὰ δὲ ἔθνη τὰ τῇ εἰδωλολατρίᾳ μεμελανωμένα ὑπεδέξαντο καὶ ἔθρεψαν διὰ γνώσεως καὶ πράξεως, διὰ τοῦ ἄρτου τῆς γνώσεως δηλουμένης, διὰ δὲ τοῦ κρέατος τῆς πράξεως.

ΕΡΩΤΗΣΙΣ 186

Τί ἐστιν τὸ ἐν τῷ ψαλμῷ «ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν»;

ΑΠΟΚΡΙΣΙΣ

«Γίγας» ἑρμηνεύεται 'ἐπιπίπτων', λαμβάνεται δὲ εἰς τὸν Κύριον· αὐτὸς γὰρ ἠγαλλιάσατο κατὰ τὴν ὁδὸν τῆς οἰκονομίας τὴν ἡμετέραν σωτηρίαν πραγματευσάμενος, καὶ ἐπέπεσε ταῖς δαιμονικαῖς φάλαγξιν, καταργήσας αὐτῶν τὴν καθ' ἡμῶν δυναστείαν.

ΕΡΩΤΗΣΙΣ 187

Ἐκ τοῦ οα' ψαλμοῦ· «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη».

ΑΠΟΚΡΙΣΙΣ

Δῆλον πᾶσίν ἐστιν ὡς περὶ τῆς ἐνσάρκου πολιτείας τοῦ

---

24. Ἰω. 1,11. 25. Ψαλμ. 18,6. 26. Ψαλμ. 71,7.

τὸ πρωί, δηλαδὴ γνώση ποὺ μαζεύει ἀπὸ τὴ φυσικὴ θεωρία τῶν ὄντων, καὶ τὸ δειλινὸ κρέας· γιατὶ διδάσκεται μυστικὰ τὸ μυστήριο τῆς ἐνανθρώπησης τοῦ Κυρίου ποὺ θὰ γινόταν στὸ τέλος τῶν καιρῶν, ὅτι δηλαδὴ ἀφοῦ ἔδωσε ὑπόσταση στὴ φύση ἀπὸ τὸ μηδέν, θὰ τὴν ἐπανορθώσει ὁπωσδήποτε μετὰ τὴ διαφθορά της.

Ἢ καὶ μὲ ἄλλο τρόπο. Ὁ Ἠλίας ἀποτελεῖ τὸν τύπο τοῦ Κυρίου. Αὐτὸς δηλαδή, ἐνῶ κατεῖχε νοητὴ πείνα ὅλες τὶς καρδιές, ἦρθε στὸ χείμαρρο, δηλαδὴ στὴ ζωή, καὶ δέχτηκε ἑκούσια πειρασμοὺς καὶ πάθη, καὶ «ὅταν ἦρθε στοὺς δικούς του[24] οἱ ἴδιοι οἱ δικοί του οὔτε τὸν δέχτηκαν» οὔτε τοῦ ἔδωσαν φαγητό. Τὸν δέχτηκαν ὅμως τὰ ἔθνη ποὺ ἦταν μαυρισμένα ἀπὸ τὴν εἰδωλολατρία καὶ τοῦ ἔδωσαν τροφὴ μὲ τὴ γνώση καὶ τὴν πράξη, ποὺ μὲ τὸ ψωμὶ δηλώνεται ἡ γνώση, ἐνῶ μὲ τὸ κρέας ἡ πράξη.

ΕΡΩΤΗΣΗ 186

Τί σημαίνει ὁ στίχος τοῦ ψαλμοῦ, «θὰ χαρεῖ σὰ γίγαντας νὰ διατρέξει τὸ δρόμο του»[25];

ΑΠΟΚΡΙΣΗ

Ἡ λέξη γίγας σημαίνει αὐτὸς ποὺ ἐφορμᾶ καὶ λαμβάνεται πρὸς δήλωση τοῦ Κυρίου. Γιατὶ αὐτὸς ἔνιωσε ἀγαλλίαση στὴν πορεία τῆς οἰκονομίας πραγματοποιώντας τὴ σωτηρία μας καὶ ἔπεσε πάνω στὶς δαιμονικὲς φάλαγγες καταργώντας τὴν ἐναντίον μας δυνάστευσή τους.

ΕΡΩΤΗΣΗ 187

Ἀπὸ τὸν ἑβδομηκοστὸ πρῶτο ψαλμό· «θ' ἀνατείλει στὶς μέρες του δικαιοσύνη καὶ πλοῦτος εἰρήνης, ὥσπου νὰ ἐξαφανιστεῖ ἡ σελήνη»[26].

ΑΠΟΚΡΙΣΗ

Εἶναι φανερὸ σὲ ὅλους ὅτι ὁ προφήτης ἔκανε αὐτὴν τὴν

Κυρίου ὁ προφήτης τῷ Πνεύματι ταῦτα προεῖπεν. Ἡμέραι δὲ τοῦ Κυρίου εἰσὶν οὐχ ἃς ἐπὶ γῆς σωματικῶς διέτριψεν, ἀλλ' αἱ ἀρεταί, αἵτινες ἡμέρας δίκην φωτίζουσαι ἀνατέλλειν ἐν ἡμῖν τὴν δικαιοσύνην ποιοῦσιν. Ποίαν δικαιοσύνην ἢ τὴν ἀπονεμητικὴν ἕξιν τὴν μὴ ἐῶσαν ἐπανίστασθαι τὸ ἧττον τῷ κρείττονι, τουτέστι «τὸ φρόνημα τῆς σαρκὸς τῷ νόμῳ τοῦ πνεύματος»; «Πλῆθος δὲ εἰρήνης» ἐν ἡμῖν γίνεται ὅτ' ἂν κατευνασθέντα τὰ πάθη ἀστασίαστα πρὸς τὴν ψυχὴν διαμένουσιν· τὸ δὲ «ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη» τοῦτο δηλοῖ, ὅτι τοσαύτη γίνεται τῇ ψυχῇ ἐκ τῆς τοῦ Θεοῦ γνώσεως τῆς ἀνατελλούσης ἡμῖν τὴν δικαιοσύνην, ὥστε καὶ αὐτὰς ψιλὰς τὰς φαντασίας τῆς ἀλλοιωτῆς ἡμῶν φύσεως –αὕτη γὰρ ἡ σελήνη– τέλεον ἀνταναιρεθῆναι.

«Καὶ κατακυριεύσῃ», φησίν, «ἀπὸ θαλάσσης ἕως θαλάσσης»· θάλασσαν ἐνταῦθα τὴν πρᾶξιν δηλοῖ, ἐξ ἧς ἀρχόμενος κυριεύει τῶν ὑποτασσομένων τῷ αὐτοῦ νόμῳ «ἕως θαλάσσης», τῆς ἀπλέτου δηλονότι γνώσεως, ἐν ᾗ ἐννήχονται διὰ τῆς τῶν ὄντων θεωρίας οἱ ταύτης μέτοχοι. Ἢ καὶ θάλασσαν τὸ βάπτισμα νόησον, ἐν ᾧ κατὰ τὸν προφήτην ἀφανίζεται τὸ πρόσωπον τοῦ ἀντικειμένου εἰς τὴν θάλασσαν τὴν πρώτην καὶ τὰ ὄπισθεν αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, πρώτην θάλασσαν, ὡς εἴρηται, λέγων τὸ βάπτισμα, ἐσχάτην δὲ τὴν ἀνάστασιν, ἐν ᾗ τὰ ὀπίσθια τοῦ ἐχθροῦ καταργοῦνται· τότε γὰρ ἡ φύσις ἡμῶν ἀποτίθεται τελείως τὸν διὰ τῆς παραβάσεως ἐντεθέντα νόμον τῆς ἁμαρτίας.

Ἢ καὶ ἄλλως· ἀφανίζεται τὸ πρόσωπον τοῦ διαβόλου, τουτέστιν αἱ πονηραὶ πράξεις, διὰ τῆς πρακτικῆς· αὕτη γάρ, ὡς εἴρηται, ἡ πρώτη θάλασσα· ἀφανίζεται δὲ καὶ τὰ ὀπίσθια, τουτέστιν αἱ προλήψεις τῶν κακῶν καὶ αἱ φαντασίαι, διὰ τῆς δευτέρας θαλάσσης, τουτέστι τῆς γνώσεως.

---

27. Ρωμ. 8,6· 2.

προφητία μετὰ ἀπὸ ἔμπνευση τοῦ Πνεύματος γιὰ τὴν ἔνσαρκη πολιτεία τοῦ Κυρίου. Ἡμέρες τοῦ Κυρίου δὲν εἶναι αὐτὲς ποὺ ἔζησε σωματικὰ στὴ γῆ, ἀλλὰ οἱ ἀρετὲς πού, φωτίζοντας ὅπως ἡ ἡμέρα, κάνουν ν' ἀνατείλει μέσα μας ἡ δικαιοσύνη. Ποιά δικαιοσύνη, ἂν ὄχι τὴν ἀπονεμητικὴ ἰδιότητα ποὺ δὲν ἀφήνει νὰ ξεσηκώνεται τὸ κακὸ κατὰ τοῦ καλοῦ, δηλαδὴ «τὸ φρόνημα τῆς σάρκας, ἐναντίον τοῦ νόμου τοῦ Πνεύματος»[27]; «Πλῆθος εἰρήνης» αὐξάνει μέσα μας ὅταν κατευνασθοῦν τὰ πάθη καὶ παύσουν νὰ ἐπαναστατοῦν κατὰ τῆς ψυχῆς, ἐνῶ τὸ «ὥσπου νὰ ἐξαφανιστεῖ ἡ σελήνη» δηλώνει τὸ ἑξῆς· τόση εἰρήνη γίνεται στὴν ψυχὴ ἀπὸ τὴ γνώση τοῦ Θεοῦ ποὺ ἀνατέλλει σ' ἐμᾶς τὴ δικαιοσύνη, ὥστε κι αὐτὲς ἀκόμα τὶς σκιώδεις φαντασίες τῆς μεταβαλλόμενης φύσης μας –γιατὶ αὐτὴ εἶναι ἡ σελήνη– νὰ ἐξαφανιστοῦν τελείως.

Καὶ «θὰ κυριαρχήσει», λέει, «ἀπὸ θάλασσα σὲ θάλασσα»[28]. Ἡ θάλασσα ἐδῶ δηλώνει τὴν πράξη ἀπὸ τὴν ὁποία ἀρχίζοντας κυριαρχεῖ σ' ὅσους ὑποτάσσονται στὸ νόμο του «ὡς τὴ θάλασσα», τῆς ἀπεριόριστης δηλαδὴ γνώσης, ὅπου κολυμποῦν μὲ τὴ θεωρία τῶν ὄντων ὅσοι τὴν μετέχουν. Ἢ ἀκόμα ὡς θάλασσα νὰ ἐννοήσεις τὸ βάπτισμα, ὅπου κατὰ τὸν προφήτη ἀφανίζεται τὸ πρόσωπο τοῦ ἀντιπάλου «στὴ θάλασσα τὴν πρώτη καὶ τὰ νῶτα του στὴ θάλασσα τὴν τελευταία»[29], πρώτη θάλασσα ἐννοώντας τὸ βάπτισμα καὶ τελευταία τὴν ἀνάσταση, ὅπου καταργοῦνται τὰ νῶτα τοῦ ἐχθροῦ. Γιατὶ τότε ἡ φύση μας ἀποτινάζει τελείως τὸ νόμο τῆς ἁμαρτίας ποὺ εἰσῆλθε μέσα μας μὲ τὴν παράβαση.

Ἢ καὶ ἀλλιῶς· ἀφανίζεται τὸ πρόσωπο τοῦ διαβόλου, δηλαδὴ οἱ πονηρὲς πράξεις, μὲ τὴν πρακτική· γιατὶ αὐτή, ὅπως εἴπαμε, εἶναι ἡ πρώτη θάλασσα· ἀφανίζονται καὶ τὰ νῶτα, δηλαδὴ οἱ ἐντυπώσεις τῶν κακῶν καὶ οἱ φαντασίες μὲ τὴ δεύτερη θάλασσα, δηλαδὴ τὴ γνώση.

---

28. Ψαλμ. 71,8.
29. Ἰωὴλ 2,20.

ΕΡΩΤΗΣΙΣ 188

Ἡ πρὸς Νικόδημον ἀπὸ τοῦ Κυρίου γενομένη διάλεξις, ἐν ᾗ λέγει ὅτι «τὸ Πνεῦμα ὅπου θέλει πνεῖ καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις», περὶ ποίου λέγει Πνεύματος;

ΑΠΟΚΡΙΣΙΣ

*Τινὲς μὲν περὶ τοῦ ἀερίου πνεύματος λέγειν τὸν Κύριον νομίζουσιν, ἐμοὶ δὲ μᾶλλον φαίνεται ὅτι περὶ τοῦ ἁγίου Πνεύματος λέγει. Τοῦτο γὰρ ἐξουσιαστικῶς ὅπου θέλει πνεῖ, θέλει δὲ ἐν τοῖς δεκτικοῖς καὶ καθαροῖς τὴν διάνοιαν· οὗτοι γὰρ ἐμπνεόμενοι τὰ θεῖα χαρίσματα, πόθεν μὲν ἐδόθη αὐτοῖς τὸ οἱονοῦν χάρισμα ἢ διὰ ποίαν αἰτίαν, οὐ γινώσκουσιν, οὐδὲ εἰς ποῖον τέλος καταντᾷ ἡ τοῦ χαρίσματος δωρεά, μόνον δὲ τὴν φωνὴν ἀκούουσιν, τουτέστιν αὐτὴν τὴν διὰ τῆς τοῦ βίου καθαρότητος τοῦ χαρίσματος ἐνέργειαν διαδεικνυμένην καὶ τρόπον τινὰ φωνὴν ἀφιεῖσαν, εἴτε διδασκαλίας ἐστὶν χάρισμα, εἴτε ἰαμάτων, εἴτ' ἔτι *** *** ****

ΕΡΩΤΗΣΙΣ 189

Τί ἐστιν ἡ τοῦ Πνεύματος βλασφημία καὶ πῶς «πᾶν ἁμάρτημα ἀφεθήσεται τοῖς ἀνθρώποις, τοῖς δὲ εἰς αὐτὸ βλασφημοῦσιν οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ περὶ τῆς τοῦ Πνεύματος βλασφημίας ἀπορία αὐτόθεν ἔχει τὴν λύσιν· τοῦ γὰρ Κυρίου ἰάσεις ποιοῦντος ποικίλας, οἱ Ἰουδαῖοι τὰς τοῦ Πνεύματος ἐνεργείας τῷ ἄρχοντι τῶν δαιμονίων ταύτας ἀνετίθεσαν. Τὸ δὲ οὔτε ἐνταῦθα οὔτε ἐν τῷ μέλλοντι ἄφεσιν γίνεσθαι τοῖς βλασφημοῦσιν, ἑξῆς ζητητέον. Φασί τινες τῶν τὰ τοιαῦτα διὰ τοῦ Πνεύματος ἠκριβωκότων τέσσα-

---

30. Ἰω. 3,8.
31. Ματθ. 12,31–32 Μάρκ. 3,28–29. Λουκᾶ 12,10.

ΕΡΩΤΗΣΗ 188

Γιὰ ποιό πνεῦμα μιλάει ὁ διάλογος τοῦ Κυρίου μὲ τὸ Νικόδημο ὅπου λέγεται ὅτι «τὸ πνεῦμα πνέει ὅπου θέλει καὶ ἀκοῦς τὴ φωνή του[30];

ΑΠΟΚΡΙΣΗ

Μερικοὶ νομίζουν ὅτι ὁ Κύριος μιλάει γιὰ τὸ πνεῦμα τοῦ ἀνέμου, ἐμένα ὅμως μοῦ φαίνεται ὅτι μάλλον ἀναφέρεται στὸ ἅγιο Πνεῦμα. Γιατὶ αὐτὸ εἶναι ποὺ «πνέει» ἐξουσιαστικὰ «ὅπου θέλει» καὶ θέλει νὰ πνέει σὲ ὅσους μποροῦν νὰ τὸ δεχτοῦν καὶ ἔχουν διάνοια καθαρή. Γιατὶ αὐτοὶ παίρνοντας μὲ τὴν πνοή του τὰ θεῖα χαρίσματα, δὲν γνωρίζουν ἀπὸ ποῦ τοὺς δόθηκε τὸ ὁποιοδήποτε χάρισμα ἢ γιὰ ποιό λόγο, οὔτε σὲ ποιά ἀποτελέσματα φτάνει ἡ δωρεὰ τοῦ χαρίσματος, ἀλλ' ἀκοῦν μόνο τὴ φωνή, δηλαδὴ τὴν ἐνέργεια τοῦ χαρίσματος ποὺ φανερώνεται μὲ τὴν καθαρότητα τοῦ βίου ποὺ κατὰ κάποιο τρόπο βγάζει φωνὴ εἴτε χάρισμα διδασκαλίας εἴτε χάρισμα ἰαμάτων εἴτε ὁτιδήποτε ἄλλο *** *** ***

ΕΡΩΤΗΣΗ 189

Τί εἶναι ἡ βλασφημία τοῦ Πνεύματος καὶ πῶς «θὰ συγχωρεθεῖ κάθε ἁμαρτία στοὺς ἀνθρώπους, δὲ θὰ συγχωρεθεῖ ὅμως σ' ὅσους βλασφημοῦν τὸ Πνεῦμα οὔτε σ' αὐτὴ τὴ ζωὴ οὔτε στὴ μέλλουσα»[31];

ΑΠΟΚΡΙΣΗ

Ἡ ἀπορία γιὰ τὴ βλασφημία τοῦ Πνεύματος ἔχει τὴ λύση της ἀπὸ μόνη της· κάνοντας δηλαδὴ ὁ Κύριος τὶς κάθε εἴδους θεραπεῖες του οἱ Ἰουδαῖοι ἀπέδιδαν τὶς ἐνέργειες τοῦ Πνεύματος «στὸν ἄρχοντα τῶν δαιμόνων»[32]. Τὸ ὅτι οὔτε ἐδῶ οὔτε στὸ μέλλοντα αἰώνα δίνεται ἡ ἄφεση σ' ὅσους βλασφημοῦν πρέπει νὰ τὸ ἐξετάσομε ὡς ἑξῆς. Λένε μερικοὶ ἀπὸ ὅσους ἐξέτασαν

---

32. Ματθ. 9,34· 12,24 Μάρκ. 3,22. Λουκᾶ 11,15.

ρας εἶναι τρόπους δι' ὧν συγχώρησις γίνεται ἁμαρτημάτων, δύο ἐνταῦθα καὶ δύο ἐν τῷ μέλλοντι. Ἐπειδὴ γὰρ οὐκ ἐξικνεῖται ἡ μνήμη ὅλου τοῦ χρόνου μνημονεύειν τὰ σφάλματα, ἵνα ὑπὲρ αὐτῶν ἐνταῦθα μετανοήσῃ ὁ ἄνθρωπος, ᾠκονόμησε, φιλάνθρωπος ὢν ὁ Δεσπότης τῆς φύσεως, καὶ ἡμῶν μὴ μετανοούντων, τρόπους μετανοίας· ἐν μὲν τῷ μέλλοντι, ὡς εἴρηται, δύο· ὅτ' ἄν τις ἀδιαφόρως ἐνταῦθα ἁμαρτήσας καὶ πάλιν ἀδιαφόρως ἀγαθοεργήσας, εἴτε εἰς οἶκτον καὶ συμπάθειαν πρὸς τὸν πλησίον κινηθεὶς ἢ ὅσα ἄλλα φιλανθρωπίας ἐχόμενα, ταῦτα ἐν τῷ μέλλοντι αἰῶνι ἐν τῷ καιρῷ τῆς κρίσεως ζυγοστατούμενα, ἐφ' ἃ τὴν ῥοπὴν ἕξει, συγχώρησις γίνεται· οὗτος μὲν ὁ εἷς τρόπος· δεύτερος δὲ οὗτος· ὅτ' ἄν τις ἐν ἁμαρτίαις ἀνεχόμενος, ἀκούων δὲ τοῦ Κυρίου λέγοντος «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε», φοβούμενος οὐδένα κρίνει, ἐν τῇ ἐξετάσει τῶν βεβιωμένων ὡς φύλαξ τῆς ἐντολῆς οὐ κρίνεται· τῆς γὰρ ἑαυτοῦ ἐντολῆς οὐκ ἐπιλήσμων ὁ ἀψευδέστατος. Οἱ δὲ ἕτεροι δύο τρόποι ἐνταῦθα τὴν συγχώρησιν ἔχουσιν· ὅτ' ἂν ἐν ἁμαρτίαις τις ὢν οἰκονομῆται ἐκ τῆς προνοίας ἐν συμφοραῖς, ἐν ἀνάγκαις, ἐν νόσοις –ὡς οὐκ οἶδε γὰρ διὰ τῶν τοιούτων καθαίρει αὐτὸν ὁ Θεὸς– καὶ εἰ μὲν εὐχαριστεῖ πειραζόμενος, τὸν ἐπὶ τῇ εὐχαριστίᾳ μισθὸν λαμβάνει, εἰ δὲ ἀχαριστεῖ, δι' ἃς μὲν ἁμαρτίας παιδεύεται ἐκ τούτων καθαίρεται, τὴν δὲ ὑπὲρ τῆς ἀχαριστίας εἰσπράττεται ποινήν.

Ἐπεὶ οὖν ἅτινα εἰς ἀνθρώπους τις ἁμαρτάνει, ὡς ἔδειξεν ὁ λόγος, πολλὰς ἔχει προφάσεις συγχωρήσεων –ἁμαρτάνων γάρ τις εἰς ἄνθρωπον, ἄλλον δὲ ἄνθρωπον εὖ ποιῶν, εἰς ἣν φύσιν ἥμαρτεν, αὐτῇ καὶ ἀπελογήσατο– ἡ δὲ εἰς τὸ Πνεῦμα βλασφημία– ἔστι δὲ ἡ ἀπιστία μὴ ἔχουσα ἑτέραν πρόφασιν συγχωρήσεως, εἰ μὴ τὸ γενέσθαι πιστόν–, εἰκότως τῷ ἐν τῇ ἀπιστίᾳ τὸν βίον κατακλείσαντι οὔτε ἐνταῦθα οὔτε ἐν τῷ μέλλοντι ἀφεθήσεται τῆς ἀπιστίας καὶ ἀθεΐας ἡ ἁμαρτία.

33. Ματθ. 7,1 Λουκᾶ 6,37.

λεπτομερῶς τὰ θέματα αὐτὰ μὲ τὴ βοήθεια τοῦ Πνεύματος, ὅτι ἡ συγχώρεση τῶν ἁμαρτημάτων γίνεται μὲ τέσσερις τρόπους, δύο τώρα καὶ δύο στὸ μέλλον. Ἐπειδὴ δηλαδὴ δὲ φτάνει ἡ μνήμη ὅλου τοῦ χρόνου νὰ μνημονεύσει κανεὶς τὰ σφάλματα γιὰ νὰ μετανοήσει ὁ ἄνθρωπος γι' αὐτά, ὅρισε κατ' οἰκονομία ὁ Κύριος τῆς φύσης, ἐπειδὴ εἶναι φιλάνθρωπος, τρόπους μετάνοιας, ἀκόμα κι ἂν ἐμεῖς δὲ μετανοοῦμε. Ὅπως εἴπαμε, ὅρισε γιὰ τὸ μέλλον δύο. Ὅταν κάποιος ἁμαρτήσει ἐδῶ ἔτσι στὴν τύχη καὶ πάλι στὴν τύχη πράξει τὸ ἀγαθὸ ἢ ἀπὸ οἶκτο καὶ συμπάθεια γιὰ τὸν πλησίον του ἢ ἀπὸ ὅποια ἄλλη φιλανθρωπία, αὐτὰ στὸ μελλοντικὸ αἰώνα στὸν καιρὸ τῆς κρίσης μπαίνουν στὴ ζυγαριὰ καὶ σ' ὅποια βαρύνει αὐτή, σ' αὐτὰ γίνεται ἡ συγχώρεση. Ὁ ἕνας τρόπος εἶναι αὐτός. Ὁ δεύτερος εἶναι ὁ ἑξῆς· ὅταν ἕνας εἶναι ἔνοχος γιὰ πολλὲς ἁμαρτίες καὶ ἐπειδὴ φοβᾶται ἀκούοντας τὸν Κύριο νὰ λέει «μὴν κρίνετε γιὰ νὰ μὴν κριθεῖτε»[33], δὲν κρίνει κανένα, κατὰ τὴν κρίση τῶν ἔργων του δὲν κρίνεται, ἐπειδὴ ἔχει τηρήσει τὴν ἐντολή· γιατὶ αὐτὸς ποὺ οὐδέποτε ψεύδεται δὲν ξεχνάει τὴν ἴδια του τὴν ἐντολή. Οἱ δύο ἄλλοι τρόποι συγχώρησης ἰσχύουν ἐδῶ· ὅταν κάποιος ἔχει διαπράξει ἁμαρτίες καὶ ἡ θεία πρόνοια οἰκονομεῖ νὰ τοῦ συμβοῦν συμφορὲς καὶ ἀνάγκες καὶ ἀσθένειες –γιατὶ μὲ αὐτὰ χωρὶς νὰ παίρνει εἴδηση τὸν καθαρίζει ὁ Θεός– καὶ ἂν εὐχαριστεῖ γιὰ τοὺς πειρασμούς του παίρνει τὴν ἀμοιβὴ γιὰ τὶς εὐχαριστίες του, ἂν ὅμως δείχνει ἀχαριστία, γιὰ ὅσες ἁμαρτίες παιδεύεται, καθαρίζεται ἀπὸ αὐτές, τιμωρεῖται ὅμως γιὰ τὴν ἀχαριστία του.

Ἐπειδὴ λοιπόν, ὅπως ἔδειξε ὁ λόγος, ὅσα ἁμαρτάνει κανένας στοὺς ἀνθρώπους ὑπάρχουν πολλὲς ἀφορμὲς γιὰ νὰ τοῦ συγχωρεθοῦν –γιατὶ ἁμαρτάνοντας σ' ἕναν ἄνθρωπο καὶ εὐεργετώντας ἄλλον ἄνθρωπο, σὲ ὅποια φύση ἁμάρτησε γι' αὐτὴν καὶ δικάζεται– γιὰ τὴ βλασφημία ὅμως στὸ Πνεῦμα –ποὺ εἶναι ἡ ἀπιστία καὶ ποὺ δὲν ἔχει ἄλλη αἰτία συγχώρησης ἀπὸ τὸ νὰ γίνει κανένας πιστός– εἶναι εὔλογο ὅτι σ' αὐτὸν ποὺ τελείωσε τὴ ζωή του μὲ τὴν ἀπιστία οὔτε ἐδῶ οὔτε στὴ μέλλουσα ζωὴ θὰ συγχωρεθεῖ ἡ ἁμαρτία τῆς ἀπιστίας καὶ ἀθεΐας.

ΕΡΩΤΗΣΙΣ 190

Ἐκ τοῦ Εὐαγγελίου· «ἀμὴν λέγω ὑμῖν· εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει». Ταῦτα μὲν ὁ Μάρκος, ὁ δὲ Ματθαῖος· «ἕως ἂν ἴδωσιν τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ τοῦ Θεοῦ Λόγος τοῖς καθ' ἱστορίαν γινομένοις οὐ περιγράφεται, ἀλλὰ πάντοτε ἐνεργὴς ὢν ἡλίου δίκην τὸ οἰκεῖον φῶς ἐπιλάμπει, οὐ μόνον κατὰ τὴν ἱστορίαν τοῖς μαθηταῖς ἔλεγε τὸ «εἰσί τινες τῶν ὧδε ἑστώτων», ἀλλὰ καὶ περὶ πάντων τῶν κατ' αὐτοὺς τῇ ἀρετῇ διαλαμψάντων λέγει ἀντὶ τοῦ 'τῶν τῇ βάσει τῶν ἀρετῶν πλησίον μου ἐχόντων τὴν στάσιν». Τὸ δὲ «οὐ μὴ γεύσονται θανάτου» εἴρηται μὲν καὶ περὶ τοῦ ἀποστόλων, ὅτι οὐ μὴ γεύσονται τοῦ φυσικοῦ θανάτου, ἕως ἂν ἴδωσι διὰ τῆς μεταμορφώσεως τὴν εἰκόνα τῆς μελλούσης ἔσεσθαι τοῖς ἁγίοις λαμπρότητος. Ἀλλ' ἐπειδὴ οἶδεν ὁ λόγος διαφόρους θανάτους –καὶ γὰρ ἡ τῶν παθῶν νέκρωσις θάνατος λέγεται· ἀλλὰ καὶ ὁ πρακτικός, ἡνίκα τὴν πρὸς τὰ πάθη μάχην ἀφέμενος ἐπὶ τὴν φυσικὴν θεωρίαν ἔλθῃ, ἀπέθανε τῇ προτέρᾳ καταστάσει, ἐνασχολούμενος τῇ τῶν ὄντων θεωρίᾳ, ἀργήσας ἐκ τῆς κατὰ τὴν πρᾶξιν ἀγωνιστικῆς μάχης· ἀλλὰ καὶ ὁ περάσας τὴν φυσικὴν θεωρίαν καὶ πάντα τὰ αἰτιατὰ καταλιπὼν καὶ εἰς τὸν αἴτιον ἐλθὼν διὰ τῆς θεολογικῆς ἀποφάσεως, καὶ οὗτος ἔθανε τῇ προτέρᾳ καταστάσει, μηκέτι ἐν τοῖς πεποιημένοις κινούμενος, ἀλλ' ἐν τῷ ποιητῇ τῶν ὅλων μεταβιβάσας τὴν κίνησιν– περὶ οὖν τοῦ κατὰ ἀφαίρεσιν πάντων γινομένου θανάτου λέγει ὅτι «οὐ μὴ γεύσονται» αὐτοῦ, τουτέστιν οὐ μὴ πάθωσιν αὐτὸν

---

34. Μάρκ. 2,1.
35. Ματθ. 16,28.

ΕΡΩΤΗΣΗ 190

Ἀπὸ τὸ Εὐαγγέλιο· «σᾶς διαβεβαιώνω ὅτι ὑπάρχουν μερικοὶ ἀπὸ ὅσους στέκονται ἐδῶ ποὺ δὲ θὰ γευθοῦν τὸ θάνατο, ὥσπου νὰ δοῦν τὴ βασιλεία τοῦ Θεοῦ νὰ ἔρχεται μὲ δύναμη»[34]. Αὐτὰ λέει ὁ Μάρκος, ἐνῶ ὁ Ματθαῖος λέει· «ὥσπου νὰ δοῦν τὸν Υἱὸ τοῦ ἀνθρώπου νὰ ἔρχεται μὲ ὅλη τὴ δόξα του»[35].

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ λόγος τοῦ Θεοῦ δὲν περιορίζεται σὲ ὅσα ἐξιστοροῦνται στὸ Εὐαγγέλιο ἀλλὰ ζωντανὸς πάντοτε σκορπίζει σὰν ἥλιος τὸ φῶς του, δὲν ἀπηύθυνε ὅπως λέει ἡ ἱστορία στοὺς μαθητές του μόνο τὸ «εἶναι μερικοὶ ἀπὸ ὅσους στέκονται ἐδῶ», ἀλλὰ τὸ ἀπευθύνει καὶ σὲ ὅλους ποὺ ὅπως αὐτοὶ ἔλαμψαν μὲ τὴν ἀρετή τους, ἀντὶ νὰ πεῖ 'ἀπὸ ὅσους στέκονται κοντά μου στηριζόμενοι στὶς ἀρετές'. Ἐνῶ τὸ «δὲ θὰ γευτοῦν θάνατο» ἔχει λεχθεῖ βέβαια καὶ γιὰ τοὺς ἀποστόλους ὅτι «δὲ θὰ δοκιμάσουν φυσικὸ θάνατο ὥσπου νὰ δοῦν» μὲ τὴ μεταμόρφωση τὴ μελλοντικὴ λαμπρότητα ποὺ θὰ περιβληθοῦν οἱ ἅγιοι, ἀλλὰ ἐπειδὴ ὁ λόγος γνωρίζει διαφόρων εἰδῶν θανάτους, γιατὶ καὶ τῶν παθῶν ἡ νέκρωση λέγεται θάνατος· ἀλλὰ καὶ ὁ πρακτικός, ὅταν ἐγκαταλείποντας τὴ μάχη του πρὸς τὰ πάθη στραφεῖ στὴ φυσικὴ θεωρία, εἶναι νεκρὸς γιὰ τὴν προηγούμενη κατάσταση μὲ τὸ ν' ἀσχολεῖται μὲ τὴ θεωρία τῶν ὄντων καὶ ν' ἀπέχει ἀπὸ τὴν ἀγωνιστικὴ μάχη τῆς πράξης· ἀλλὰ κι ὅποιος ξεπεράσει τὴ φυσικὴ θεωρία κι ἀφήνοντας ὅλα τὰ ἀποτελέσματα φτάσσει στὸν αἴτιο μὲ τὴν ἀποφατικὴ θεολογικὴ μέθοδο κι αὐτὸς εἶναι νεκρὸς γιὰ τὴν προηγούμενη κατάσταση, ἀφοῦ πιὰ δὲν κινεῖται μέσα στὰ κτίσματα ἀλλὰ ἔχει μεταβιβάσει τὴν κίνησή του στὸν ποιητὴ τῶν ὅλων. Γιὰ τὸ θάνατο λοιπὸν ποὺ ἐπισυμβαίνει μὲ τὴν ἀφαίρεση ὅλων λέει ὅτι «δὲ θὰ τὸν δοκιμάσουν»[36], δὲ θὰ τὸν ὑποστοῦν δηλαδὴ οἱ ἰσότιμοι των ἀποστόλων στὴν ἀρετή,

36. Ματθ. 16,28. Μάρκ. 9,1. Λουκᾶ 9,27.

οἱ τῶν ἀποστόλων κατ' ἀρετὴν ἰσοστάσιοι, ἕως οὗ μεταμορφωθεὶς ὁ Κύριος παραδείξει ἑαυτὸν μηκέτι καταφασκόμενον ἐκ τῆς τῶν ὄντων θέσεως, ἀλλὰ τῇ κατὰ ἀπόφασιν θεολογίᾳ παραδεικνὺς τὸ ἀπρόσιτον τῆς θεότητος κρύφιον.

Τὸ δὲ λέγειν τὸν μὲν ἕνα τῶν εὐαγγελιστῶν «ἐρχόμενον τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ», τὸ δὲ ἕτερον «ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει», τοῦτο σημαίνει· ἐπειδὴ κατὰ μὲν τὴ θεότητα ἔστιν Υἱὸς τοῦ Θεοῦ, κατὰ δὲ τὸ ἀνθρώπινον γέγονε δι' ἡμᾶς Υἱὸς ἀνθρώπου, καθ' ὃ μὲν οὖν ἐστιν Υἱὸς τοῦ Θεοῦ ἀεὶ τὴν δόξαν κέκτηται, κατὰ δὲ τὸ γενέσθαι Υἱὸς ἀνθρώπου λέγεται «ἔρχεσθαι ἐν τῇ δόξῃ αὐτοῦ». Οὕτω γὰρ ἐδόξασε τὴν προσληφθεῖσαν ἀνθρωπότητα ὅτι, ὥσπερ ἐν τῷ παθητῷ σώματι ὢν ὤφθη ἐν τῷ ὄρει μεταμορφωθείς, οὕτως ἡμεῖς ἐν τῇ ἀναστάσει ἄφθαρτον ἀπολαμβάνοντες σῶμα ἐσόμεθα· τὸ γὰρ εἰπεῖν «ἐληλυθυῖαν ἐν δυνάμει» ἐσήμανεν ὡς οὔπω ἐνεργείᾳ πάρεστιν ἡ ἐλπιζομένη τῶν ἁγίων ἄφθαρτος καὶ αἰώνιος βασιλεία.

ΕΡΩΤΗΣΙΣ 191

«Καὶ ἐγένετο μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς».

ΑΠΟΚΡΙΣΙΣ

«Τὸ μεθ' ἡμέρας ἕξ» σημαίνει ὅτι ἐπειδὴ ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὴν φαινομένην κτίσιν εἰς τὸ εἶναι παρήγαγεν, οἵτινες τῇ περιουσίᾳ τῶν ἀρετῶν καὶ τῆς γνώσεως τὰ φαινόμενα πάντα διέβησαν, οὗτοι τῷ λόγῳ συναναβαίνουσιν ἐν τῷ τῆς θεολογίας

---

37. Ματθ. 16,28. Μάρκ. 9,1. 38. Μάρκ. 9,1.
39. Ματθ. 16,28.

ὥσπου νὰ μεταμορφωθεῖ ὁ Κύριος καὶ παρουσιάσει τὸν ἑαυτό του ὄχι πιὰ καταφασκόμενος ἀπὸ τὴ θέση τῶν ὄντων, ἀλλὰ παρουσιάζοντας τὴν ἀπρόσιτη κρυφιότητα τῆς θεότητας μὲ τὸν ἀρνητικὸ τρόπο τῆς θεολογίας.

Ὅτι τώρα ὁ ἕνας εὐαγγελιστὴς λέει «νά, ἔρχεται ὁ Υἱὸς τοῦ ἀνθρώπου μὲ ὅλη τὴ δόξα του»[37] καὶ ὁ ἄλλος «ὥσπου νὰ δοῦν τὴ βασιλεία τοῦ Θεοῦ νὰ ἔρχεται μὲ δύναμη»[38], σημαίνει αὐτό· ἐπειδὴ κατὰ τὴ θεότητα εἶναι Υἱὸς τοῦ Θεοῦ καὶ τὴν ἀνθρώπινη διάστασή του ἔγινε γιὰ μᾶς υἱὸς τοῦ ἀνθρώπου, κατὰ τὸ ὅτι εἶναι Υἱὸς τοῦ Θεοῦ ἔχει παντοντινὴ δόξα, ἐνῶ κατὰ τὸ ὅτι ἔγινε υἱὸς τοῦ ἀνθρώπου λέγεται ὅτι «ἔρχεται μὲ ὅλη τὴ δόξα του»[39]. Γιατὶ δόξασε τόσο τὸ ἀνθρώπινο στοιχεῖο ποὺ ἔλαβε, ὥστε, ὅπως ὄντας μέσα στὸ παθητὸ σῶμα φανερώθηκε μεταμορφωμένος στὸ βουνό, ἔτσι κι ἐμεῖς κατὰ τὴν ἀνάσταση θὰ βρεθοῦμε ν' ἀπολαμβάνομε ἄφθαρτο σῶμα. Γιατὶ μὲ τὸ ὅτι εἶπε «νά, ἔρχεται μὲ δύναμη»[40], σήμανε ὅτι δὲν ἔχει ἔρθει ἀκόμα στὴν πραγματικότητα ἡ ἄφθαρτη κι αἰώνια βασιλεία τῶν ἁγίων ποὺ ἐλπίζομε.

ΕΡΩΤΗΣΗ 191

«Ὕστερα ἀπὸ ἕξι μέρες παίρνει μαζί του ὁ Ἰησοῦς ἰδιαιτέρως τὸν Πέτρο, τὸν Ἰάκωβο καὶ τὸν Ἰωάννη τὸν ἀδελφό του, καὶ τοὺς ἀνεβάζει σ' ἕνα ψηλὸ βουνό, ὅπου μεταμορφώθηκε μπροστὰ στὰ μάτια τους· ἔλαμψε τὸ πρόσωπό του ὅπως ὁ ἥλιος καὶ τὰ ροῦχα του ἔγιναν λευκὰ ὅπως τὸ φῶς»[41].

ΑΠΟΚΡΙΣΗ

Τὸ «ἔπειτα ἀπὸ ἕξι μέρες» σημαίνει ὅτι, ἐπειδὴ ὁ Θεὸς ἔφερε στὴν ὕπαρξη τὴν κτίση ποὺ βλέπομε σὲ ἕξι μέρες, αὐτοὶ ποὺ μὲ τὸν πλοῦτο τῶν ἀρετῶν καὶ τῆς γνώσης τους ἄφησαν πίσω τους ὅλα τὰ ὁρατά, αὐτοὶ συνανεβαίνουν μὲ τὸ Λόγο στὸ ὅ-

40. Μάρκ. 9,1. 41. Ματθ. 17,1. Μάρκ. 9,12.

ὄρει. Ἀλλ' ἐπειδὴ ὁ Λουκᾶς ὀκτὼ ἡμερῶν ἐμνημόνευσε καὶ δοκεῖ ἐναντιότητα τῶν εὐαγγελιστῶν δεικνύειν, τὸ ἄπορον ἐν τούτοις οἶμαι τὴν ἐπίλυσιν δέχεσθαι καὶ συντρέχειν τὴν ἱστορίαν ἁρμοδίως τῇ θεωρίᾳ· ὥσπερ γὰρ κατὰ τὴν ἱστορίαν ὁ τὰς ἓξ ἡμέρας εἰπὼν τὰς ἐν τῷ μέσῳ εἶπεν, ὁ δὲ τὰς ὀκτὼ εἰπὼν καὶ τὴν ἀρχὴν ἐν ᾗ εἶπεν ὁ Κύριος καὶ τὸ τέλος ἐν ᾗ ἡ μεταμόρφωσις γέγονεν ἐσήμανεν, οὕτω καὶ κατὰ τὴν θεωρίαν· ἐπειδὴ γὰρ ὁ ἄνθρωπος διὰ τῆς παραβάσεως εἰς τὸ παρὰ φύσιν ἐξωλίσθησε, δεῖ τὸν θέλοντα συναναβῆναι τῷ λόγῳ εἰς τὸ τῆς θεολογίας ὄρος πρῶτον μὲν καθάπερ μίαν ἡμέραν περᾶσαι τὰ παρὰ φύσιν καὶ καθάπερ ἓξ ἡμέρας περᾶσαι τὴν φύσιν καὶ γενέσθαι ἐν τῇ ὑπὲρ φύσιν, ἥτις ἐστὶν ὀγδόη· ὑπερθετικὴ γὰρ τοῦ χρόνου αὕτη καὶ τὴν μέλλουσαν χαρακτηρίζει κατάστασιν.

Διατί δὲ «παραλαμβάνει Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην» μόνους κατ' ἰδίαν; Ὡς ἀεὶ τοῦ Λόγου τὴν ὀχλώδη καὶ ταραχῆς ἀναμέστον ἐκνεύοντος κατάστασιν, καὶ ἐπειδὴ ὁ Πέτρος κατὰ τὸ πρῶτον τοῦ Σίμωνος ὄνομα 'ὑπακοὴ' ἑρμηνεύεται, κατὰ δὲ τὸ Πέτρος δηλοῖ τὴν 'ἀτρεψίαν', σημαίνεται δὲ διὰ τούτων ἡ κατὰ τῶν τῆς ὑπακοῆς τῶν ἐντολῶν ἄτρεπτος καὶ ἀμετακίνητος εἰς Θεὸν πίστις, ὁ δὲ Ἰάκωβος ἑρμηνεύεται 'πτερνιστής', δηλοῦται δὲ διὰ τούτου ἡ ἐλπὶς –εἰ μὴ γάρ τις ἐλπίσῃ τῶν παρερχομένων τούτων καὶ φθαρτῶν ἀντιλαμβάνειν τὰ ἀπαρόδευτα καὶ ἄφθαρτα, οὐκ ἂν τὸν τὴν ἀπάτην ἀεὶ ἐν τοῖς αἰσθητοῖς ἔχοντα διάβολον πτερνίσαι δύναται–, ὁ δὲ Ἰωάννης ἑρμηνεύεται 'περιστερά', δηλοῦται δὲ διὰ τούτου ἡ ἀγάπη, ἐπειδὴ ἡ πρᾳότης οὐδὲν ἕτερόν ἐστιν, ἢ θυμοῦ καὶ ἐπιθυμίας εἰς τὰ παρὰ φύσιν ἀκινησία, ὁ δὲ μήτε δι' ἐπιθυμιῶν μήτε δι' ἀποτυ-

ρος τῆς θεολογίας. Ἀλλ' ἐπειδὴ ὁ Λουκᾶς μνημόνευσε ὀχτὼ ἡμέρες[42] καὶ φαίνεται νὰ παρουσιάζει μιὰ κάποια ἀντίθεση τῶν εὐαγγελιστῶν, ἡ ἀπορία αὐτὴ νομίζω ὅτι δέχεται ἐπίλυση καὶ ἡ ἱστορία συμβαδίζει ἁρμονικὰ μὲ τὴ θεωρητικὴ ἐξήγηση. Ὅπως δηλαδὴ σύμφωνα μὲ τὴν ἱστορία αὐτὸς ποὺ εἶπε ἕξι ἡμέρες, ἀνέφερε τὶς ἐνδιάμεσες, κι αὐτὸς ποὺ εἶπε ὀχτὼ περιέλαβε καὶ τὴν ἀρχικὴ μέρα ποὺ τοὺς εἶπε ὁ Κύριος καὶ σήμανε καὶ τὴν τελευταία μέρα κατὰ τὴν ὁποία ἔγινε ἡ μεταμόρφωση, ἔτσι καὶ κατὰ τὴ μεταφορικὴ σημασία τοῦ πράγματος. Ἐπειδὴ δηλαδὴ ὁ ἄνθρωπος μὲ τὴν παράβαση ἐξολίσθησε στὸ παραφύση, πρέπει, ὅποιος θέλει νὰ συνανεβεῖ μαζὶ μὲ τὸ Λόγο στὸ ὄρος τῆς θεολογίας, πρῶτα σὰν νὰ εἶναι μία ἡμέρα νὰ διαβεῖ τὰ παρὰ φύση, σὰν σὲ ἕξι μέρες νὰ διαβεῖ τὴ φύση καὶ νὰ φτάσει στὰ ὑπὲρ φύση ποὺ εἶναι ἡ ὀγδόη ἡμέρα. Γιατὶ αὐτὴ ἡ ἡμέρα βρίσκεται πάνω ἀπὸ τὸ χρόνο καὶ χαρακτηρίζει τὴν μελλοντικὴ κατάσταση.

Καὶ γιατί «παίρνει μαζί του μόνο τὸν Πέτρο, τὸν Ἰάκωβο καὶ τὸν Ἰωάννη χωριστά»[43]; Ἐπειδὴ ὁ Λόγος ἀποφεύγει πάντοτε τὴν κατάσταση ὅπου ἐπικρατεῖ ὄχλος καὶ ταραχὴ καὶ ἐπειδὴ ὁ Πέτρος κατὰ τὸ πρῶτο του ὄνομα, δηλαδὴ Σίμων, ἑρμηνεύεται 'ὑπακοή', ἐνῶ τὸ ὄνομά του Πέτρος δηλώνει τὸ ἀμετάτρεπτό του, καὶ μ' αὐτὰ σημαίνεται ἡ ἀμετάτρεπτη κι ἀμετακίνητη πίστη στὸ Θεὸ σχετικὰ μὲ τὴν ὑπακοὴ στὶς ἐντολές του, ὁ Ἰάκωβος ἑρμηνεύεται 'πτερνιστής', καὶ μ' αὐτὸ δηλώνεται ἡ ἐλπίδα– γιατὶ ἂν δὲν ἐλπίσει κάποιος ὅτι ἀπὸ τὰ παροδικὰ ἢ φθαρτὰ αὐτὰ πράγματα θὰ λάβει τὰ μόνιμα καὶ ἄφθαρτα, δὲν θὰ μπορέσει νὰ χτυπήσει στὴ φτέρνα τὸ διάβολο ποὺ κρύβει πάντοτε τὴν ἀπάτη μέσα στὰ φθαρτά, καὶ ὁ Ἰωάννης πάλι ἑρμηνεύεται 'περιστερά', μὲ τὸ ὁποῖο δηλώνεται ἡ ἀγάπη, ἐπειδὴ ἡ πραότητα δὲν εἶναι τίποτε ἄλλο, παρὰ ἀκινησία τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας στὰ παραφύση[44], κι αὐτὸς ποὺ οὔτε ἀπὸ ἐπιθυμίες οὔτε ἀπὸ ἀπο-

42. Λουκᾶ 9,28.
43. Μάρκ. 9,2.
44. Μαξίμου Ὁμολογητοῦ *Διονυσίου καὶ Γρηγορίου Πρὸς Θωμᾶν τὸν ἡγιασμένον Περὶ διαφόρων ἀποριῶν*, PG 91,1249B. *Ἐπιστολὴ* 13, PG 91,509D–512A.

χίαν ὧν ἐπιθυμεῖ εἰς θυμὸν ἐρχόμενος προδήλως πάντας ἀγαπᾷ, τοῖς οὖν κτησαμένοις πίστις, ἐλπίδα τε καὶ ἀγάπην συναναβαίνει ὁ Λόγος εἰς τὸ τῆς θεολογίας ὅρος καὶ μεταμορφοῦται ἔμπροσθεν αὐτῶν, οὐκέτι τῷ Θεὸς λέγεσθαι καὶ ἅγιος καὶ βασιλεὺς καὶ τὰ τοιαῦτα καταφασκόμενος, ἀλλὰ κατὰ τὸ ὑπέρθεος καὶ ὑπεράγιος καὶ πάντα τὰ καθ' ὑπεροχὴν λεγόμενα ἀποφασκόμενος.

Πρόσωπον δὲ τοῦ Λόγου ἐστίν, ὅπερ ἔλαμψεν ὥσπερ ἥλιος, ἡ χαρακτηριστικὴ τῆς οὐσίας αὐτοῦ κρυφιότης, ἥπερ ἐνατενίσαι τῇ τῶν λογισμῶν ἑρμηνείᾳ ἀδύνατον, ὥσπερ οὐδὲ τῇ λαμπρότητι τοῦ ἡλίου, κἂν εἰ πάνυ τις τὴν ὀπτικὴν δύναμίν ἐστιν κεκαθαρμένος. Ἀλλ' ἐπειδὴ ἱμάτιον ἐμνήσθη ἡ Γραφή, χρὴ κατὰ τὸν εἱρμὸν τῆς ἀκολουθίας καὶ τοῦ σώματος μνείαν ποιήσασθαι. Σῶμα οὖν τοῦ Λόγου ἐστὶν ἡ τῶν ἀρετῶν οὐσία, οἷον, ἡ ἀγαθότης, ἡ πρᾳότης καὶ τὰ τοιαῦτα· ἱμάτια δὲ τοῦ Λόγου εἰσὶ τὰ τῆς Γραφῆς ῥήματα καὶ ἡ προβεβλημένη καὶ ἐκ Θεοῦ τὸ εἶναι λαβοῦσα κοσμουργία, ἅπερ λευκὰ βλέπουσιν οἱ τὸ μὲν γράμμα τῆς θείας Γραφῆς ἀποξέοντες τῆς ἐπικειμένης παχύτητος καὶ τῇ τοῦ Πνεύματος θεωρίᾳ τὸ λαμπρὸν τῶν νοημάτων ἐποπτεύοντες κάλλος καὶ οἱ τὴν αἰσθητὴν κτίσιν τῇ περιαιρέσει τῆς κατ' αἴσθησιν ἀπάτης λαμπρῶς ἐποπτεύοντες καὶ ἐκ μεγέθους καλλονῆς τὸν ταύτης δημιουργὸν ἀναλόγως συλλογιζόμενοι.

ΕΡΩΤΗΣΙΣ 192

«Καὶ ἰδοὺ ὤφθησαν Μωυσῆς καὶ Ἠλίας συλλαλοῦντες αὐτῷ· ἀποκριθεὶς δὲ Πέτρος εἶπε τῷ Ἰησοῦ· 'Κύριε, καλόν ἐστιν ἡμᾶς εἶναι ὧδε· εἰ θέλεις, ποιήσωμεν τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωσῇ μίαν καὶ Ἠλίᾳ μίαν'».

---

45. Ματθ. 17,2· Μάρκ. 9,2.
46. Ματθ. 17,2. Μάρκ. 9,3.

τυχία σὲ ὅσα ἐπιθυμεῖ φτάνει νὰ θυμώσει, εἶναι πρόδηλο πὼς ἀγαπᾶ τοὺς πάντες, μ' αὐτοὺς λοιπὸν μαζὶ ποὺ ἀπέκτησαν τὴν πίστη, τὴν ἐλπίδα καὶ τὴν ἀγάπη συνανεβαίνει ὁ Λόγος στὸ ὄρος τῆς θεολογίας καὶ «μεταμορφώνεται μπροστὰ στὰ μάτια τους»[45], χωρὶς ν' ἀποκαλεῖται καταφατικὰ μὲ τὰ ὀνόματα Θεὸς καὶ ἅγιος καὶ βασιλιὰς καὶ τὰ παρόμοια, ἀλλὰ δεχόμενος κατ' ἀποφατικὸ τρόπο τὰ ὀνόματα ὑπέρθεος καὶ ὑπεράγιος ὅσα λέγονται γι' αὐτὸν καθ' ὑπεροχήν.

Πρόσωπο τοῦ Λόγου εἶναι αὐτὸ ποὺ ἔλαμψε σὰν τὸν ἥλιο[46], ἡ κρυφιότητα ποὺ χαρακτηρίζει τὴν οὐσία του, ποὺ εἶναι ἀδύνατο νὰ τὴν ἀντικρύσει ἡ λογικὴ ἑρμηνεία, ὅπως οὔτε τὴν λαμπρότητα τοῦ ἥλιου, ἀκόμα κι ἂν ἔχει κάποιος πάρα πολὺ καθαρὴ τὴν ὀπτικὴ δύναμη. Ἀλλ' ἐπειδὴ ἡ Γραφὴ ἀναφέρει καὶ τὰ φορέματα[47], πρέπει κατὰ τὴ σειρὰ τῆς ἀκολουθίας νὰ μνημονευθεῖ καὶ τὸ σῶμα. Σῶμα λοιπὸν τοῦ Λόγου εἶναι ἡ οὐσία τῶν ἀρετῶν, ὅπως ἡ ἀγαθότητα, ἡ πραότητα καὶ τὰ παρόμοια· ἱμάτια τοῦ Λόγου εἶναι οἱ λόγοι τῆς Γραφῆς καὶ ἡ κοσμουργία ποὺ πρόβαλε κι ἔλαβε τὸ εἶναι ἀπὸ τὸ Θεό, τὰ ὁποῖα βλέπουν· λευκὰ ὅσοι ἀποξέουν ἀπὸ τὸ γράμμα τῆς Γραφῆς τὴν παχύτητα ποὺ ὑπάρχει σ' αὐτὰ καὶ μὲ τὴν πνευματικὴ θεωρία ἀντικρύζουν τὴ λαμπρὴ ὀμορφιὰ τῶν νοημάτων καὶ ὅσοι ἐποπτεύουν λαμπρὰ τὴν αἰσθητικὴ κτίση ἔχοντας ἀφαιρέσει τὴν ἀπάτη τῶν αἰσθήσεων καὶ ἀπὸ τὸ μεγαλεῖο τῆς ὀμορφιᾶς στοχάζονται ἀνάλογα τὸ δημιουργό.

ΕΡΩΤΗΣΗ 192

«Καὶ νά, εἶδαν τὸν Μωυσῆ καὶ τὸν Ἠλία νὰ μιλοῦν μαζί του· ἀποκρίθηκε τότε ὁ Πέτρος καὶ εἶπε στὸν Ἰησοῦ· «Κύριε, εἶναι ὡραῖα νὰ μείνομε ἐδῶ. Ἂν θέλεις, ἂς κάνομε τρεῖς σκηνές, μία γιὰ σένα, μία γιὰ τὸν Μωυσῆ καὶ μία γιὰ τὸν Ἠλία»[48].

---

47. Ματθ. 17,2. Μάρκ. 9,3. Λουκᾶ 9,29.
48. Ματθ. 17,3–4. Μάρκ. 9,4–5. Λουκᾶ 9,30,33.

ΑΠΟΚΡΙΣΙΣ

Οἱ γὰρ διαβαίνοντες ἀπὸ τοῦ γράμματος εἰς τὸ πνεῦμα ὁρῶσι τόν τε νόμον καὶ τοὺς προφήτας συνόντας τῷ Λόγῳ καὶ διαπρυσίῳ καταγγέλλοντας φωνῇ τὴν αὐτοῦ παρουσίαν. Τίνος δὲ χάριν σκηνῶν ὁ Πέτρος ἐμνημόνευσεν; Ἐπειδὴ πᾶσα γνῶσις καὶ πᾶσα ἀρετή, συγκρινομένη τῇ μελλούσῃ καταστάσει, σκηνῆς εὐκαταλύτου οὐδὲν διενήνοχε, κατὰ τὸν Ἀπόστολον φάσκοντα «εἴτε προφητεῖαι παύσονται εἴτε γνῶσις καταργηθήσεται». Τρεῖς δὲ σκηναί εἰσιν· πραγματική, φυσικὴ καὶ θεολογική· καὶ τὴν μὲν θεολογικὴν ὡς Θεῷ τῷ Κυρίῳ ἀπένειμε, τὴν δὲ φυσικὴν θεωρίαν τῷ Μωυσῇ ὡς γεγραφότι τὴν τῶν ὅλων γέννησιν, τὴν δὲ πρακτικὴν τῷ Ἠλίᾳ ὡς παρθένῳ καὶ ζηλωτῇ καὶ ἀσκητῇ.

ΕΡΩΤΗΣΙΣ 193

Τίς ὁ λόγος τοῦ Μωσέα καὶ Ἠλίαν τεσσαράκοντα ἡμέρας νηστεῦσαι καὶ τί δήποτε ὁ Κύριος ὥσπερ τὰ τῶν δούλων ἐπισφραγίσας κατεδέξατο καὶ αὐτὸς τὰς αὐτὰς μ' ἡμέρας ἄσιτος διαμεῖναι καὶ τί σημαίνει ὁ τεσσαράκοντα ἀριθμός;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν τεσσαρακοστὸς ἀριθμὸς ὡς κακωτικὸς πολλαχοῦ ἐν τῇ θεοπνεύστῳ παρείληπται Γραφῇ, ὡς οἱ κακοπαθήσαντες ἐν τῇ ἐρήμῳ Ἰσραηλῖται τεσσαράκοντα ἔτη καὶ οἱ αὐτοὶ δουλεύσαντες ἐν Αἰγύπτῳ τετρακόσια ἔτη. Ἀλλὰ γὰρ καὶ ὁ κόσμος οὗτος, ἐν ᾧ τὴν κάκωσιν ὑπομένομεν, ἐκ τεσσάρων συνίσταται στοιχείων. Ὁ οὖν Μωυσῆς ὡς πρῶτος νομοθετήσας καὶ νηπίοις οὖσι τοῖς Ἰουδαίοις τὸν νόμον παραδούς, τεσσαράκοντα νηστεύει ἡμέρας, σημαίνων ὅτι ἡ κατ' αὐτὸν νομοθεσία τῶν κατὰ πρᾶξιν ἁμαρτημάτων τὴν ἀποχὴν νομοθετεῖ· πᾶσα γὰρ ἁμαρτία ἐκ τῶν αἰσθητῶν καὶ τῶν αἰσθήσεων συνίστασθαι πέ-

49. Α' Κορ. 13,8. 50. Ἐξ. 34,28. Γ' Βασ. 19,8.
51. Ματθ. 4,2· Μάρκ. 1,13· Λουκᾶ 4,2.

ΑΠΟΚΡΙΣΗ

Αὐτοὶ δηλαδὴ ποὺ μεταβαίνουν ἀπὸ τὸ γράμμα στὸ Πνεῦμα, βλέπουν καὶ τὸ νόμο καὶ τοὺς προφῆτες νὰ εἶναι μαζὶ μὲ τὸ Λόγο καὶ μὲ δυνατὴ φωνὴ νὰ διαλαλοῦν τὴν παρουσία του. Γιὰ ποιό λόγο ὅμως ὁ Πέτρος μίλησε γιὰ σκηνές; Ἐπειδὴ κάθε γνώση καὶ κάθε ἀρετή, συγκρινόμενη μὲ τὴ μέλλουσα κατάστασή, δὲν διαφέρει καθόλου ἀπὸ μιὰ πρόχειρη σκηνή, σύμφωνα μὲ τὸν Ἀπόστολο ποὺ λέει «εἴτε προφητεῖες εἶναι θὰ σταματήσουν, εἴτε γνώση θὰ καταργηθεῖ»[49]. Οἱ σκηνὲς εἶναι τρεῖς· ἡ πραγματική, ἡ φυσικὴ καὶ ἡ θεολογική. Καὶ τὴ θεολογικὴ τὴν ἀπέδωσε στὸν Κύριο καὶ Θεό, τὴ φυσικὴ θεωρία στὸ Μωυσῆ, ἐπειδὴ ἐξιστόρησε τὴ γένεση τῶν ὅλων, καὶ τὴν πρακτικὴ στὸν Ἠλία, ἐπειδὴ ἦταν παρθένος, ζηλωτὴς καὶ ἀσκητής.

ΕΡΩΤΗΣΗ 193

Γιὰ ποιό λόγο ὁ Μωυσῆς καὶ ὁ Ἠλίας νήστεψαν σαράντα ἡμέρες[50] καὶ γιατί ὁ Κύριος σὰ νὰ ἐπισφράγισε τὰ τῶν δούλων καταδέχτηκε κι αὐτὸς νὰ παραμείνει χωρὶς τροφὴ τὶς ἴδιες σαράντα ἡμέρες[51], καὶ ποιά ἡ σημασία τοῦ ἀριθμοῦ σαράντα;

ΑΠΟΚΡΙΣΗ

Ὁ ἀριθμὸς σαράντα ὡς ἀριθμὸς βλαπτικὸς ἀναφέρεται σὲ πολλὰ σημεῖα τῆς Γραφῆς[52], ὅπως οἱ Ἰσραηλίτες ποὺ κακοπάθησαν στὴν ἔρημο σαράντα χρόνια καὶ οἱ ἴδιοι ποὺ ἔζησαν ὡς δοῦλοι στὴν Αἴγυπτο τετρακόσια χρόνια[53]. Ἀλλὰ κι αὐτὸς ὁ κόσμος μέσα στὸν ὁποῖο ὑπομένομε τὶς κακώσεις συνίσταται ἀπὸ τέσσερα στοιχεῖα. Ὁ Μωυσῆς λοιπὸν ἐπειδὴ πρῶτος νομοθέτησε κι ἔδωσε στοὺς Ἰουδαίους τὸ νόμο ἐνῶ ἀκόμη ἦταν νήπιοι, νηστεύει σαράντα μέρες, σημαίνοντας ὅτι ἡ νομοθεσία του νομοθετεῖ τὴν ἀποχὴ ἀπὸ τὰ πρακτικὰ ἁμαρτήματα· γιατὶ κάθε ἁμαρτία συνίσταται ἀπὸ τὴ φύση της ἀπὸ τὰ αἰσθητὰ καὶ

52. Ἐξ. 16,35. 53. Γεν. 15,13. Πράξ. 7,6.

φυκεν. Ὁ δὲ Ἠλίας τοῦ προφητικοῦ χαρίσματος τύπον φέρων ὡς ὑπεραναβεβηκὼς τὰ νομικὰ παραγγέλματα νηστεύει τεσσαράκοντα ἡμέρας, σημαίνων ὅτι τὸ προφητικὸν χάρισμα τὴν ἀποχὴν τῶν συγκαταθέσεων νομοθετεῖ. Ὁ δὲ Κύριος ὡς πληρωτὴς τοῦ νόμου καὶ μόνος ἄρας τὴν ἁμαρτίαν τοῦ κόσμου, νηστεύσας τὰς τεσσαράκοντα ἡμέρας, δέδωκεν ἡμῖν δύναμιν οὐ μόνον τῶν κατὰ πρᾶξιν καὶ συγκατάθεσιν ἁμαρτιῶν ἀπέχεσθαι, ἀλλὰ καὶ αὐτῶν τῶν ψιλῶν φαντασιῶν ἀνωτέρους γενέσθαι.

ΕΡΩΤΗΣΙΣ 194

Τί σημαίνει ἐν τῷ Εὐαγγελίῳ ὅτε μετὰ τὸ πάντα πειρασμὸν τοῦ διαβόλου τοῦ Κυρίου ἀποκρουσαμένου ἐπισημαίνεται ὁ εὐαγγελιστὴς ὅτι «ἀπέστη ἀπ' αὐτοῦ ὁ διάβολος ἄχρι καιροῦ»; Ποίου ἄρα καιροῦ;

ΑΠΟΚΡΙΣΙΣ

Διπλῶν τῶν πειρασμῶν ὄντων, ἑκουσίων τε καὶ ἀκουσίων, τουτέστιν ἡδονικῶν τε καὶ ἐπιπόνων, πρῶτον μὲν διὰ τῶν ἡδονικῶν πειράσας τὸν Κύριον ὁ διάβολος, διά τε γαστριμαργίας καὶ φιλαργυρίας καὶ κενοδοξίας –πάντα γὰρ ταῦτα ἡδονῆς εἰσι ποιητικὰ –καὶ ἀποκρουσθείς, ἀπέστη ἄχρι καιροῦ. Ποίου καιροῦ; Τοῦ κατὰ τὸν σταυρὸν πάθους, ἵνα καὶ διὰ τῶν ἀκουσίων καὶ ἐπιπόνων πειρασμῶν, ὡς ᾤετο, προσβαλὼν τῷ Κυρίῳ, δυνηθείη εὑρεῖν ἐν αὐτῷ τι τῶν ἀνθρωπίνων παθῶν· ἀπεκρούσθη δὲ καὶ διὰ τούτων, καὶ θριαμβευθεὶς ἐν τῷ σταυρῷ κατηργήθη.

---

54. Ματθ. 5,17.

55. Ἰω. 1,29.

τὶς αἰσθήσεις. Ὁ Ἠλίας πάλι ὄντας παράδειγμα τοῦ προφητικοῦ χαρίσματος, ἐπειδὴ ξεπέρασε τὰ νομικὰ παραγγέλματα, νηστεύει γιὰ σαράντα ἡμέρες σημαίνοντας ὅτι τὸ προφητικὸ χάρισμα νομοθετεῖ τὴν ἀποχὴ ἀπὸ τὶς συγκαταθέσεις[54]. Τέλος ὁ Κύριος ὡς αὐτὸς ποὺ ὁλοκλήρωσε τὸ νόμο καὶ μόνος «σήκωσε τὴν ἁμαρτία τοῦ κόσμου»[55], νηστεύοντας ἐπὶ σαράντα ἡμέρες, μᾶς ἔδωσε τὴ δύναμη ὄχι μόνο ν' ἀπέχομε ἀπὸ τὶς κατὰ πράξη καὶ συγκατάθεση ἁμαρτίες μας, ἀλλὰ νὰ κυριαρχήσομε καὶ σ' αὐτὲς τὶς ἁπλὲς φαντασίες.

ΕΡΩΤΗΣΗ 194

Τί σημαίνει ἡ ἀναφορὰ στὸ Εὐαγγέλιο ὅτι, ἀφοῦ ὁ Κύριος ἀπόκρουσε κάθε πειρασμὸ τοῦ διαβόλου, «ἀπομακρύνθηκε ἀπὸ αὐτὸν ὁ διάβολος μέχρι τὸν (ὁρισμένο) καιρό»[56];

ΑΠΟΚΡΙΣΗ

Ὄντας οἱ πειρασμοὶ δύο, ἑκούσιοι καὶ ἀκούσιοι, δηλαδὴ πειρασμοὶ ποὺ προκαλοῦν ἡδονὴ καὶ πειρασμοὶ ἐπίπονοι, ὁ διάβολος πείραξε τὸν Κύριο πρῶτα μὲ τοὺς ἡδονικούς, τὴ λαιμαργία, τὴ φιλαργυρία καὶ τὴν κενοδοξία –γιατὶ ὅλες αὐτὲς προκαλοῦν ἡδονή– καὶ ὅταν ἀποκρούστηκε «ἀπομακρύνθηκε μέχρι τὸν (ὁρισμένο) καιρό». Ποιό καιρό; Τὸν καιρὸ τοῦ σταυρικοῦ πάθους ὥστε, προσβάλλοντας τὸν Κύριο καὶ μὲ τοὺς ἀκούσιους καὶ μὲ τοὺς ἐπίπονους πειρασμούς, ὅπως νόμιζε, νὰ μπορέσει νὰ βρεῖ σ' αὐτὸν κάποιο ἀπὸ τὰ ἀνθρώπινα πάθη. Ἀποκρούστηκε ὅμως καὶ σ' αὐτὰ καὶ κατανικημένος μὲ τὸ σταυρὸ καταργήθηκε.

---

56. Λουκᾶ 4,13.

ΕΡΩΤΗΣΙΣ 195

*Ἐπειδὴ μεμαρτύρηται ὁ Ἰωάννης ὑπ' αὐτοῦ τοῦ Κυρίου μείζων πάντων τῶν ἐν γεννητοῖς γενέσθαι –καὶ γὰρ καὶ ὁ βίος αὐτοῦ καθαρὸς καὶ ἁμαρτίας πάσης κεχωρισμένος ἦν– τίνος *** *** λείπει*

ΕΡΩΤΗΣΗ 195

Ἐπειδὴ ὁ Ἰωάννης, σύμφωνα μὲ τὴ μαρτυρία τοῦ ἴδιου τοῦ Κυρίου, ἦταν ὁ πιὸ μεγάλος ἀπὸ ὅλους τοὺς ἀνθρώπους ποὺ γεννήθηκαν[57] –πραγματικὰ κι ὁ βίος του ἦταν καθαρὸς καὶ ἀπαλλαγμένος ἀπὸ κάθε ἁμαρτία– γιὰ ποιό λόγο *** ***

57. Ματθ. 11,11. Λουκᾶ 7,28.

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

1 – 83

ΠΑΡΑΛΛΑΓΗ Α΄

ΠΑΡΑΛΛΑΓΗ Α' ΕΡΩΤΑΠΟΚΡΙΣΕΩΝ

ΕΡΩΤΗΣΕΙΣ ΔΙΑΦΟΡΟΙ ΚΑΙ ΕΚΛΟΓΑΙ ΔΙΑΦΟΡΩΝ ΚΕΦΑΛΑΙΩΝ ΑΠΟΡΟΥΜΕΝΩΝ

ΕΡΩΤΗΣΙΣ Α,1

Τίνες ἀρεταὶ ψυχῆς καὶ τίνες σώματος;

ΑΠΟΚΡΙΣΙΣ

Ἀρεταὶ ψυχῆς εἰσιν αὖται· ἀγάπη, ταπείνωσις, πρᾳότης, μακροθυμία, ἀνεξικακία, ἀμνησικακία, ἀοργησία, τὸ ἄθυμον, τὸ ἄφθονον, τὸ ἄκριτον, τὸ ἀκενόδοξον, ἐλεημοσύνη, σωφροσύνη, τὸ ἀφιλάργυρον, συμπάθεια, τὸ ἄτυφον, τὸ ἀνυπερήφανον, τὸ κατανυκτικόν. Ἀρεταὶ δὲ σώματός εἰσιν αὖται· νηστεία, χαμευνία, ἀγρυπνία, ἐγκράτεια, ἀκτημοσύνη, τὸ ἀπερίσπαστον.

ΕΡΩΤΗΣΙΣ Α,2

Τί ἐστιν τὸ ἐν τῷ Ἀποστόλῳ εἰρημένον «ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ»;

ΠΑΡΑΛΛΑΓΗ Α' ΕΡΩΤΑΠΟΚΡΙΣΕΩΝ

ΔΙΑΦΟΡΕΣ ΕΡΩΤΗΣΕΙΣ ΚΑΙ ΕΚΛΟΓΕΣ ΑΠΟ ΔΙΑΦΟΡΑ ΚΕΦΑΛΑΙΑ ΠΟΥ ΔΗΜΙΟΥΡΓΟΥΝ ΑΠΟΡΙΕΣ

ΕΡΩΤΗΣΗ Α,1

Ποιές εἶναι οἱ ἀρετὲς τῆς ψυχῆς καὶ ποιές τοῦ σώματος;

Οἱ ἀρετὲς τῆς ψυχῆς εἶναι οἱ ἀκόλουθες· ἡ ἀγάπη, ἡ ταπείνωση, ἡ πραότητα, ἡ μακροθυμία, ἡ ἀνεξικακία, ἡ ἀμνησικακία, ἡ ἀοργησία, τὸ νὰ μὴ ὀργίζεται κανείς, νὰ μὴ θυμώνει, νὰ μὴ φθονεῖ, νὰ μὴν κρίνει, νὰ μὴν εἶναι ματαιόδοξος, νὰ κάνει ἐλεημοσύνες, νὰ εἶναι φρόνιμος, ἀφιλάργυρος, συμπαθής, νὰ μὴν ἔχει ἔπαρση ἢ ὑπερηφάνεια, καὶ νὰ εἶναι εὐλαβής. Ἐνῶ ἀρετὲς τοῦ σώματος εἶναι ἡ νηστεία, τὸ πλάγιασμα στὸ ἔδαφος, ἡ ἀγρυπνία, ἡ ἐγκράτεια, ἡ ἀκτημοσύνη, ἡ ἔλλειψη περισπασμοῦ.

ΕΡΩΤΗΣΗ Α,2

Τί σημαίνει ὁ λόγος τοῦ Ἀποστόλου, «θὰ ψάλω ὕμνους μὲ τὸ πνεῦμα μου, θὰ ψάλω ὕμνο καὶ μὲ τὸ νοῦ μου»[1];

1. Α' Κορ. 14,15.

ΑΠΟΚΡΙΣΙΣ

«Ψάλλει τις τῷ πνεύματι» ὅτ' ἂν μόνον τὴν προφορὰν τῶν ψαλλομένων διὰ γλώσσης φέρει· «ψάλλει δὲ τῷ νοΐ» ὅτ' ἄν, τὴν δύναμιν τῶν ψαλλομένων γινώσκων, τῇ θεωρίᾳ εὐφραίνεται.

ΕΡΩΤΗΣΙΣ Α,3 (Β,3)

Τί ἐστιν, «ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ προηγούμενος σκοπὸς τοῦ Θεοῦ ἦν τοῦ μὴ διὰ γάμου γεννᾶσθαι ἡμᾶς καὶ φθορᾶς, ἡ δὲ παράβασις τῆς ἐντολῆς τὸν γάμον εἰσήγαγε διὰ τὸ ἀνομῆσαι τὸν Ἀδάμ, τουτέστιν ἀθετῆσαι τὸν ἐκ Θεοῦ δοθέντα αὐτῷ νόμον, πάντες οὖν οἱ ἐξ Ἀδὰμ γεννώμενοι ἐν ἀνομίαις συλλαμβάνονται, ὑποπίπτοντες τῇ τοῦ προπάτορος καταδίκῃ. Τὸ δὲ καὶ «ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου» σημαίνει ὅτι ἡ Εὔα, ἡ πάντων ἡμῶν μήτηρ, πρώτη ἐκίσσησε τὴν ἁμαρτίαν, ὥσπερ ὀργῶσα τὴν ἡδονήν. Διὰ τοῦτο καὶ ἡμεῖς, τῇ τῆς μητρὸς ὑποπίπτοντες καταδίκῃ, κισσᾶσθαι λέγομεν ἐν ἁμαρτίαις.

ΕΡΩΤΗΣΙΣ Α,4 (Β,12)200

Τί ἐστι τὸ παρὰ τοῦ Ἀποστόλου λεγόμενον, «ἀνά-

---

2. Καὶ ὁ Χρυσόστομος μιλᾶ γιὰ χάρισμα γλώσσας (πνεῦμα) καὶ χάρισμα ἑρμηνείας (νοῦς) (Ὁμιλία 35.).

ΑΠΟΚΡΙΣΗ

Ψάλλει κανεὶς μὲ τὸ πνεῦμα του, ὅταν προφέρει τὰ ψαλλόμενα μόνο μὲ τὴ γλῶσσα του· ἐνῶ ψάλλει μὲ τὸ νοῦ, ὅταν, κατανοώντας τὸ νόημα ὅσων ψάλλει, εὐφραίνεται μὲ τὴν κατανόησή τους[2].

ΕΡΩΤΗΣΗ Α,3 (Β,3)

Τί σημαίνει τό, «μέσα σὲ παραβάσεις τοῦ νόμου μὲ συνέλαβε ἡ μητέρα μου καὶ μέσα σὲ ἁμαρτίες μὲ κυοφόρησε καὶ μὲ γέννησε»[3];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ ἀρχικὸς σκοπὸς τοῦ Θεοῦ ἦταν νὰ μὴ γεννιόμαστε διὰ μέσου τῆς φθορᾶς τοῦ γάμου καὶ τὸν γάμο τὸν ἔβαλε στὴ ζωή μας ἡ παράβαση τῆς ἐντολῆς μὲ τὴν παρανομία τοῦ Ἀδάμ, μὲ τὴν ἀθέτηση δηλαδὴ τοῦ νόμο ποὺ τοῦ ἔδωσε ὁ Θεός, γι' αὐτὸ ὅλοι ὅσοι γεννιοῦνται ἀπὸ τὸν Ἀδὰμ συλλαμβάνονται μέσα σὲ παρανομίες, πέφτοντας στὴν καταδίκη τοῦ προπάτορα. Ὁ λόγος πάλι, «μέσα σὲ ἁμαρτίες μὲ κυοφόρησε καὶ μὲ γέννησε ἡ μητέρα μου» σημαίνει ὅτι ἡ Εὔα, ἡ μητέρα ὅλων μας, κυοφόρησε καὶ γέννησε πρώτη τὴν ἁμαρτία, ἔχοντας κατὰ κάποιο τρόπο νιώσει ὀργασμὸ γιὰ τὴν ἡδονή. Γι' αὐτὸ κι ἐμεῖς ὑποκείμενοι στὴν καταδίκη τῆς μητέρας μας λέμε ὅτι γεννιόμαστε μέσα στὶς ἁμαρτίες.

ΕΡΩΤΗΣΗ Α,4 (Β,12)

Τί σημαίνει αὐτὸ ποὺ λέει ὁ Ἀπόστολος, «νὰ γινό-

---

3. Ψαλμ. 50,7.

θεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν συγγενῶν μου»;

ΑΠΟΚΡΙΣΙΣ

«Ηὐχόμην», φησίν, παραδοθῆναι ἀπὸ τοῦ Χριστοῦ τῷ διαβόλῳ, ὥστε μαστιγωθῆναι καὶ τὰς ὑπὲρ τοῦ Ἰσραὴλ κολάσεις ὑπομεῖναι, ἅσπερ κατὰ τὸ δίκαιον ἐχρεώστουν ὑπὲρ τῆς εἰς Θεὸν αὐτῶν ἀπιστίας, μόνον ἵνα σωθῶσιν· καθ' ὃν τρόπον καὶ ὁ Κύριος «παρέδωκεν ἑαυτὸν καὶ γέγονεν ὑπὲρ ἡμῶν κατάρα».

ΕΡΩΤΗΣΙΣ Α,5

Κατὰ πόσους τρόπους ἐξαμαρτάνει ὁ ἄνθρωπος;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι κατὰ τέσσαρας τρόπους ἁμαρτάνειν τὸν ἄνθρωπον, κατὰ συναρπαγήν, κατὰ ἀπάτην, κατὰ ἄγνοιαν, κατὰ διάθεσιν. Καὶ αἱ μὲν πρῶται τρεῖς εὐχερῶς εἰς ἐπίγνωσιν καὶ μετάνοιαν ἔρχονται, ὁ δὲ ἐκ διαθέσεως ἁμαρτάνων, καὶ μήτε τῇ πείρᾳ μήτε τῷ χρόνῳ εἰς μετάνοιαν ἐρχόμενος, ἀνήκεστον ἔχει τὴν κόλασιν.

ΕΡΩΤΗΣΙΣ Α,6

Τί δηλοῖ ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος λέγων ὅτι «δύο στρουθία ἀσσαρίου πωλεῖται»;

---

4. Ρωμ. 9,3.
5. Ὁ Χρυσόστομος παρατηρεῖ· ὁ Παῦλος δέχεται νὰ χωριστεῖ ἀπὸ τὴ δόξα κοντὰ στὸ Χριστὸ ὄχι βέβαια ἀπὸ τὴν ἀγάπη του (Ὁμιλ. 16,1).

μουν ἀνάθεμα καὶ νὰ χωριζόμουν ἐγὼ ἀπὸ τὸ Χριστὸ γιὰ χάρη τῶν συγγενῶν μου»[4];

ΑΠΟΚΡΙΣΗ

Θὰ εὐχόμουν, λέει, νὰ παραδοθῶ[5] ἀπὸ τὸν Χριστὸ στὸ διάβολο, ὥστε νὰ μαστιγωθῶ καὶ νὰ ὑποφέρω τὶς τιμωρίες γιὰ χάρη τῶν Ἰσραηλιτῶν, τὰ ὁποῖα δίκαια χρεωστοῦσα ἐξαιτίας τῆς ἀπιστίας τους πρὸς τὸ Θεό, ἀρκεῖ μόνο νὰ σωθοῦν. Ὅπως δηλαδὴ καὶ ὁ Κύριος παρέδωσε τὸν ἑαυτό του[6] καὶ ἔγινε γιὰ χάρη μας κατάρα[7].

ΕΡΩΤΗΣΗ Α,5

Μὲ πόσους τρόπους ἁμαρτάνει ὁ ἄνθρωπος;

ΑΠΟΚΡΙΣΗ

Νομίζω ὅτι ὁ ἄνθρωπος ἁμαρτάνει μὲ τέσσερις τρόπους· ἀπὸ παρόρμηση τῆς στιγμῆς, ἀπὸ ἐξαπάτηση, ἀπὸ ἄγνοια καὶ ἀπὸ πρόθεση. Κατὰ τὶς τρεῖς πρῶτες περιπτώσεις οἱ ἄνθρωποι ἔρχονται εὔκολα σὲ ἐπίγνωση καὶ μετανοοῦν, ὅποιος ὅμως ἁμαρτάνει ἀπὸ πρόθεση καὶ δὲν ὁδηγεῖται στὴ μετάνοια οὔτε ἀπὸ τὴν ἐμπειρία του οὔτε ἀπὸ τὸ πέρασμα τοῦ χρόνου, αὐτὸς ἐπισύρει τιμωρία ἀθεράπευτη.

ΕΡΩΤΗΣΗ Α,6

Τί θέλει νὰ πεῖ ὁ Κύριος στὸ Εὐαγγέλιο μὲ τὸ λόγο του, «ὅτι δύο στρουθία πουλιοῦνται γιὰ ἕνα ἀσσάριο»[8];

---

6. Ἐφ. 5,2 καὶ 25.
7. Γαλ. 2,10, 3,13.
8. Ματθ. 10,20.

ΑΠΟΚΡΙΣΙΣ

Φασὶ τὸ ἀσσάριον δεκάνουμον εἶναι, δηλοῦται δὲ διὰ τοῦ δέκα τὸ ἰῶτα γράμμα, ἀρχὴ δέ ἐστι τοῦτο τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐξαγοράζεται οὖν διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ὁ παλαιὸς καὶ ὁ νέος λαός, καὶ «ὁ ἔσω καὶ ὁ ἔξω ἄνθρωπος».

ΕΡΩΤΗΣΙΣ Α,7

Τί ἐστι τὸ ἀπὸ Ἐλισσαίου, ἀναλαμβανομένου τοῦ Ἠλίου, ῥηθὲν «ποῦ ὁ Θεὸς ἀφφώ;».

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ τρεῖς ἐπιβολὰς ἑρμηνεύεται· ἢ 'ποῦ ὁ Θεὸς τοῦ πατρός μου;' ἢ 'ποῦ ὁ Θεὸς τοῦ μεγάλου μου;' ἢ 'ποῦ ὁ Θεὸς τοῦ κρυβέντος;'

ΕΡΩΤΗΣΙΣ Α,8

Κατὰ πόσους τρόπους αἱ ἀλληγορίαι καὶ τί ἐστι τροπολογία;

ΑΠΟΚΡΙΣΙΣ

Ἀλληγορία ἐστὶν ἡ ἐπὶ τῶν ἀψύχων, οἷον, ὀρέων, βουνῶν, δένδρων καὶ τῶν λοιπῶν. Τροπολογία δέ ἐστιν ἡ ἐπὶ τῶν ἡμετέρων μελῶν, οἷον, κεφαλῆς, ὀφθαλμῶν καὶ τῶν λοιπῶν· τροπολογία γὰρ ἀντὶ τοῦ τρέπεσθαι λέγεται.

---

9. Σύγχυση ἴσως μὲ τὸ δηνάριο ποὺ ἰσοδυναμεῖ ὅμως μὲ δέκα ἀσσάρια.

10. Ρωμ. 7,22.

11. Ἐφ. 3,11.

12. Δ' Βασ. 2,14.

ΑΠΟΚΡΙΣΗ

Λένε πὼς τὸ ἀσσάριο εἶναι δεκάλεπτο[9] καὶ στὸ δέκα ἀντιστοιχεῖ τὸ γράμμα γιώτα, ποὺ εἶναι ἡ ἀρχὴ τοῦ ὀνόματος τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Μὲ τὸ ὄνομα λοιπὸν τοῦ Κυρίου ἐξαγοράζεται ὁ παλαιὸς καὶ ὁ νέος λαός, καὶ ὁ ἐσωτερικὸς[10] καὶ ὁ ἐξωτερικὸς ἄνθρωπος[11].

ΕΡΩΤΗΣΗ Α,7

Τί σημαίνει αὐτὸ ποὺ εἶπε ὁ Ἐλισσαῖος κατὰ τὴν ἀνάλειψη τοῦ Ἠλία[12], «ποῦ εἶναι ὁ Θεὸς ἀφφώ;»[13].

ΑΠΟΚΡΙΣΗ

Ὁ λόγος ἑρμηνεύεται μὲ τρεῖς τρόπους· ἢ 'Ποῦ εἶναι ὁ Θεὸς τοῦ πατέρα μου;' ἢ 'Ποῦ εἶναι ὁ Θεὸς τοῦ μεγάλου μου;' ἢ 'Ποῦ εἶναι ὁ Θεὸς ἐκείνου ποὺ κρύφτηκε;'

ΕΡΩΤΗΣΗ Α,8

Μὲ πόσους τρόπους γίνονται οἱ ἀλληγορίες καὶ τί εἶναι τροπολογία;

ΑΠΟΚΡΙΣΗ[14]

Ἀλληγορία εἶναι ἡ μεταφορὰ στὰ ἄψυχα· γιὰ παράδειγμα στὰ ὄρη, στὰ βουνά, στὰ δένδρα καὶ τὰ λοιπά. Τροπολογία ἡ μεταφορὰ στὰ μέλη μας· ὅπως στὸ κεφάλι, τὰ μάτια καὶ τὰ λοιπά· γιατὶ τροπολογία λέγεται ἡ μετατροπή.

---

13. Γράφεται καὶ Ἀφφού. Ἀναφέρεται στὸν προφοφήτη Ἠλία (πατέρας, μεγάλος, κρυφθείς).

14. Ἡ ἀπάντηση δὲν ἀνταποκρίνεται ἀκριβῶς τὴν ἐρώτηση. Στὴ Σούδα βρίσκομε· τροπολογία, ἀλλοίωση ἑτέρου πρὸς ἕτερον κατά τι (νόημα, λέξη, μέλος).

ΕΡΩΤΗΣΙΣ Α,9

Τί ἐστι τὸ ἐν τῷ ψαλμῷ εἰρημένον «καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ τὴν τοῦ ὁμοπίστου πρᾶξιν κακηγορῶν καὶ ὥσπερ ἐγκαθήμενος τῇ τούτου λοιδορίᾳ, οὗτος εἰκότως λέγεται «κατὰ τοῦ ἀδελφοῦ καταλαλεῖν». Ὁ δὲ τὸν υἱὸν τῆς σοφίας κοσμούμενον φθόνῳ φερόμενος ἐνδιαβάλλων καὶ πάντας σκανδαλίζων, οὗτός ἐστιν 'ὁ τιθεὶς τῷ υἱῷ τῆς μητρὸς σκάνδαλον'.

ΕΡΩΤΗΣΙΣ Α,10

Ἐπειδὴ ἐν τῷ ἁγίῳ Διαδόχῳ ἐν τῷ ἑκατοστῷ κεφαλαίῳ γέγραπται 'κριθήσεσθαί τινας διὰ πυρὸς καὶ καθαίρεσθαι ἐν τῷ μέλλοντι αἰῶνι', παρακαλῶ ἐκκαλυφθῆναί μοι διὰ τῆς σαφηνείας τὸν σκοπὸν τοῦ πατρός.

ΑΠΟΚΡΙΣΙΣ

Οἱ τὸ τέλειον τῆς πρὸς Θεὸν ἀγάπης κεκτημένοι καὶ τὸ πτερὸν τῆς ψυχῆς διὰ τῶν ἀρετῶν μετεωρίσαντες, κατὰ τὸν Ἀπόστολον «ἐν νεφέλαις ἁρπάζονται» καὶ εἰς κρίσιν οὐκ ἔρ-

---

15. Ψαλ.μ. 49,20.
16. Βλ. Ρωμ. 14,13.
17. Ὁμόπιστος ὁ ἐθνικὸς χριστιανὸς 'υἱὸς τῆς μητέρας ὁ Χριστιανὸς ἐξ Ἰουδαίων'.

ΕΡΩΤΗΣΗ Α,9

Τί σημαίνει αὐτὸ ποὺ λέγεται στὸν Ψαλμὸ «καθόσουν καὶ κατηγοροῦσες τὸν ἀδελφό σου καὶ ἔστηνες παγίδες στὸν ὁμόσπλαχνο ἀδελφό σου»[15]

ΑΠΟΚΡΙΣΗ

Ὅποιος κατηγορεῖ τὴ συμπεριφορὰ ἐκείνου μὲ τὸν ὁποῖο ἔχει τὴν ἴδια πίστη καὶ ἔχει κατὰ κάποιο τρόπο ἐγκατασταθεῖ μέσα στὴν κατηγορία τοῦ ὁμοπίστου του, αὐτὸς δικαιολογημένα λέγεται ὅτι καταλαλεῖ τὸν ἀδελφό του[16]. Ὅποιος ὅμως κινεῖται ἀπὸ φθόνο καὶ διαβάλλει ἐκεῖνον ποὺ ἔχει στολισμό του τὴ σοφία καὶ σκανδαλίζει τοὺς πάντες, αὐτὸς εἶναι ἐκεῖνος ποὺ στήνει παγίδα στὸν ὁμόσπλαχνο ἀδελφό του[16].

ΕΡΩΤΗΣΗ Α,10

Ἐπειδὴ ὁ ἅγιος Διάδοχος γράφει στὸ ἑκατοστὸ κεφάλαιο[18] ὅτι «θὰ διαχωριστοῦν μερικοὶ μὲ τὴ φωτιὰ καὶ θὰ καθαρθοῦν στὸν μελλοντικὸ αἰώνα», παρακαλῶ νὰ γίνει φανερὸς καὶ νὰ διασαφηνιστεῖ ὁ σκοπὸς τοῦ πατέρα.

ΑΠΟΚΡΙΣΗ

Ὅποιοι ἔχουν ἀποκτήσει τὴν τέλεια πρὸς τὸ Θεὸ ἀγάπη καὶ μὲ τὶς ἀρετὲς φτερουγίζουν τὰ φτερὰ τῆς ψυχῆς τους, αὐτοὶ γίνονται, κατὰ τὸν Ἀπόστολο[19], ἀνάρπαστοι μέσα στὰ

---

18. Διαδόχου Φωτικῆς, *Κεφάλαιο 100* (É. DES PLACES, SChr. p. 163, ll. 8–10) καὶ Πατερικαὶ Ἐκδόσεις Γρηγόριος ὁ Παλαμᾶς, Σειρὰ Φιλοκαλία, τόμος 9, *Κεφάλαια Γνωστικά*, Κεφ. 100, σελ. 288, 4–8.
19. Β´ Θεσ. 4,16.

χονται. Οἱ δέ γε μὴ πάντη τὸ τέλειον κτησάμενοι, ἀλλὰ καὶ ἁμαρτήματα καὶ κατορθώματα κεκτημένοι, οὗτοι ἐν τῷ δικαστηρίῳ τῆς κρίσεως ἔρχονται κἀκεῖ διὰ τῆς τῶν ἀγαθῶν καὶ φαύλων πράξεων ἀντεξετάσεως, οἱονεὶ πυρούμενοι, εἴπερ ἡ τῶν ἀγαθῶν πλάστιγξ ἐπιβαρήσει, καθαίρονται τῆς κολάσεως.

ΕΡΩΤΗΣΙΣ Α,11

Περὶ διαφόρων δικαιοσυνῶν.

ΑΠΟΚΡΙΣΙΣ

Τρεῖς δικαιοσύνας οἱ τὰ θεῖα σοφοὶ λέγουσιν εἶναι, ἀνθρωπίνην, ἀγγελικὴν καὶ θείαν· καὶ τὴν μὲν ἀνθρωπίνην φασὶν τὴν ἐν τοῖς αἰσθητοῖς τοῦ κόσμου τούτου ἰσονεμίαν τε καὶ εὐγνωμοσύνην, τὴν ἀγγελικὴν δὲ τῆς θείας γνώσεως ἄφθονον μετάδοσιν, τὴν δὲ θείαν δικαιοσύνην ὁρίζονται τὸ πάσχειν ὑπὲρ τῶν ἁμαρτανόντων.

ΕΡΩΤΗΣΙΣ Α,12

Τίνος χάριν ἐπιτιμήσας ὁ Κύριος τῷ Πέτρῳ, εἴρηκεν αὐτὸν Σατανᾶν;

ΑΠΟΚΡΙΣΙΣ

Οὐχ ὡς τινες νομίζουσι τὸν Πέτρον ἀποκαλεῖ Σατανᾶν ὑβριστικῶς ὁ Κύριος, ἀλλ' ἐπειδὴ αἱ τοῦ Κυρίου στερήσεις

---

20. Ἰω. 5,24.
21. Ματθ. 16,23. Μάρκ. 8,33.

σύννεφα καὶ δὲν ἀντιμετωπίζουν κρίση. Ὅσοι ὅμως δὲν ἔχουν ἀποκτήσει ἀκόμα τὴν πλήρη τελειότητα ἀλλὰ εἶναι φορτωμένοι καὶ μὲ ἁμαρτήματα καὶ μὲ κατορθώματα, αὐτοὶ πηγαίνουν στὸ δικαστήριο τῆς κρίσης καὶ ἐκεῖ μὲ τὴν κατὰ ἀντιπαραβολὴ ἐξέταση τῶν ἀγαθῶν καὶ φαύλων ἔργων[20], σὰ νὰ περνοῦν ἀπὸ φωτιά, ἂν γείρει ἡ πλάστιγγα πρὸς τὰ ἀγαθὰ ἀπαλλάσσονται ἀπὸ τὴν τιμωρία.

ΕΡΩΤΗΣΗ Α,11

Γιὰ τὰ διάφορα εἴδη δικαιοσύνης.

ΑΠΟΚΡΙΣΗ

Οἱ σοφοὶ στὰ θεῖα λένε πὼς ὑπάρχουν τρία εἴδη δικαιοσύνης, ἡ ἀνθρώπινη, ἡ ἀγγελικὴ καὶ ἡ θεία. Ἀνθρώπινη ὀνομάζουν τὸ ἰσομοίρασμα καὶ τὴν ἀγαθὴ διάθεση ποὺ ἐκδηλώνεται στὰ αἰσθητὰ αὐτοῦ τοῦ κόσμου· ἀγγελικὴ τὴν πλουσιοπάροχη μετάδοση τῆς θείας γνώσης· καὶ ὡς θεία δικαιοσύνη ὁρίζουν τὸ νὰ ὑποφέρει κανεὶς γιὰ χάρη ἐκείνων ποὺ ἁμαρτάνουν.

ΕΡΩΤΗΣΗ Α,12

Γιὰ ποιό λόγο ὁ Κύριος ἐπιτιμώντας τὸν Πέτρο τὸν ἀποκάλεσε Σατανᾶ[21];

ΑΠΟΚΡΙΣΗ

Δὲν ἀποκαλεῖ ὁ Κύριος, ὅπως νομίζουν μερικοί, τὸν Πέτρο «Σατανᾶ» ὑβριστικά[22], ἀλλὰ ἐπειδὴ οἱ στερήσεις τοῦ

22. Τὸ μὴ παθεῖν με τῆς τοῦ διαβόλου γνώμης ἐστί. Ὁ Χριστὸς ἔπρεπε νὰ πάθει.

ἡμῶν ἕξεις ἐγένοντο, οἷον, ὁ αὐτοῦ θάνατος ἡμῖν ζωὴ γέγονεν, ἡ αὐτοῦ ἀτιμία ἡμῖν ἐγένετο δόξα. Ὁ οὖν ἀπόστολος Πέτρος, τοῦ Κυρίου λέγοντος μέλλειν πάσχειν αὐτόν, ὑπελάμβανε, τῇ φύσει τῶν πραγμάτων ἑπόμενος, ὡς ἀδύνατόν ἐστι τὴν ζωὴν ἀποθνήσκειν ἢ τὴν τοσαύτην δόξαν ἀτιμασθῆναι. Ὁ οὖν Κύριος τὴν ὑπόνοιαν ταύτην ἀναιρῶν, ὡς οὐ δεῖ φύσεως ἀκολουθίαν ἐν τοῖς ὑπὲρ φύσιν ἐπιζητεῖν –διὰ γὰρ τῶν ἐναντίων ταῦτα ποιήσας, βεβούλευται διὰ θανάτου ζωήν, δι᾽ ἀτιμίας δόξαν– ὡς οὖν ἀντικειμένην αὐτοῦ τὴν ὑπόνοιαν ταύτην λέγει· «ὕπαγε ὀπίσω μου» ἀντὶ τοῦ 'ἕπου μου τῇ βουλῇ καὶ μὴ προλάμβανε ζητῶν ἀκολουθίαν πραγμάτων'. Τὸ δὲ 'σατανᾶς' ὄνομά φασιν 'ἀντικείμενον' ἑρμηνεύεσθαι, ὅπερ ὁ Κύριος οὐχ ὑβριστικῶς προήγαγεν, ἀλλ᾽ ὡσανεὶ ἔλεγεν 'ἀντικείμενέ μου τῷ σκοπῷ'.

ΕΡΩΤΗΣΙΣ Α,13 (19)

ΕΡΩΤΗΣΙΣ Α,14 (40 Β,16)

ΕΡΩΤΗΣΙΣ Α,15 (50 Γ,11)

ΕΡΩΤΗΣΙΣ Α,16 (60 Α,50)

ΕΡΩΤΗΣΙΣ Α,17 (72 Γ,13)

ΕΡΩΤΗΣΙΣ Α,18 (74)

ΕΡΩΤΗΣΙΣ Α,19 (78 Γ,14)

---

23. Ματθ. 16,23. Μάρκ. 8,33.
24. Ἀπὸ ἐδῶ καὶ πέρα παρετίθενται οἱ ἐρωταποκρίσεις ποὺ ὑπάρχουν

Κυρίου μας ἔγιναν γιὰ μᾶς θετικὰ πράγματα, ὅπως γιὰ παράδειγμα, ὁ θάνατός του ἔγινε ζωὴ γιὰ μᾶς, καὶ ἡ ἀτίμωσή του δόξα μας. Ὁ ἀπόστολος Πέτρος λοιπόν, ἐπειδὴ ἀγνοοῦσε αὐτό, λέγοντας ὁ Κύριος ὅτι ἔμελλε νὰ ὑποστεῖ τὸ πάθος, νόμιζε, ἀκολουθώντας τὴ φύση τῶν πραγμάτων, ὅτι εἶναι ἀδύνατο νὰ πεθάνει ἡ Ζωὴ ἢ ἡ τόση μεγάλη δόξα νὰ μεταπέσει σὲ ἀτιμία. Θέλοντας λοιπὸν ὁ Κύριος νὰ ἀναιρέσει αὐτὴν τὴν ἰδέα καὶ νὰ δείξει ὅτι δὲν πρέπει ν' ἀναζητεῖ κανεὶς φυσικὴ ἀκολουθία στὰ ὑπερφυσικά, θέλησε νὰ τὸ ἐπιτύχει αὐτὸ μὲ τὰ ἀντίθετα· νὰ δώσει τὴ ζωὴ μέσω τοῦ θανάτου καὶ τὴ δόξα μέσω τῆς ἀτιμίας. Ἐπειδὴ λοιπὸν αὐτὴ ἡ ἰδέα ἦταν ἀντίθετη στὸν Πέτρο τοῦ λέει «πήγαινε πίσω μου»[23] ἀντὶ νὰ πεῖ 'δέξου τὴν ἀπόφασή μου καὶ μὴν προτρέχεις ἀναζητώντας τὴν ἀκολουθία τῶν φυσικῶν πραγμάτων'. Τὸ ὄνομα 'σατανᾶς' ἐξάλλου λένε πὼς ἑρμηνεύεται 'ἀντίθετος', πράγμα ποὺ ὁ Κύριος δὲν τὸ χρησιμοποίησε ὑβριστικά, ἀλλὰ εἶναι σὰ νὰ τοῦ εἶπε 'ἀντίθετε στὸ σκοπό μου'.

ΕΡΩΤΗΣΗ Α,13 (19)[24]

ΕΡΩΤΗΣΗ Α,14 (40 Β,16)

ΕΡΩΤΗΣΗ Α,15 (50 Β,11)

ΕΡΩΤΗΣΗ Α,16 (60Α,50)

ΕΡΩΤΗΣΗ Α,17 (72 Γ,13)

ΕΡΩΤΗΣΗ Α,18 (74)

ΕΡΩΤΗΣΗ Α,19 (78 Γ,14)

στὴν κυρία παραλλαγὴ ποὺ προηγεῖται αὐτῆς ἢ καὶ ἀκολουθοῦν στὶς δύο ἑπόμενες παραλλαγὲς καὶ δηλώνονται μὲ τὸν ἐντὸς παρενθέσεως ἀριθμό.

ΕΡΩΤΗΣΙΣ Α,20 (83 Γ,16)

ΕΡΩΤΗΣΙΣ Α,21 (85)

ΕΡΩΤΗΣΙΣ Α,22 (86 Β,4 Γ,17)

ΕΡΩΤΗΣΙΣ Α,23 (91 Γ,19)

ΕΡΩΤΗΣΙΣ Α,24 (179)

ΕΡΩΤΗΣΙΣ Α,25 (Β,17)

Πῶς ὀφείλομεν εὐσεβῶς νοῆσαι τὸ τοῦ Εὐαγγελίου, ὅτι «ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ», καὶ πῶς ἐν ἄλλῳ τόπῳ λέγει ὅτι «ἐγὼ κρίνω οὐδένα, ἀλλ' ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτόν»;

ΑΠΟΚΡΙΣΙΣ

Καθ' ὃ Θεός ἐστιν, οὐδὲ ὁ Πατὴρ οὐδὲ ὁ Υἱὸς «κρινεῖ οὐδένα»· οὐδὲ γὰρ ἄνθρωπος ἀλόγων γίνεται κριτής, ἀλλ' ἀνθρώπων. Ὁ δὲ Πατὴρ δέδωκε τῷ Υἱῷ τὴν κρίσιν, οὐ καθ' ὃ Θεός ἐστιν ὁ Υἱός, ἀλλὰ καθ' ὃ ἄνθρωπος γέγονε. Κρινεῖ δὲ πάντας συγκρίνων τὴν ἑαυτοῦ ὡς ἀνθρώπου πολιτείαν πρὸς ἡμᾶς. Πάλιν δὲ ὁ λόγος αὐτοῦ κρινεῖ, τουτέστιν ἡ διδασκαλία, ἥντινα διὰ τῶν ἔργων ἐνεδείξατο κατὰ τὸ γεγραμμένον «ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν».

---

25. Ἰω. 5,22.
26. Ἰω. 8,15· 7,48.
27. Ἰω. 12,48.
28. Δὲν ἔχουν παλαιότεροι πατέρες τὴν ἴδια γνώμη.

ΕΡΩΤΗΣΗ Α,20 (83 Γ,16)

ΕΡΩΤΗΣΗ Α,21 (85)

ΕΡΩΤΗΣΗ Α,22 (86 Β,4 Γ,17)

ΕΡΩΤΗΣΗ Α,23 (91 Γ,19)

ΕΡΩΤΗΣΗ Α,24 (Β,179)

ΕΡΩΤΗΣΗ Α,25 (Β,17)

Πῶς ὀφείλομε νὰ ἐννοήσομε ὀρθὰ καὶ μ' εὐσέβεια τὸ λόγο τοῦ Εὐαγγελίου ὅτι «ὁ Πατέρας δὲν κρίνει κανένα, ἀλλὰ ἔδωσε ὅλη τὴν κρίση στὸν Υἱό του»[25] καὶ πῶς σὲ ἄλλο σημεῖο λέει ὅτι «ἐγὼ δὲν κρίνω κανένα»[26], ἀλλὰ «ὁ λόγος ποὺ κήρυξα, αὐτὸς θὰ τὸν κρίνει»[27];

ΑΠΟΚΡΙΣΗ

Ὡς Θεὸς ποὺ εἶναι[28], οὔτε ὁ Πατέρας οὔτε ὁ Υἱὸς κρίνει κανένα· γιατὶ οὔτε ὁ ἄνθρωπος δὲ γίνεται κριτὴς ἄλογων ζώων ἀλλὰ ἀνθρώπων[29]. Ὁ Πατέρας ὅμως ἔδωσε τὴν ἐξουσία τῆς κρίσης στὸν Υἱό[30] ὄχι ἐπειδὴ ὁ Υἱὸς εἶναι Θεός, ἀλλὰ ἐπειδὴ ἔγινε ἄνθρωπος. Καὶ θὰ κρίνει τοὺς πάντες συγκρίνοντας τὸ δικό του τρόπο ζωῆς ὡς ἀνθρώπου μὲ τὸ δικό μας. Καὶ πάλι θὰ κρίνει ὁ λόγος του[31], δηλαδὴ ἡ διδασκαλία του, ποὺ μᾶς ἔδειξε μὲ τὰ ἔργα του σύμφωνα μὲ ἐκεῖνο ποὺ ἔχει γραφεῖ «αὐτὰ ποὺ Ἰησοῦς ἄρχισε νὰ κάνει καὶ νὰ διδάσκει»[32].

---

29. Ἰω. 5,22. 8,15.
30. Ἰω. 5,22.
31. Ἰω. 12,48,31.
32. Πράξ.. 1,1.

ΕΡΩΤΗΣΙΣ Α,26 (189)

ΕΡΩΤΗΣΙΣ Α,27

Τί δηλοῖ τὸ τῶν Παροιμιῶν αἴνιγμα τὸ «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, ἐὰν διψᾷ πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐχθρὸν ἔχομεν κατὰ τῆς ψυχῆς τὸ ἡμέτερον σῶμα, ἀεὶ διὰ τῆς ἐπαναστάσεως τῶν παθῶν πολεμοῦν ἡμᾶς. Ἐὰν οὖν ἐκ τῆς συνειδήσεως πιεζόμενον τὸ τῆς σαρκὸς φρόνημα πεινᾷ, τουτέστιν ὀρέγεται σωτηρίας ἢ διψᾷ θείαν γνῶσιν, δέον τρέφειν αὐτὸ δι' ἐγκρατείας καὶ πόνων καὶ ποτίζειν τῇ μελέτῃ τῶν θείων λογίων. Οὕτω γὰρ «σωρεύεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ», τουτέστιν ἐπὶ τὸν νοῦν, «ἄνθρακες πυρός», θεῖοι καὶ πνευματικοὶ λογισμοί.

ΕΡΩΤΗΣΙΣ Α,28 (Β,5)

Τί σημαίνει τὸ ἐν τῷ ἑκατοστῷ πρώτῳ ψαλμῷ εἰρημένον «ὡμοιώθην πελεκᾶνι ἐρημικῷ»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ πελεκὰν οὗτος ὀρνεόν ἐστιν, ὁ δὲ ὄφις πολὺ ἐχθραίνει τῶν νεοττῶν αὐτοῦ. Αὐτὸς δὲ τί μηχανᾶται; Εἰς ὕψος πήγνυσι τὴν καλιὰν αὐτοῦ, πανταχόθεν περιφράσσων αὐτὴν

---

33. Παρμ. 25,21. Ρωμ. 12,20.
34. Ἡ ἐξήγηση αὐτὴ ἀπομακρύνεται ἀπὸ τὴν ἄποψη τοῦ Παύλου.
35. Ρωμ. 8,6. 36. Παρμ. 25,22.

ΕΡΩΤΗΣΗ Α,26 (189)

ΕΡΩΤΗΣΗ Α,27

Τί ἐννοεῖ τὸ αἴνιγμα τῶν Παροιμιῶν, «ἂν πεινᾶ ὁ ἐχθρός σου δός του ψωμί, ἂν διψα δός του νερό. Γιατί, κάνοντάς το αὐτὸ θὰ συσσωρεύσεις ἀναμμένα κάρβουνα στὸ κεφάλι του»[33];

ΑΠΟΚΡΙΣΗ

Ἐχθρὸ τῆς ψυχῆς μας ἔχομε τὸ σῶμα μας[34], ποὺ μᾶς πολεμᾶ πάντοτε μὲ τὴν ἐπανάσταση τῶν παθῶν. Ἂν λοιπὸν καταπιεζόμενο τὸ φρόνημα τῆς σάρκας ἀπὸ τὴ συνείδηση πεινᾶ[35], δηλαδὴ ἂν ἐπιθυμεῖ μὲ πόθο τὴ σωτηρία ἢ διψᾶ τὴ θεία γνώση, πρέπει νὰ τοῦ δίνομε τὴν τροφὴ τῆς ἐγκράτειας καὶ τῶν πόνων καὶ νὰ τὸ ποτίζομε μὲ τὸ νερὸ τῆς μελέτης τῶν θείων λόγων. Ἔτσι συσσωρεύονται στὸ κεφάλι του, δηλαδὴ στὸ νοῦ του, ἀναμμένα κάρβουνα, οἱ θεῖοι δηλαδὴ καὶ πνευματικοὶ λογισμοί[36].

ΕΡΩΤΗΣΗ Α,28 (Β,5)

Τί σημαίνει αὐτὸ ποὺ λέγεται στὸν ἑκατοστὸ πρῶτο ψαλμό, «ἔχω γίνει ὅμοιος μὲ ἐρημικὸ πελεκάνο»[37]

ΑΠΟΚΡΙΣΗ

Ὁ πελεκάνος εἶναι ἕνα ἀγριοπούλι[38], καὶ τὸ φίδι εἶναι ὁ μεγάλος ἐχθρὸς τῶν νεοσσῶν του. Τί μηχανεύεται λοιπὸν αὐτός; Χτίζει πολὺ ψηλὰ τὴ φωλιά του καὶ τὴ φράζει ὀλόγυ-

37. Ψαλμ. 101,7.
38. Ἡ δρυοκολάπτης ὁ μείζων εἶναι ἕνα μοναχικὸ πουλί. Ὅ,τι λέγεται ἐδῶ εἶναι λαϊκὸς μύθος.

διὰ τὸν ὄφιν. Τί οὖν ποιεῖ ὁ κακομήχανος ὄφις; Περισκοπεῖ ὅθεν πνέει ὁ ἄνεμος, κἀκεῖθεν ἐμφυσᾷ τοῖς νεοττοῖς τὸν ἰὸν αὐτοῦ καὶ τελευτῶσιν. Ἔρχεται οὖν ὁ πελεκὰν καὶ θεωρεῖ ὅτι ἀπέθανον αὐτοῦ τὰ παιδία καὶ σκοπεῖ νεφέλην καὶ πέταται εἰς ὕψος καὶ μετὰ τῶν πτερύγων τύπτει αὐτοῦ τὰς πλευρὰς καὶ ἐξέρχεται αἷμα καὶ διὰ τῆς νεφέλης ἐπιστάζει τούτοις καὶ ἐγείρονται. Λαμβάνεται οὖν ὁ πελεκὰν εἰς τὸν Κύριον, τὰ δὲ παιδία αὐτοῦ, ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ἡ ἡμετέρα φύσις, ἡ δὲ καλιὰ αὐτοῦ ὁ παράδεισος, ὁ δὲ ὄφις ὁ ἀποστάτης διάβολος. Ἐνεφύσησεν οὖν ὁ ἀρχέκακος ὄφις διὰ τῆς παρακοῆς τοῖς πρωτοπλάστοις καὶ γεγόνασι νεκροὶ τῇ ἁμαρτίᾳ. Ὁ γοῦν Κύριος ἡμῶν καὶ Θεὸς διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ὑψοῦται ἐπὶ τοῦ τιμίου σταυροῦ καί, νυγεὶς τὴν πλευρὰν διὰ τῆς νεφέλης τοῦ ἁγίου Πνεύματος, ζωὴν ἡμῖν ἐδωρήσατο τὴν αἰώνιον.

ΕΡΩΤΗΣΙΣ Α,29

Τί ἐστιν, «ἐκεῖ στρουθία ἐννοσσιεύσουσιν»;

ΑΠΟΚΡΙΣΙΣ

Στρουθία ἢ τὰς ψυχὰς ἢ τὰς διαφόρους ἀρετὰς λέγει.

ΕΡΩΤΗΣΙΣ Α,30

Τί σημαίνει, «τοῦ ἐρῳδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν;

---

39. Ρωμ. 6,11.
40. Ἰω. 19,34. Ματθ. 27,49.

ρα ἐξαιτίας τοῦ φιδιοῦ. Καὶ τί ἐχθρικὴ ἐνέργεια ἐπινοεῖ τότε τὸ φίδι, ὁ ἐφευρέτης τοῦ κακοῦ; Κοιτάζει γύρω γύρω ἀπὸ ποῦ φυσάει ὁ ἄνεμος κι ἀπὸ ἐκεῖ φυσᾶ πρὸς τοὺς νεοσσοὺς τὸ δηλητήριό του καὶ τοὺς φονεύει. Ἔρχεται λοιπὸν ὁ πελεκάνος καὶ βλέπει τὰ παιδιά του νεκρά. Κοιτάει πρὸς τὸ σύννεφο καὶ πετάει ψηλὰ καὶ χτυπώντας μὲ τὰ φτερά του τὰ πλευρά του τὰ ξεσχίζει καὶ βγαίνει αἷμα· στάζει τότε αὐτὸ ἀπὸ τὸ νέφος καὶ ζωντανεύουν. Μὲ τὸν πελεκάνο λοιπὸν συμβολίζεται ὁ Κύριος. Τὰ παιδιά του εἶναι ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ἡ ἀνθρώπινη φύση, ἡ φωλιά του εἶναι ὁ παράδεισος, καὶ τὸ φίδι ὁ ἀποστάτης διάβολος. Φύσηξε λοιπὸν τὸ ἀρχέκακο φίδι μὲ τὴν παρακοὴ στοὺς πρωτόπλαστους καὶ νεκρώθηκαν ἀπὸ τὴν ἁμαρτία[39]. Ὁ Κύριός μας λοιπὸν καὶ Θεὸς ἀπὸ τὴν ἀγάπη του γιὰ μᾶς ὑψώνεται πάνω στὸν τίμιο σταυρὸ καὶ μὲ τὴ λογχισμένη πλευρά του[40] ἀπὸ τὴ νεφέλη τοῦ ἁγίου Πνεύματος μᾶς χάρισε τὴν αἰώνια ζωή.

ΕΡΩΤΗΣΗ Α,29

Τί σημαίνει «ἐκεῖ θὰ κάνουν τὴ φωλιά τους τὰ στρουθία»[41];

ΑΠΟΚΡΙΣΗ

Στρουθία λέει ἢ τὶς ψυχὲς ἢ τὶς διάφορες ἀρετές.

ΕΡΩΤΗΣΗ Α,30

Τί σημαίνει τὸ ὅτι «ἡ φωλιὰ τοῦ ἐρωδιοῦ εἶναι ψηλότερά τους»[42];

---

41. Ψαλμ. 103,17.
42. Ψαλμ. 103,18.

ΑΠΟΚΡΙΣΙΣ

Ἐρῳδιόν φασιν ὄρνεον εἶναι, τοσαύτῃ δὲ σωφροσύνῃ συζῆν, ὥστε, ἡνίκα πρὸς συνουσίαν συνέρχεσθαι μέλλει, τεσσαράκοντα ἡμέρας πενθεῖν, καὶ πάλιν μετὰ ταῦτα ἄλλας τεσσαράκοντα. Τὴν δὲ καλιὰν πήγνυσιν ἐν τοῖς δένδροις, ἔνθα μὴ ἐπισκιάζεται ὑπό τινος, ἀλλὰ καθαρὸν τὸν ἀέρα ἔχει. Σημαίνει δὲ διὰ τούτων τὴν σωφροσύνην· αὕτη γὰρ ἡγεῖται πασῶν τῶν ἀρετῶν· ἀποδιάκειται δὲ καὶ τῶν αἰσθητῶν, ἀπὸ μηδενὸς σκιαζομένη τῶν προσκαίρων· ὁ τεσσαρακοστὸς γὰρ ἀριθμὸς τὴν ἑκάστου τῶν τεσσάρων στοιχείων ἐμπεριέχει τελείωσιν.

ΕΡΩΤΗΣΙΣ Α,31

Τί ἐστι τὸ «ἀποδιδοὺς ἁμαρτίας γονέων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με»;

ΑΠΟΚΡΙΣΙΣ

Πρώτην γενεὰν ὑπειλήφαμεν εἶναι τὴν σπορὰν τοῦ κακοῦ, τουτέστι τὴν προσβολήν, δευτέραν δὲ τὴν ἐπιθυμίαν, τρίτην δὲ τὴν ἕξιν τοῦ κακοῦ, τουτέστι τὴν συγκατάθεσιν, τετάρτην δὲ τὴν ἐνέργειαν, τουτέστι τὴν πρᾶξιν. Ἀποδίδοται οὖν «ἕως τρίτης καὶ τετάρτης γενεᾶς», τουτέστιν ὑπὲρ τῆς συγκαταθέσεως καὶ τῆς πράξεως· ἡ γὰρ προσβολὴ καὶ ἡ ἐπιθυμία ἀνεύθυνός ἐστιν, ὡς μὴ εἰς πέρας τοῦ κακοῦ προελθόντος.

ΕΡΩΤΗΣΙΣ Α,32 (120)

ΕΡΩΤΗΣΙΣ Α,33

Τί σημαίνει τὸ «ἐπὶ ταῖς τρισὶν ἢ τέσσαρσιν ἀσεβείαις Τύρου οὐκ ἀποστραφήσομαι»;

---

43. Δευτ. 5,9.
44. Ἀμὼς 1,9.

ΑΠΟΚΡΙΣΗ

Ὁ ἐρωδιός, ὅπως λένε, εἶναι ἀγριοπούλι καὶ ζεῖ μὲ τόση σωφροσύνη, ὥστε ὅταν εἶναι νὰ ζευγαρώσει πενθεῖ πρωτύτερα ἐπὶ σαράντα ἡμέρες καὶ μετὰ τὸ ζευγάρωμα πάλι ἄλλες σαράντα. Φτιάχνει τὴ φωλιά του πάνω στὰ δέντρα, ὅπου τίποτα δὲν τὴ σκιάζει κι ἔχει καθαρὸ ἀέρα. Μὲ αὐτὰ δηλώνεται ἡ σωφροσύνη· γιατὶ αὐτὴ εἶναι ψηλότερη ἀπὸ ὅλες τὶς ἀρετές, καὶ εἶναι ἐχθρικὴ πρὸς τὰ αἰσθητὰ καὶ δὲν τὴ σκιάζει κανένα ἀπὸ τὰ πρόσκαιρα. Γιατὶ ὁ ἀριθμὸς σαράντα περιέχει τὴν ὁλοκλήρωση καθενὸς ἀπὸ τὰ τέσσερα στοιχεῖα.

ΕΡΩΤΗΣΗ Α,31

Τί σημαίνει τὸ «τιμωρῶ γιὰ τὶς ἁμαρτίες τῶν γονιῶν τὰ παιδιά τους ὣς τὴν τρίτη καὶ τέταρτη γενιὰ γι' ἐκείνους ποὺ μὲ μισοῦν»[43];

ΑΠΟΚΡΙΣΗ

Πρώτη γενιὰ ὑποθέτομε πὼς εἶναι ἡ σπορὰ τοῦ κακοῦ, δηλαδὴ ἡ προσβολή. Δεύτερη γενιὰ εἶναι ἡ ἐπιθυμία, τρίτη ἡ ἕξη τοῦ κακοῦ, δηλαδὴ ἡ συγκατάθεση, καὶ τέταρτη ἡ ἐνέργεια, δηλαδὴ ἡ πράξη. Πληρώνεται λοιπὸν ἡ ἁμαρτία στὴν τρίτη καὶ τέταρτη γενιά, δηλαδὴ μὲ τὴ συγκατάθεση καὶ τὴν πράξη. Γιατὶ ἡ προσβολὴ καὶ ἡ ἐπιθυμία δὲν δημιουργοῦν εὐθύνη, ἐπειδὴ μ' αὐτὲς δὲν ὁλοκληρώνεται τὸ κακό.

ΕΡΩΤΗΣΗ Α,32 (120)

ΕΡΩΤΗΣΗ Α,33

Τί σημαίνει ὁ λόγος, «γιὰ τὶς τρεῖς καὶ τέσσερις ἀσέβειες τῆς Τύρου δὲ θὰ τὴν ἀποστραφῶ»[44];

ΑΠΟΚΡΙΣΙΣ

Ἀσεβείας οἶμαι τέσσαρας τὸν προφητικὸν αἰνίττεσθαι λόγον, ταύτας, τὴν προσβολήν, τὴν ἐπιθυμίαν, τὴν ἕξιν τοῦ κακοῦ καὶ τὴν ἐνέργειαν. Ἐπὶ μὲν οὖν τῆς πρώτης καὶ τῆς δευτέρας, τουτέστι τῆς προσβολῆς καὶ τῆς ἐπιθυμίας, ἀνοχὴν ποιεῖται ὁ Θεός, ὡς μὴ τοῦ κακοῦ προβάντος εἰς τελείωσιν, «Ἐπὶ δὲ τῆς τρίτης καὶ τῆς τετάρτης ἀσεβείας», τουτέστιν ἕξεως καὶ ἐνεργείας, ἤγουν συγκαταθέσεως καὶ εἴρξεως, τὴν ἀπειλὴν ὁ λόγος εἰκότως ἐνδείκνυται.

ΕΡΩΤΗΣΙΣ Α,34

Ὅτι οὐ δύναται λέγεσθαι ὁ Χριστὸς Πνεύματος καθάπερ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ὅτι λέγεται ἀδιαφόρως Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Χριστοῦ.

ΑΠΟΚΡΙΣΙΣ

Ὥσπερ ἐστὶν αἴτιος τοῦ λόγου ὁ νοῦς, οὕτω καὶ τοῦ Πνεύματος, διὰ μέσου δὲ τοῦ λόγου· καὶ ὥσπερ οὐ δυνάμεθα εἰπεῖν τὸν λόγον εἶναι τῆς φωνῆς, οὕτως οὐδὲ τὸν Υἱὸν λέγειν τοῦ Πνεύματος.

ΕΡΩΤΗΣΙΣ Α,35

Τί δηλοῖ τὸ ὑπὸ τοῦ Κυρίου λεγόμενον τὸ «ἐὰν ὁ ὀφθαλμὸς ἢ ἡ χεὶρ ἢ ὁ ποῦς σκανδαλίζῃ σε, ἔκκοψον αὐτοὺς καὶ βάλε ἀπὸ σοῦ»;

---

45. Φαινομενικὸ πλησίασμα μὲ τὴν ἄποψη τῶν καθολικῶν. Στὴν οὐσία εἶναι μέσα στὸ νόημα 'ἐκ τοῦ Πατρὸς ἐκπορεύεται ὃν ἐγὼ πέμψω ὑμῖν'.

ΑΠΟΚΡΙΣΗ

Οἱ τέσσερις ἀσέβειες ποὺ ὑπαινίσσεται ὁ προφητικὸς λόγος νομίζω εἶναι ἡ προσβολή, ἡ ἐπιθυμία, ἡ ἕξη τοῦ κακοῦ καὶ ἡ ἐνέργειά του (διάπραξή του). Γιὰ τὴν πρώτη καὶ τὴ δεύτερη, δηλαδὴ γιὰ τὴν προσβολὴ καὶ τὴν ἐπιθυμία, ὁ Θεὸς δείχνει ἀνοχή, ἐπειδὴ τὸ κακὸ δὲν ἔχει προχωρήσει στὴν ὁλοκλήρωσή του. Γιὰ τὴν τρίτη ὅμως καὶ τέταρτη ἐκδήλωση ἀσέβειας, τῆς ἕξης δηλαδὴ καὶ ἐνέργειας, ἤτοι τῆς συγκατάθεσης καὶ διάπραξής του, εὔλογα ὁ λόγος ἐπισημαίνει τὴν ἀπειλή.

ΕΡΩΤΗΣΗ Α,34

Ὅτι δὲν μπορεῖ νὰ λέγεται ὁ Χριστὸς τοῦ Πνεύματος, ὅπως στὴν περίπτωση τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ, ποὺ λέγεται ἀδιάφορα Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Χριστοῦ.

ΑΠΟΚΡΙΣΗ

Ὅπως ἀκριβῶς ὁ Νοῦς εἶναι αἴτιος τοῦ Λόγου, ἔτσι εἶναι καὶ τοῦ Πνεύματος διὰ μέσου τοῦ Λόγου[45]. Καὶ ὅπως δὲν μποροῦμε νὰ ποῦμε ὅτι ὁ λόγος εἶναι τῆς φωνῆς, ἔτσι δὲν μποροῦμε νὰ ποῦμε καὶ ὅτι ὁ Υἱὸς εἶναι τοῦ Πνεύματος.

ΕΡΩΤΗΣΗ Α,35

Τί δηλώνει ὁ λόγος τοῦ Κυρίου «ἂν σὲ σκανδαλίσει τὸ μάτι ἢ τὸ χέρι ἢ τὸ πόδι σου, νὰ τὰ κόψεις καὶ νὰ τὰ πετάξεις ἀπὸ πάνω σου»[46];

---

46. Ματθ. 5,29. Μάρκ. 9,43 καὶ 45.

ΑΠΟΚΡΙΣΙΣ

Ἔστι μὲν καὶ περὶ φίλων ὡς ὀφθαλμῶν, καὶ οἰκείων ὥσπερ χειρῶν ἡμῶν ὄντων ἀναγκαίων, καὶ ἑταίρων ποδῶν δίκην διακονούντων ἡμῖν ὑπονοεῖν τὴν παραβολὴν κατὰ τὸ πρόχειρον αἰνίττεσθαι· οὕσπερ, ἐὰν σκανδαλίζωσι καὶ τὴν ψυχὴν καταβλάπτωσιν, ἐκκόπτειν ὁ λόγος παρεκελεύσατο. Ἔστι δὲ καὶ ἄλλως ἐκλαβεῖν τὸ παράγγελμα κατὰ τὸν τῆς ἀναγωγῆς τρόπον· ἐὰν ἔχῃς θεωρητικὴν γνῶσιν ὥσπερ ὀφθαλμόν, πρὸς τῦφον δὲ αὐτὴ ἐπαίρει σε καὶ ὑπερηφανίαν, ἔκκοψον αὐτήν· ἐὰν δὲ καὶ πρᾶξιν ἀστείαν καὶ αἰτία σοι γίνεται ἐπάρσεως, ἔκκοψον αὐτήν· ὡσαύτως δὲ καὶ ἐὰν ἱκανότητα ἔχῃς διακονίας, ὅπερ ἐστὶν ὁ πούς, καὶ ὡς ἐκ τούτου φυσᾶσαι, ἀπόσθητι ἀπ' αὐτῆς. Συμφέρει γάρ σοι παρὰ ταύτας τὰς δοκούσας εἶναι ἀρετὰς γενέσθαι, καὶ μὴ διὰ τῆς ἐπάρσεως καὶ ὑπερηφανίας εἰς παντελῆ χωρῆσαι ἀπώλειαν.

ΕΡΩΤΗΣΙΣ Α,36

Τί δηλοῖ τὸ «ἐπήρθη ὁ ἥλιος καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς»;

ΑΠΟΚΡΙΣΙΣ

Ὅτ' ἂν ἐν ἡμῖν ὑψωθῇ «ὁ ἥλιος τῆς δικαιοσύνης» διὰ τῶν ἀγαθῶν ἔργων καὶ τῆς ἀληθοῦς γνώσεως, τότε ἡ σελήνη ἵσταται ἐν τῇ τάξει αὐτῆς, τουτέστιν ἡ ἡμετέρα φύσις, ἡ ὑπὸ τροπὴν οὖσα καὶ ἀλλοίωσιν, τάξιν λαμβάνει βάσιμον.

---

47. Ἀββακ. 3,11.

ΑΠΟΚΡΙΣΗ

Μὲ μία πρόχειρη ἐξέταση μποροῦμε νὰ ὑποθέσομε ὅτι ἡ παραβολὴ ὑπαινίσσεται τοὺς φίλους ὡς τὰ μάτια μας, τοὺς οἰκείους ποὺ τοὺς ἔχομε ἀνάγκη ὡς τὰ χέρια μας, καὶ τοὺς γνωστοὺς ποὺ μᾶς ὑπηρετοῦν ὡς τὰ πόδια μας. Αὐτοὺς μας πρόσταξε ὁ λόγος νὰ τοὺς κόψομε, ἂν σκανδαλίζουν καὶ βλάπτουν τὴν ψυχή μας. Μποροῦμε ὅμως αὐτὸ τὸ παράγγελμα νὰ τὸ ἐξηγήσομε καὶ μεταφορικά· ἂν ἔχεις θεωρητικὲς γνώσεις ὅπως τὰ μάτια καὶ σὲ κάνει νὰ φουσκώνεις ἀπὸ ἔπαρση καὶ ὑπερηφάνεια, νὰ τὴν κόψεις· ἂν κάνεις πράξη ὡραία καὶ σοῦ γίνεται αἰτία γιὰ ἔπαρση, νὰ τὴν κόψεις κι αὐτή. Ἐπίσης ἂν ἔχεις καὶ ἱκανότητα διακονίας, πρᾶγμα ποὺ εἶναι τὸ πόδι, καὶ γι' αὐτὸ κυριεύεσαι ἀπὸ ἔπαρση, ν' ἀπομακρυνθεῖς ἀπὸ αὐτήν. Γιατὶ σοῦ συμφέρει νὰ στερηθεῖς αὐτὲς τὶς φαινομενικὲς ἀρετὲς καὶ νὰ μὴ φθάσεις μὲ τὴν ἔπαρση καὶ τὴν ὑπερηφάνεια στὴν τέλεια ἀπώλεια.

ΕΡΩΤΗΣΗ Α,36

Τί σημαίνει «ὑψώθηκε ὁ ἥλιος καὶ ἡ σελήνη σταμάτησε στὴν τροχιά της»[47];

ΑΠΟΚΡΙΣΗ

Ὅταν ὑψωθεῖ μέσα μας ὁ ἥλιος τῆς δικαιοσύνης[48] μὲ τὰ ἐνάρετα ἔργα μας καὶ τὴν ἀληθινὴ μας γνώση, τότε ἡ σελήνη σταματᾶ στὴν τροχιά της[49], ἡ φύση μας δηλαδὴ ποὺ βρίσκεται σὲ τροπὴ κι ἀλλοίωση παίρνει μιὰ σταθερὴ θέση.

48. Μαλαχ. 4,2.
49. Ἀββακ. 3,11.

ΕΡΩΤΗΣΙΣ Α,37 (Β,13)

Τί ἐστι τὸ ἐν τῇ καθολικῇ Πέτρου γεγραμμένον, «ἵνα κριθῶσιν μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ περὶ τῶν ἐν τῷ κατακλυσμῷ εἴρηται ταῦτα, οὗτοι δὲ εἶχον παντελῆ ἀγνωσίαν Θεοῦ καὶ πονηροῖς ἐπιτηδεύμασι συνέζων, ὅσα μὲν οὖν εἰς ἑαυτοὺς ἡμάρτανον διὰ τῶν καθ' ἑκάστην συμβαινόντων αὐτοῖς πειρασμῶν, πολέμων τε καὶ ἐπαγωγῶν καὶ ποικίλων συμβάσεων, ἀφῆκεν αὐτοῖς, τὰ δὲ περὶ τῆς εἰς αὐτὸν ἀγνοίας καὶ ἀσεβείας ἁμαρτήματα οὐκ ἀφῆκεν αὐτοῖς, ἵνα διὰ τῆς εἰς αὐτὸν πίστεως, ἡνίκα διὰ φιλανθρωπίαν ἐν τῇ τοῦ ᾅδου γένηται χώρᾳ, ὅσοι πιστεύσουσιν, ἀφεθῇ αὐτοῖς ἡ τῆς ἀσεβείας ἁμαρτία καὶ «ζήσωσιν κατὰ Θεὸν Πνεύματι», κριθέντες δηλονότι σαρκὶ καθὼς εἴρηται ὑπὲρ τῶν εἰς ἀνθρώπους πλημμελειῶν.

ΕΡΩΤΗΣΙΣ Α,38 (3)

ΕΡΩΤΗΣΙΣ Α,39 (6)

ΕΡΩΤΗΣΙΣ Α,40 (7)

ΕΡΩΤΗΣΙΣ Α,41 (13)

ΕΡΩΤΗΣΙΣ Α,42 (14 Γ,5)

ΕΡΩΤΗΣΙΣ Α,43 (15)

ΕΡΩΤΗΣΗ Α,37 (Β,13)

Τί σημαίνει αὐτὸ ποὺ γράφει ἡ καθολικὴ ἐπιστολὴ τοῦ Πέτρου «γιὰ νὰ κριθοῦν σὰν ἄνθρωποι σαρκικοί, νὰ ζήσουν ὅμως πνευματικὰ κατὰ τὸ νόμο τοῦ Θεοῦ»[50];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ αὐτὰ ἔχουν λεχθεῖ γιὰ τοὺς ἀνθρώπους τοῦ κατακλυσμοῦ, κι αὐτοὶ εἶχαν τέλεια ἄγνοια τοῦ Θεοῦ, βουτηγμένοι σὲ πονηρὲς ἀσχολίες, συγχώρεσε τὶς ἁμαρτίες τοῦ ἑνὸς πρὸς τοὺς ἄλλους στὶς ὁποῖες ἔπεφταν μὲ τοὺς πειρασμοὺς ποὺ ἀντιμετωπίζουν καθημερινά, δὲν τοὺς συγχώρεσε ὅμως τὰ ἁμαρτήματα τῆς ἄγνοιας καὶ τῆς ἀσέβειας πρὸς τὸν ἑαυτό του, ὥστε μὲ τὴν πίστη τους πρὸς αὐτόν, ὅταν ἀπὸ φιλανθρωπία θὰ κατέβαινε στὴ χώρα τοῦ ἅδη, σ' ὅσους πίστευαν νὰ συγχωρέσει τὴν ἁμαρτία τῆς ἀσέβειάς τους καὶ νὰ ζήσουν πνευματικὰ σύμφωνα μὲ τὸ νόμο τοῦ Θεοῦ, ἀφοῦ κρίθηκαν δηλαδή, ὅπως εἴπαμε, ὅσο ζοῦσαν γιὰ τὰ ἁμαρτήματά τους πρὸς τοὺς ἀνθρώπους.

ΕΡΩΤΗΣΗ Α,38 (3)

ΕΡΩΤΗΣΗ Α,39 (6)

ΕΡΩΤΗΣΗ Α,40 (7)

ΕΡΩΤΗΣΗ Α,41 (13)

ΕΡΩΤΗΣΗ Α,42 (14 Γ,5)

ΕΡΩΤΗΣΗ Α,43 (15)

---

50. Α' Πέτρ. 4,6.

ΕΡΩΤΗΣΙΣ Α,44 (16)

ΕΡΩΤΗΣΙΣ Α,45

Τί ἐστιν τὸ ἐν ψαλμοῖς εἰρημένον «σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός»;

ΑΠΟΚΡΙΣΙΣ

Ἓξ εἰσιν σχολαί, ἅστινας κατορθοῦντες Θεὸν ἐπιγνῶναι δυνάμεθα· πρώτη ἡ τῆς ἁμαρτίας ἐνεργείας, δευτέρα ἡ τῆς ἐξαπτικῆς διαίτης, τρίτη ἡ τοῦ τόπου τῆς ἐπιμιξίας τῶν ἀφυλάκτως βιούντων, τετάρτη ἡ τοῦ ἀπροσφόρου ἐπιτηδεύματος τοῦ κατὰ Θεὸν βίου, πέμπτη ἡ τῆς ὑπάρξεως τῆς διαβεβλημένης καὶ εἰς πολλὰ περισπώσης τὸν νοῦν, ἕκτη τὸ μὴ ἔχειν καθόλου ἴδιον θέλημα. Καὶ τοῦτό ἐστι καὶ ἀποταγὴ καὶ ὑποταγὴ ἡ ἀληθινὴ καὶ κατὰ Θεόν.

ΕΡΩΤΗΣΙΣ Α,46 (33)

ΕΡΩΤΗΣΙΣ Α,47 (36 Γ,8)

ΕΡΩΤΗΣΙΣ Α,48 (51)

ΕΡΩΤΗΣΙΣ Α,49 (59 Γ,12)

ΕΡΩΤΗΣΙΣ Α,50 (60 Α,16)

ΕΡΩΤΗΣΙΣ Α,51 (70)

ΕΡΩΤΗΣΙΣ Α,52 (75)

ΕΡΩΤΗΣΙΣ Α,53 (77)

ΕΡΩΤΗΣΗ Α,44 (16)

ΕΡΩΤΗΣΗ Α,45

Τί σημαίνει αὐτὸ ποὺ λέγεται στοὺς Ψαλμούς, «σχολάστε ἀπὸ κάθε περισπασμὸ καὶ μάθετε ὅτι ἐγὼ εἶμαι ὁ Θεός»[51];

ΑΠΟΚΡΙΣΗ

Ἕξι εἶναι οἱ 'σχόλες', πού, ἂν τὶς κατορθώσομε, μποροῦμε νὰ γνωρίσομε τὸ Θεό. Πρώτη εἶναι ἡ σχόλη ἀπὸ τὴν ἐνέργεια τῆς ἁμαρτίας, δεύτερη ἡ σχόλη ἀπὸ τὴ διεγερτικὴ διατροφή, τρίτη ἡ σχόλη ἀπὸ τὰ μέρη ὅπου συμφύρονται οἱ ἄνθρωποι χωρὶς χαλινό, τέταρτη ἡ σχόλη ἀπὸ ἐργασία ποὺ δὲν εἶναι σύμφωνη μὲ τὸν κατὰ Θεὸν βίο, πέμπτη ἡ σχόλη ἀπὸ τὴ διαβλητὴ ζωὴ ποὺ περισπᾶ τὸ νοῦ σὲ πολλά, καὶ ἕκτη τὸ νὰ μὴν ἔχεις καθόλου θέλημα δικό σου. Κι αὐτὸ εἶναι ἡ ἀληθινὴ ἀποταγὴ καὶ ὑποταγὴ ποὺ ἐπιθυμεῖ ὁ Θεός.

ΕΡΩΤΗΣΗ Α,46 (33)

ΕΡΩΤΗΣΗ Α,47 (36 Γ,8)

ΕΡΩΤΗΣΗ Α,48 (51)

ΕΡΩΤΗΣΗ Α,49 (59 Γ,12)

ΕΡΩΤΗΣΗ Α,50 (60 Α,16)

ΕΡΩΤΗΣΗ Α,51 (70)

ΕΡΩΤΗΣΗ Α,52 (75)

ΕΡΩΤΗΣΗ Α,53 (77)

---

51. Ψαλμ. 45,11.

ΕΡΩΤΗΣΙΣ Α,54 (84)

ΕΡΩΤΗΣΙΣ Α,55 (90)

ΕΡΩΤΗΣΙΣ Α,56 (102)

ΕΡΩΤΗΣΙΣ Α,57 (106)

ΕΡΩΤΗΣΙΣ Α,58 (110)

ΕΡΩΤΗΣΙΣ Α,59 (123 Γ,25)

ΕΡΩΤΗΣΙΣ Α,60 (126 Γ,26)

ΕΡΩΤΗΣΙΣ Α,61 (127)

ΕΡΩΤΗΣΙΣ Α,62 (142 Β,21)

ΕΡΩΤΗΣΙΣ Α,63 (149 Β,25)

ΕΡΩΤΗΣΙΣ Α,64 (151)

ΕΡΩΤΗΣΙΣ Α,65 (162)

ΕΡΩΤΗΣΙΣ Α,66 (164)

ΕΡΩΤΗΣΙΣ Α,67

Πῶς ὀφείλομεν νοεῖν τὴν περὶ συντελείας τοῦ Υἱοῦ ἄγνοιαν;

ΑΠΟΚΡΙΣΙΣ

Διπλῆ τίς ἐστιν ἄγνοια· ἡ μὲν διαβαλλομένη, ἡ δὲ ἀδιάβλητος, καὶ ἡ μὲν ἐφ' ἡμῖν ἐστιν, ἡ δὲ οὐκ ἐφ' ἡμῖν. Καὶ ἡ μὲν διαβαλλομένη καὶ ἐφ' ἡμῖν, ἡ περὶ τὴν ἀρετὴν καὶ εὐσέβειαν ἄγνοια· ἡ δὲ ἀδιάβλητος καὶ οὐκ ἐφ' ἡμῖν ἐστιν ὅσα

52. Ματθ. 24,36. Μάρκ. 13,32.

ΕΡΩΤΗΣΗ Α,54 (84)

ΕΡΩΤΗΣΗ Α,55 (90)

ΕΡΩΤΗΣΗ Α,56 (102)

ΕΡΩΤΗΣΗ Α,57 (106)

ΕΡΩΤΗΣΗ Α,58 (110)

ΕΡΩΤΗΣΗ Α,59 (123 Γ,25)

ΕΡΩΤΗΣΗ Α,60 (126 Γ,26)

ΕΡΩΤΗΣΗ Α,61 (127)

ΕΡΩΤΗΣΗ Α,62 (142 Β,21)

ΕΡΩΤΗΣΗ Α,63 (149 Β,25)

ΕΡΩΤΗΣΗ Α,64 (151)

ΕΡΩΤΗΣΗ Α,65 (162)

ΕΡΩΤΗΣΗ Α,66 (164)

ΕΡΩΤΗΣΗ Α,67

Πῶς πρέπει νὰ ἐννοοῦμε τὴν ἄγνοια τοῦ Υἱοῦ γιὰ τὴ συντέλεια[52];

ΑΠΟΚΡΙΣΗ

Ὑπάρχουν δύο εἴδη ἄγνοιας· ἡ μία εἶναι διαβλητὴ καὶ ἡ ἄλλη ἀδιάβλητη, ἡ μία βρίσκεται στὴν ἐξουσία μας, ἐνῶ ἡ ἄλλη δὲν βρίσκεται. Ἡ ἄγνοια ἡ διαβλητὴ καὶ ποὺ ἐξαρτᾶται ἀπὸ μᾶς εἶναι ἡ ἄγνοια ἡ σχετικὴ μὲ τὴν ἀρετὴ καὶ τὴν εὐσέ-

θελόντων ἡμῶν γινώσκειν οὐ γινώσκομεν, οἷον, τὰ πόρρω γινόμενα, τὰ μέλλοντα γίνεσθαι. Εἰ οὖν ἐν τοῖς ἁγίοις προφήταις διεγινώσκετο τὰ πόρρω καὶ οὐκ ἐφ' ἡμῖν χάριτι, πῶς οὐχὶ μᾶλλον πάντα ἐπίστατο ὁ Υἱὸς τοῦ Θεοῦ καὶ διὰ τοῦτο τὸ ἀνθρώπινον, οὐ φύσει ἀλλ' ἑνώσει τῇ πρὸς τὸν Λόγον; Καθάπερ γὰρ σίδηρος πεπυρακτωμένος πάντα τὰ ἰδιώματα τοῦ πυρὸς ἔχει –φωτίζει γὰρ καὶ καίει– οὐ μὴν φύσει ἐστὶ πῦρ, ἀλλὰ σίδηρος, οὕτω καὶ τὸ ἀνθρώπινον τοῦ Κυρίου, καθ' ὃ μὲν ἡνώθη τῷ Λόγῳ, πάντα ἐπίστατο καὶ τὰ θεοπρεπῆ πάντα ἐν αὐτῷ διεδείκνυτο, καθ' ὃ δὲ φύσις ἀνθρωπεία ἐν αὐτῷ ἥνωτο, λέγεται ἀγνοεῖν.

ΕΡΩΤΗΣΙΣ Α,68 (Β,27)

Τί σημαίνει τὸ μοναχικὸν σχῆμα καὶ πρὸ τούτου τίς ἡ ἀπόκαρσις τῶν τριχῶν;

ΑΠΟΚΡΙΣΙΣ

Ὥσπερ πάντων τῶν ἐν τῷ σώματι μελῶν ἡ κεφαλὴ προτερεύει, οὕτω καὶ ἐν τῇ ψυχῇ ὁ νοῦς κεφαλῆς τρόπον ἐπέχει· τοῦτον οὖν ἀποκείρειν δεῖ πάντων τῶν κοσμικῶν νοημάτων. Τὸ δὲ κολόβιον, ἐπειδὴ τὸ μὲν ὅλον σῶμα σκέπει, μόνας δὲ τὰς χεῖρας γυμνοῖ, σημαίνει ὡς χρὴ τὴν ἠθικὴν φιλοσοφίαν ἐνδεδύσθαι ἀφῃρημένους τὰς πρακτικὰς τῆς

βεια. Ἡ ἀδιάβλητη καὶ ποὺ δὲν ἐξαρτᾶται ἀπὸ μᾶς ἀφορᾶ ὅσα δὲ γνωρίζομε ἐνῶ θέλομε νὰ τὰ γνωρίζομε, γιὰ παράδειγμα ὅσα γίνονται μακριὰ κι ὅσα μέλλουν νὰ γίνουν. Ἂν λοιπὸν γίνονταν γνωστὰ στοὺς ἅγιους προφῆτες τὰ μακρινὰ κι ἀνεξάρτητα ἀπὸ ἐμᾶς μὲ τὴ βοήθεια τῆς χάριτοςς, πῶς δὲν ἔπρεπε νὰ γνωρίζει πολὺ περισσότερο ὁ Υἱὸς τοῦ Θεοῦ καὶ μέσω αὐτοῦ καὶ ἡ ἀνθρώπινη ὑπόστασή του, ὄχι ἀπὸ τὴ φύση της, ἀλλὰ ἐξαιτίας τῆς ἕνωσής της μὲ τὸ Λόγο; Ὅπως δηλαδὴ τὸ πυρακτωμένο σίδερο ἔχει ὅλες τὶς ἰδιότητες τῆς φωτιᾶς, ἀφοῦ καὶ φωτίζει καὶ καίει, κατὰ τὴ φύση του ὅμως δὲν εἶναι φωτιὰ ἀλλὰ σίδερο, ἔτσι καὶ ἡ ἀνθρώπινη φύση τοῦ Κυρίου, ὡς πρὸ τὸ ὅτι ἑνώθηκε μὲ τὸ Λόγο, τὰ γνώριζε ὅλα καὶ ὅλα τὰ θεοπρεπῆ ἄφηνε νὰ τὰ δοῦν στὸν ἑαυτό του, ὡς πρὸς ἐκεῖνα ὅμως ποὺ ἡ ἀνθρώπινη φύση του δὲν εἶχε ἑνωθεῖ μαζί του λέγεται ὅτι ἀγνοοῦσε αὐτά.

ΕΡΩΤΗΣΗ Α,68 (Β,27)

Τί σημαίνει τὸ μοναχικὸ σχῆμα[53] καὶ πρὶν ἀπὸ αὐτὸ τί εἶναι τὸ κούρεμα τοῦ μοναχοῦ;;

ΑΠΟΚΡΙΣΗ

Ὅπως τὸ πρῶτο ἀπὸ ὅλα τὰ μέλη τοῦ σώματός μας εἶναι τὸ κεφάλι, ἔτσι καὶ ὁ νοῦς μέσα στὴν ψυχὴ εἶναι κατὰ κάποιο τρόπο τὸ κεφάλι της. Αὐτὸν λοιπὸν πρέπει νὰ τὸν κουρεύομε ἀπὸ ὅλες τὶς κοσμικὲς ἔννοιες. Τὸ ‘κολόβιο’ ὅμως, ἐπειδὴ καλύπει ὅλο τὸ σῶμα κι ἀφήνει γυμνὰ τὰ χέρια μόνο, σημαίνει ὅτι πρέπει νὰ φορέσομε τὴν ἠθικὴ φιλοσοφία, ἀφοῦ προηγουμένως ἀφαιρεθοῦν οἱ πρακτικὲς ἐνέργειες

---

53. Ὁ Μάξιμος κάνει ἐδῶ σύντομη περιγραφὴ τῆς στολῆς τοῦ μοναχοῦ.

ἁμαρτίας ἐνεργείας· αἱ γὰρ χεῖρες ὁμολογουμένως πράξεως καὶ ἐνεργείας εἰσὶ σύμβολον.

Ἡ δὲ ζώνη, ἐπειδὴ ἀπὸ νεκρῶν δερμάτων γίνεται, περισφίγγει δὲ ψύας καὶ ὀμφαλόν, σημαίνει τὴν νέκρωσιν διὰ τῆς ἐγκρατείας καὶ ὡς χρὴ ταύτην ἐπικεῖσθαι ἀεὶ ἐπὶ τῇ τῆς κακίας δυνάμει καὶ ἐνεργείᾳ· ἡ γὰρ δύναμις τῆς ἀντικειμένης τοῦ πονηροῦ δυναστείας ἐστι κατὰ τὸν Ἰὼβ «ἐπ' ὀμφαλοῦ γαστρός», καὶ «αἱ ψύαι», κατὰ τὸν μακάριον Δαυΐδ, πληροῦνται τῶν δαιμονικῶν «ἐμπαιγμάτων»· ἐμπαίγματα δέ εἰσιν αἱ διάφοροι τῆς πορνείας ἐνέργειαι.

Ὁ δὲ ἀνάλαβος, ἐπειδὴ καὶ ἔμπρὸς καὶ ὀπίσω τὸν σταυρὸν ἔχει, σημαίνει ὅτι χρή, κατὰ τὸν Ἀπόστολον, μὴ μόνον σταυρωθῆναι ἡμᾶς τῷ κόσμῳ, ἀλλὰ καὶ τὸν κόσμον ἡμῖν, ἵνα, φευγόντων ἡμῶν τὸν κόσμον, μηδὲν ἐμποδὼν ἔχωμεν μηδὲ τῇ πρὸς αὐτὸν σχέσει διὰ τῆς ἐπιφαινομένης ἀπάτης ἐγκρατηθῶμεν, μήτε δὲ πάλιν ἐκ τῶν ὄπισθεν διωκόμενοι ἐκ τοῦ κόσμου, ἐκ τῶν ἀκουσίων πειρασμῶν ὑπενδώσωμεν τοῦ τόνου τῆς εὐσεβείας, ἀλλὰ ἀναίσθητοι καὶ νεκροὶ διαμείνωμεν πρός τε τὰ ἀκούσια καὶ τὰ ἑκούσια πάθη.

Τὸ δὲ κουκούλλιον δηλοῖ τὴν φρουροῦσαν καὶ σκέπουσαν τὸν νοῦν ἡμῶν χάριν τοῦ Θεοῦ. Ὁ γὰρ ἀποκειράμενος τὰ τοῦ κόσμου νοήματα «τὴν περικεφαλαίαν» δέχεται τοῦ σωτηρίου.

Τὰ δὲ σανδάλια τοῦτον ἔχει τὸν λόγον· ἐπειδὴ ἐκ νεκρῶν δερμάτων εἰσίν, μικρῷ δὲ μέρει τοῦ σώματος ὑπό-

---

54. Τὰ πλευρὰ = ψύαι – ψόαι = τὰ νεφρά, ἡ μέση.

55. Ἰὼβ 40,11.

τῆς ἁμαρτίας. Γιατὶ ὁμολογουμένως τὰ χέρια συμβολίζουν τὴν πράξη καὶ τὴν ἐνέργεια.

Ἡ ζώνη, ἐπειδὴ γίνεται ἀπὸ νεκρὰ δέρματα καὶ περισφίγγει τὰ πλευρά[54] καὶ τὸν ὀμφαλό, σημαίνει τὴ νέκρωση μὲ τὴν ἐγκράτεια καὶ ὅτι πρέπει αὐτὴ νὰ τὴ φοροῦμε πάντοτε γιὰ νὰ μᾶς δίνει δύναμη καὶ νὰ κατευθύνει τὴν ἐνεργεία μας. Γιατὶ ἡ δύναμη τοῦ πονηροῦ ποὺ μᾶς πολεμᾶ βρίσκεται, σύμφωνα μὲ τὸν Ἰώβ[55], κάτω ἀπὸ τὸν ὀμφαλὸ τῆς κοιλιᾶς καὶ τὰ πλευρὰ γεμίζουν, κατὰ τὸ μακάριο Δαβίδ[56], ἀπὸ δαιμονικὰ περιπαίγματα· καὶ περιπαίγματα εἶναι οἱ διάφορες ἐνέργειες τῆς πορνείας.

Ὁ ἀνάλαβος[57] πάλι, ἐπειδὴ ἔχει μπροστὰ καὶ πίσω τὸ σταυρό, σημαίνει ὅτι πρέπει, κατὰ τὸν Ἀπόστολο[58], ὄχι μόνο νὰ σταυρωθοῦμε γιὰ τὸν κόσμο, ἀλλὰ κι ὁ κόσμος γιὰ μᾶς, ὥστε, ἀπομακρυνόμενοι ἀπὸ τὸν κόσμο, νὰ μὴ ἔχομε κανένα ἐμπόδιο, οὔτε νὰ αἰχμαλωτιστοῦμε στὴ σχέση μὲ αὐτὸν μὲ τὴν φαινόμενη ἀπάτη, καὶ οὔτε πάλι ἀποδιωκόμενοι ἀπὸ τὸν κόσμο ἀπὸ τοὺς ἀκούσιους πειρασμοὺς νὰ ὑποχωρήσομε στὸν τόνο τῆς εὐσέβειας, ἀλλὰ νὰ μείνομε ἀναίσθητοι καὶ νεκροὶ καὶ σχετικὰ μὲ τὰ ἀκούσια καὶ σχετικὰ μὲ τὰ ἑκούσια πάθη.

Τὸ κουκούλι δηλώνει τὴ χάρη τοῦ Θεοῦ ποὺ φρουρεῖ καὶ σκέπει τὸ νοῦ μας. Γιατί, ὅποιος ἔχει κουρευτεῖ ἀπὸ τὰ νοήματα τοῦ κόσμου, δέχεται τὴν περικεφαλαία τῆς σωτηρίας[59].

Τὰ σανδάλια ἔχουν τὴν ἑξῆς σημασία· ἐπειδὴ εἶναι κατασκευασμένα ἀπὸ νεκρὰ δέρματα, καὶ τὰ πατᾶ ἕνα μικρὸ

56. Ψαλμ. 37,8
57. Ἔνδυμα μοναχικὸ πολυσταύριο.
58. Γαλ. 6,14.
59. Ἐφ. 6,17.

κειναι, τὸν αὐτὸν τρόπον ἧπερ τὸ ὅλον σῶμα πρὸς τὰ ἴχνη τοῦ σανδαλίου ἔχει, οὕτω χρὴ τὴν ψυχὴν τῷ σώματι κεχρῆσθαι, καὶ τούτῳ νεκρῷ τῶν παρὰ φύσιν παθῶν.

Τὸ δὲ περιβόλαιον, ἐπειδὴ τετράγωνόν ἐστιν, ἐκ τεσσάρων δὲ στοιχείων καὶ ὁ κόσμος, σημαίνει ὅτι χρὴ περιβεβλῆσθαι ἡμᾶς τὴν φυσικὴν θεωρίαν, ὥστε μὴ πρὸς αἴσθησιν καὶ πάθη τὰ ὁρώμενα βλέπειν, ἀλλὰ διὰ τοῦ ἐν αὐτοῖς λόγου πρὸς τὸν τούτων δημιουργὸν ἀνάγεσθαι. Τὸ δὲ τὴν ἀριστερὰν χεῖρα παραγυμνοῦσθαι σημαίνει ὅτι χρὴ τὰς ἀγαθὰς πράξεις ἐν ἡμῖν προφαίνεσθαι κατὰ τὸν τοῦ Σωτῆρος λόγον, «ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

Τὸ δὲ μαῦρα τὰ ἐνδύματα εἶναι σημαίνει, ὅτι χρὴ ἡμᾶς ἀφανεῖς εἶναι τῷ κόσμῳ, ὡς τὸ πολίτευμα ἔχοντας ἐν οὐρανῷ. Εἰ δέ τις τὸ παλλίον τετράγωνον ὂν καὶ εἰς τὰς γενικὰς τέσσαρας ἀρετὰς ἐκλάβοι, τοῦ εἰκότος οὐχ ἁμαρτήσεται.

ΕΡΩΤΗΣΙΣ Α,69 ....

ΑΠΟΚΡΙΣΙΣ

[«Εἰρήνην» ὁ ἱερεὺς ἀπὸ τοῦ ὕψους τῆς καθέδρας τῇ ἐκκλησίᾳ ἐπιφθέγγεται, τὸν Κύριον τῆς καθέδρας μιμούμενος ἀναλαμβανόμενον, εἰρήνην τὴν οἰκείαν καὶ ἀφιέντα καὶ διδόντα. Τὸ δὲ «καὶ τῷ Πνεύματί σου» τῷ λαῷ ἀποκρινό-

---

60. Ματθ. 5,10.
61. Φιλ. 3,20.
62. Παλλίον = ἔνδυμα, φόρεμα, τρίβων φιλοσοφικός, παραπέτασμα.

μέρος τοῦ σώματος, κατὰ τὸν ἴδιο τρόπο, ἀνάλογα μὲ τὴ σχέση ποὺ ἔχει ὁλόκληρο τὸ σῶμα πρὸς τὰ ἴχνη τοῦ σανδαλίου, ἔτσι πρέπει νὰ χρησιμοποιεῖ ἡ ψυχὴ τὸ σῶμα καὶ νὰ τὸ νεκρώνει ἀπὸ τὰ παραφύση πάθη.

Τὸ περιβόλαιο, ἐπειδὴ εἶναι τετράγωνο, καὶ ὁ κόσμος ἀποτελεῖται ἀπὸ τέσσερα στοιχεῖα, σημαίνει ὅτι πρέπει νὰ περιβληθοῦμε τὴ φυσικὴ θεωρία, ὥστε νὰ μὴ βλέπομε τὰ φαινόμενα γιὰ νὰ ἱκανοποιοῦμε τὶς αἰσθήσεις μας καὶ νὰ τρέφομε τὰ πάθη, ἀλλὰ μέσω τοῦ λόγου ὕπαρξης αὐτῶν νὰ ὁδηγούμαστε στὸ δημιουργό τους. Τὸ ὅτι γυμνώνεται τὸ ἀριστερὸ χέρι σημαίνει ὅτι πρέπει οἱ ἀγαθὲς πράξεις μας νὰ εἶναι φανερὲς σὲ ὅλους, σύμφωνα μὲ τὸ λόγο τοῦ Κυρίου, «γιὰ νὰ δοῦν οἱ ἄνθρωποι τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν οὐράνιο Πατέρα σας»[60].

Τὰ μαῦρα φορέματα σημαίνουν ὅτι πρέπει νὰ εἴμαστε ἀφανεῖς γιὰ τὸν κόσμο, ἐπειδὴ ἡ πολιτεία μας βρίσκεται στὸν οὐρανό[61]. Καὶ ἂν κάποιος θεωρήσει τὸ παλλίο[62], ποὺ εἶναι τετράγωνο, ὅτι ἀναφέρεται στὶς τέσσερις γενικὲς ἀρετές, δὲ θ' ἀστοχήσει στὸ ὀρθό.

ΕΡΩΤΗΣΗ Α,69 ....[63]

ΑΠΟΚΡΙΣΗ

[Ὁ ἱερέας ἀπὸ τὸ ὕψος τῆς καθέδρας τοῦ θρόνου εὔχεται στὸ ἐκκλησίασμα εἰρήνη[64], μιμούμενος τὸν Κύριο τῆς καθέδρας, ὁ ὁποῖος κατὰ τὴν ἀνάληψή του στὸν οὐρανὸ μᾶς ἄφησε καὶ μᾶς μετέδωσε τὴν εἰρήνη του[65]. Ἡ ἀπόκριση τοῦ

---

63. Προφανῶς θὰ ἐρωτᾶται γιατί λέγει ὁ ἱερέας στὸ ἐκκλησίασμα «εἰρήνη πᾶσι» καὶ τὸ ἐκκλησίασμα ἀπαντᾷ· «καὶ μετὰ τοῦ Πνεύματός σου».

64. Ἰσιδώρου Πηλουσιώτου, *Ἐπιστολὴ Ι*, 122(PG 78, 264 C3-12).

65. Ἰω. 14,27.

μενον τοῦτο δηλοῖ· εἰρήνην μὲν ἡμῖν παρέσχες, Κύριε, καὶ τὴν ἐν ἀλλήλοις ὁμόνοιαν· εἰρήνην δὲ δὸς ἡμῖν τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν, ἵνα, τῷ Πνεύματί σου εἰρηνεύοντες, ὃ ἡμῖν ἐν ἀρχῇ τῆς δημιουργίας ἐνέθηκας, ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν].

ΕΡΩΤΗΣΙΣ Α,70 ....

ΑΠΟΚΡΙΣΙΣ

[Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν;» ὁ θεῖος ἔφη Ἀπόστολος. Εἰ ὅλως, φησίν, τὰ σώματα ἡμῶν οὐκ ἀνίστανται, τί καὶ ἐν τῷ βαπτίζεσθαι εἰς ἀφθαρσίαν αὐτὰ μεταποιεῖσθαι πιστεύομεν;]

ΕΡΩΤΗΣΙΣ Α,71 ....

ΑΠΟΚΡΙΣΙΣ

[Εἰ τῆς γραφικῆς ζητεῖς μουσικῆς διασάφησιν, οὕτω νοητέον. «Αἰνεῖτε τὸν Κύριον ἐν φωνῇ σάλπιγγος»· ἐν τῇ μνήμῃ τῆς ἀναστάσεως σάλπιγγι γῇ σειωμένῃ ὡς γέγραπται. «Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ»· τῇ γλώσσῃ ἡμῶν καὶ τῷ στόματι ὡς πλήκτρῳ τινὶ τῷ Πνεύματι κρουομένων. «Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ»· ἐν σαρκὶ καὶ ψυχῇ, ἀφ' ἧς ὡς χοροὶ αἱ πρὸς Θεὸν διαβαίνουσι δεήσεις. «Αἰνεῖτε

---

66. Ἰσιδώρου Πηλουσιώτου, *Ἐπιστολὴ I*, 221(PG 78, 321 B4-5) καὶ Α' Κορ. 15,29.

67. Ἰσιδώρου Πηλουσιώτου, *Ἐπιστολὴ I*, 221(PG 78, 321 B11-C1).

68. Ἰσιδώρου Πηλουσιώτου, *Ἐπιστολὴ I*, 457(PG 78, 433 B10-C10).

λαοῦ «καὶ τῷ Πνεύματί σου» δηλώνει τὸ ἑξῆς· Μᾶς ἔδωσες, Κύριε, εἰρήνη καὶ τὴν ὁμόνοια μεταξύ μας· δῶσε μας ὅμως καὶ τὴν εἰρήνη, γιὰ νὰ ἔχομε ἀδιαίρετη ἕνωση μὲ σένα, ὥστε, εἰρηνεύοντας μὲ τὴ βοήθεια τοῦ Πνεύματός σου ποὺ ἔβαλες μέσα μας στὴν ἀρχὴ τῆς δημιουργίας, νὰ μείνομε ἀχώριστοι ἀπὸ τὴ δική σου ἀγάπη].

ΕΡΩΤΗΣΗ Α,70........

ΑΠΟΚΡΙΣΗ

[Ἂν οἱ νεκροὶ δὲν ἀνασταίνονται ὁπωσδήποτε, γιατί, ἐρωτᾶ ὁ θεῖος Ἀπόστολος, μερικοὶ βαπτίζονται γι' αὐτούς[66]; Ἂν λέει τὰ σώματά μας δὲν ἀνασταίνονται, γιατί πιστεύομε ὅτι κατὰ τὸ βάπτισμα μεταποιοῦνται καὶ γίνονται ἄφθαρτα;[67]]

ΕΡΩΤΗΣΗ Α,71........

ΑΠΟΚΡΙΣΗ

[Ἂν ζητᾶς τὴ διασάφηση γιὰ τὴ μουσικὴ τῆς Γραφῆς, σκέψου ὡς ἑξῆς[68]· «Ὑμνεῖτε τὸν Κύριο μὲ τὸν ἦχο τῆς σάλπιγγας»[69], πρὸς ἀνάμνηση δηλαδὴ τῆς ἀνάστασης ποὺ θὰ γίνει μὲ τὴ σάλπιγγα καὶ ἐνῶ θὰ σείεται ἡ γῆ, ὅπως ἔχει γραφεῖ[69α]. «Ὑμνεῖτε αὐτὸν μὲ τὸ ψαλτήρι καὶ τὴν κιθάρα»[70], μὲ τὴ γλῶσσα δηλαδὴ καὶ τὸ στόμα, ποὺ σὰν κάποιο πλῆκτρο τὰ κρούει τὸ Πνεῦμα. «Ὑμνεῖτε αὐτὸν μὲ τύμπανα καὶ χορούς»[71], μὲ τὴ σάρκα δηλαδὴ καὶ τὴν ψυχή, ἀπὸ τὴν ὁποία

69. Ψαλμ. 150,3α.
69α. Α' Κορ. 15,52.
70. Ψαλμ. 150,3β.
71. Ψαλμ. 150,4α.

αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ»· ἐν καρδίᾳ καὶ ἐν παντὶ τῷ ἔσωθεν σπλάγχνῳ καὶ νεύροις, ἅπερ ὄργανον κέκληκεν. «Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις»· τοῖς χείλεσιν, δι' ὧν τὰ ἐναρμόνια τῆς ψαλμῳδίας πλέκεται μέλη].

ΕΡΩΤΗΣΙΣ Α,72 (Β,11)

Ἐπειδὴ κατά τινα τῶν ἀντιγράφων τοῦ Ἀποστόλου περιέχεται ὅτι «πάντες μὲν κοιμηθησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα», κατά τινα δὲ ὅτι «πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα», παρακαλῶ μαθεῖν ποίαν χρὴ τῶν ἐκδόσεων ἐγκρῖναι καὶ τί τὰ ἐκ τούτων δηλούμενα;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι ὅτι καθ' ἑκατέραν τῶν ἐκδόσεων, ἐπειδὴ καὶ τὰ ἀρχαῖα τῶν ἀντιγράφων τὰς δύο περιέχουσιν, εὐσεβῶς τις ἐκλαμβάνων τοῦ ἀποστολικοῦ οὐκ ἀποπεσεῖται σκοποῦ. Κατὰ μὲν τὸ «πάντες μὲν κοιμηθησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα», οὕτω χρὴ νοεῖν, ὅτι πάντες μὲν τὴν διὰ τοῦ θανάτου κοίμησιν ὑπομενοῦμεν, οὐ πάντες δὲ τὴν δόξαν καὶ τὴν παρρησίαν ἀνταλλαξόμεθα· ὅπερ ὁ αὐτὸς Ἀπόστολος ἐν ἄλλῳ σαφέστερον τίθησι, φάσκων «εἴπερ καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα». Κατὰ δὲ τὸ «οὐ πάντες μὲν κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα», οὕτω χρὴ ἐκδέχεσθαι, ὅτι «πάντες μὲν οὐ κοιμηθησόμεθα» τὴν χρονικὴν κοίμησιν, ὥστε δεηθῆναι ταφῆς καὶ λύσεως τῆς εἰς φθοράν, ἀλλὰ σύντομον τὸν θάνατον οἱ τότε εὑρισκόμενοι ὑπομενοῦ-

72. Ψαλμ. 150,4β.
73. Ψαλμ. 150,5α.

σὰ νὰ εἶναι χοροὶ ὑμνητῶν ἀνεβαίνουν οἱ δεήσεις πρὸς τὸ Θεό. «Ὑμνεῖτε αὐτὸν μὲ χορδὲς καὶ ὄργανα»[72], μὲ τὴν καρδιὰ δηλαδὴ καὶ ὅλα τὰ ἐσωτερικὰ σπλάχνα καὶ τὰ νεῦρα μας, ποὺ τὰ ὀνόμασε ὄργανα. «Ὑμνεῖτε αὐτὸν μὲ γλυκόλαλα κύμβαλα»[73], μὲ τὰ χείλη δηλαδή, ποὺ πλέκουν καὶ ἐκφωνοῦν τὶς ἁρμονικὲς μελωδίες τῶν ὕμνων].

ΕΡΩΤΗΣΗ Α,72 (Β,11)

Ἐπειδὴ σ' ἕνα ἀπὸ τὰ ἀντίγραφα τοῦ Ἀποστόλου περιέχεται ὁ λόγος, «ὅλοι θὰ κοιμηθοῦμε, ἀλλὰ δὲ θὰ ἀλλάξομε ὅλοι»[74] καὶ σὲ ἄλλο «δὲ θὰ κοιμηθοῦμε ὅλοι, ἀλλὰ ὅλοι θὰ ἀλλάξομε», παρακαλῶ νὰ μάθω ποιά ἀπὸ τὶς γραφὲς νὰ ἐγκρίνω καὶ τί δηλώνουν αὐτές;

ΑΠΟΚΡΙΣΗ

Νομίζω ὅτι καὶ στὴ μιὰ καὶ στὴν ἄλλη γραφή, ἐπειδὴ καὶ τὰ ἀρχαῖα χειρόγραφα τὶς περιέχουν καὶ τὶς δύο, ἂν τὶς ἐννοήσει κάποιος μ' εὐσέβεια δὲ θὰ ἀπομακρυνθεῖ ἀπὸ τὸν ἀποστολικὸ σκοπό. Τὴ γραφὴ «ὅλοι θὰ κοιμηθοῦμε, ἀλλὰ δὲ θὰ μεταβληθοῦμε ὅλοι» πρέπει νὰ τὴν ἐννοήσομε ἔτσι· ὅλοι θὰ ὑποστοῦμε τὴν κοίμηση τοῦ θανάτου, δὲ θὰ τὸ ἀλλάξομε ὅμως αὐτὸ ὅλοι μὲ δόξα καὶ παρρησία. Αὐτὸ τὸ νόημα ὁ ἴδιος Ἀπόστολος τὸ διατυπώνει σαφέστερα σὲ ἄλλο σημεῖο λέγοντας «ἐφόσον ἔχομε ντυθεῖ, δὲ θὰ βρεθοῦμε γυμνοί»[75]. Τὸ λόγο πάλι «δὲ θὰ κοιμηθοῦμε ὅλοι, ἀλλὰ θ' ἀλλάξομε ὅλοι»[76], πρέπει νὰ τὸν ἐννοήσομε ὡς ἑξῆς· 'Δὲ θὰ ὑποστοῦμε ὅλοι τὸ χρονικὸ θάνατο, ὥστε νὰ χρειαστοῦμε τὴν ταφὴ καὶ

74. Α' Κορ. 15,51.
75. Β' Κορ. 5,3.

σιν, μὴ δεόμενοι χρονικῆς κοιμήσεως διὰ τὴν παραυτίκα γινομένην ἀνάστασιν· «πάντες δὲ ἀλλαγήσονται», τουτέστι τὴν ἀφθαρσίαν ἐνδύσονται.

Ἔστι δὲ καὶ ἑτέρας θεωρίας ἐπιβολὴ περὶ τούτου· «οὐ πάντες κοιμηθησόμεθα», ταῖς ἁμαρτίαις τὴν παῦσιν καὶ τὴν ἀνενεργησίαν ποιησάμενοι, οὐδὲ τὰ ἑαυτῶν πάθη κοιμήσομεν κατὰ τὸ «ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ»· σημαίνει γὰρ ὁ τῶν θείων ἐρώτων τὰ Ἄισματα γεγραφὼς ὅτι ὁ πάντῃ ἀνενέργητος γενόμενος πρός τε τὰ αἰσθητὰ πάντα καὶ νοητά, οὗτος μόνῃ τῇ καρδίᾳ ἀγρυπνεῖ, μόνῃ τῇ τοῦ Θεοῦ θεωρίᾳ ἐνευφραινόμενος. Τὸ δὲ «πάντες δὲ ἀλλαγησόμεθα» τὴν κοινὴν δηλοῖ τῆς ἀφθαρσίας ἀλλαγήν.

ΕΡΩΤΗΣΙΣ Α,73 (143)

ΕΡΩΤΗΣΙΣ Α,74 (159 Β,10)

ΕΡΩΤΗΣΙΣ Α,75 (160)

ΕΡΩΤΗΣΙΣ Α,76 (161)

ΕΡΩΤΗΣΙΣ Α,77

Τί ἐστιν τὸ ἐν τῷ Ἀποστόλῳ εἰρημένον τὸ «ὄφελον καὶ ἀποκόψονται»;

ΑΠΟΚΡΙΣΙΣ

Τοῦτο εἴρηται ἀντὶ τοῦ ‘θρηνήσουσι καὶ κόψονται’, εἰς

---

76. Α' Κορ. 15,51.

τὴν ἀποσύνθεσή μας στὴ φθορά, ἀλλὰ ὅσοι θὰ ζοῦνε τότε θὰ ὑπομείνουν ἕνα σύντομο θάνατο καὶ δὲ θὰ χρειαστοῦν κοίμηση χρονική, ἐπειδὴ ἡ ἀνάσταση θὰ γίνει ἀμέσως· τὸ «ὅλοι θ' ἀλλάξουν» σημαίνει 'θὰ ντυθοῦν τὴν ἀφθαρσία'.

Αὐτὸ μπορεῖ νὰ ἐκληφθεῖ καὶ μὲ μιὰ ἄλλη μεταφορικὴ σημασία· 'Δὲ θὰ πεθάνομε ὅλοι' ἂν σταματήσομε τὶς ἁμαρτίες καὶ τὶς κάνομε ἀνενέργητες· οὔτε θὰ κοιμήσομε τὰ πάθη μας, σύμφωνα μὲ τὸ «ἐγὼ κοιμᾶμαι καὶ ἡ καρδιά μου ἀγρυπνεῖ»[77]· ὁ συγγραφέας δηλαδὴ τῶν 'Ασμάτων μὲ τοὺς θείους ἔρωτες θέλει νὰ πεῖ ὅτι αὐτὸς ποὺ ἔγινε τελείως ἀδρανὴς καὶ πρὸς ὅλα τὰ αἰσθητὰ καὶ πρὸς ὅλα τὰ νοητά, αὐτὸς ἀγρυπνεῖ μόνο μὲ τὴν καρδιά του καὶ εὐφραίνεται μόνο μὲ τὴ θεωρία τοῦ Θεοῦ. Τὸ «ὅλοι θὰ ἀλλάξομε»[78] δηλώνει τὴν κοινὴ μεταβολὴ ἀπὸ τὴ φθορὰ στὴν ἀφθαρσία.

ΕΡΩΤΗΣΗ Α,73 (143)

ΕΡΩΤΗΣΗ Α,74 (159 Β,10)

ΕΡΩΤΗΣΗ Α,75 (160)

ΕΡΩΤΗΣΗ Α,76 (161)

ΕΡΩΤΗΣΗ Α,77

Τί σημαίνει αὐτὸ ποὺ γράφει ὁ 'Απόστολος «ἔπρεπε νὰ ξεσχίσουν τὰ στήθια τους»[79];

ΑΠΟΚΡΙΣΗ

Αὐτὸ εἰπώθηκε ἀντὶ τοῦ 'θὰ θρηνήσουν καὶ θὰ παραδο-

77. Ἆσμα Ἀσμ. 5,2.
78. Α' Κορ. 15,51.
79. Γαλ. 5,12.

μετάνοιαν ἐρχόμενοι ὧν ἥμαρτον, ἀναστατοῦντες τοὺς πιστούς.

ΕΡΩΤΗΣΙΣ Α,78

Τίνος χάριν Μωαβῖται καὶ Ἀμμανῖται ἀπαγορεύονται εἰσελθεῖν εἰς τὸν ναὸν τοῦ Κυρίου «ἕως τρίτης καὶ τετάρτης καὶ δεκάτης γενεᾶς καὶ ἕως εἰς τὸν αἰῶνα»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ Μωαβίτης ἑρμηνεύεται 'ἔντερον πατρός', Ἀμμανίτης δὲ 'πατὴρ μητρός', σημαίνεται διὰ τούτων ὅτι, ὅστις ἀπ' ἄλλου παραλάβῃ ὑπόδειγμα κακίας, οὗτος τὸ ἔντερον τοῦ πατρὸς ἐφανέρωσεν· ὅστις δὲ ἐξ αὐτοῦ τέκῃ τὴν ἁμαρτίαν, οὗτός ἐστι πατὴρ μητρός, τουτέστι τῆς ἰδίας ἁμαρτίας. Οἱ τοιοῦτοι οὖν «οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου ἕως τρίτης καὶ τετάρτης καὶ δεκάτης γενεᾶς καὶ ἕως εἰς τὸν αἰῶνα», τουτέστιν ὁ μὴ δι' ἕξεως ἀγαθῆς καὶ πράξεως –αὕτη γὰρ τρίτη καὶ τετάρτη γενεὰ τῶν ἀρετῶν– καὶ διὰ τοῦ ὀνόματος καὶ τῆς πίστεως τοῦ Κυρίου Ἰησοῦ καὶ διὰ τὰς δέκα τοῦ νόμου ἐντολὰς καὶ διὰ τῆς τοῦ μέλλοντος αἰῶνος ἐσομένης παλιγγενεσίας ἑαυτὸν τῷ Θεῷ οἰκειῶν, οὐκ εἰσελεύσεται εἰς οἶκον Θεοῦ, τουτέστιν ἐν τῇ οὐρανίῳ πόλει, «ἐν ᾗ πάντων εὐφραινομένων ἡ κατοικία».

ΕΡΩΤΗΣΙΣ Α,79

Τί δήποτε ἐν μέρει λεπρὸς ἀκάθαρτός ἐστι παρὰ

---

80. Δευτ. 23,3. Α' Ἐσδ. 8,1.

81. Ἴσως εἶναι λάθος τοῦ γραφέα ἀντὶ 'ὧν ἐκ τοῦ Πατρός', ποὺ ἔγραψε ὁ Μάξιμος· ποὺ εἶναι δηλαδὴ ἀπὸ τὸν Πατέρα.

θοῦν στὰ κλάματα', μετανοώντας γιὰ ὅσα ἁμάρτησαν ἀναστατώνοντας τοὺς πιστούς.

ΕΡΩΤΗΣΗ Α,78

Γιὰ ποιό λόγο ἀπαγορεύεται στοὺς Μωαβίτες καὶ τοὺς Ἀμμανίτες νὰ μποῦνε στὸ ναὸ τοῦ Κυρίου ὥς τὴν τρίτη, τὴν τέταρτη καὶ τὴ δέκατη γενιὰ καὶ ὥς τὸν αἰώνα[80];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ τὸ ὄνομα Μωαβίτης ἑρμηνεύεται 'ἔντερο[81] τοῦ πατέρα' καὶ Ἀμμανίτης 'πατέρας τῆς μητέρας', μὲ αὐτὰ θέλει νὰ πεῖ ὅτι ὅποιος πάρει ἀπὸ κάποιον ἄλλο ἕνα κακὸ παράδειγμα, αὐτὸς φανέρωσε τὸ ἔντερο τοῦ πατέρα· ὅποιος ὅμως γεννήσει τὴν ἁμαρτία ἀπὸ μόνος του, αὐτὸς εἶναι πατέρας τῆς μητέρας, δηλαδὴ τῆς ἴδιας τῆς ἁμαρτίας. Αὐτοὶ λοιπὸν «δὲν θὰ μποῦν στὸν οἶκο τοῦ Κυρίου ὥς τὴν τρίτη, τὴν τέταρτη καὶ τὴ δέκατη γενιὰ καὶ ὥς τὸν αἰώνα»[82]. Δηλαδή, ὅποιος δὲν οἰκειώνεται μὲ τὸ Θεὸ μὲ ἀγαθὴ ἕξη καὶ πράξη –αὐτὴ εἶναι ἡ τρίτη καὶ τέταρτη γενιὰ τῶν ἀρετῶν– καὶ μὲ τὸ ὄνομα καὶ τὴν πίστη τοῦ Κυρίου μας Ἰησοῦ καὶ μὲ τὶς δέκα ἐντολὲς καὶ μὲ τὴν παλιγγενεσία ποὺ θὰ γίνει κατὰ τὸ μέλλοντα αἰώνα, αὐτὸς δὲ θὰ μπεῖ στὸν οἶκο τοῦ Θεοῦ, δηλαδὴ στὴν οὐράνια πόλη, ὅπου εἶναι ἡ κατοικία ὅλων τῶν εὐφραινομένων[83].

ΕΡΩΤΗΣΗ Α,79

Γιατί κάποιος ποὺ ἔχει μερικὴ μόνο λέπρα εἶναι

82. Δευτ. 23,3. Ἐξ. 20,5.
83. Ψαλμ. 84,7.

τοῦ νόμου, ὁ δὲ ὁλόλεπρος ὤν, καθαρός ἐστιν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ κατά τι μέρος λεπρὸς νεκρὸν ἔχει τὸ μέρος ᾧ ἐστιν ἡ λέπρα· ὑποφεύγοντος γὰρ τοῦ ζωτικοῦ αἵματος κοιλαίνεται ὁ τόπος, καὶ ἡνίκα τῇ ἀφῇ τοῦ ἱερέως ὑπέκυπτεν ἡ κοίλανσις τῆς λέπρας, ἐμίαινε τὸν τοιοῦτον· οὕτω καὶ ὁ κατά τι μέρος τῆς ψυχῆς λεπρωθείς, κοιλανθείσης τῆς ψυχῆς, τουτέστι ταπεινωθείσης διὰ τῆς ὑποχωρήσεως τῆς ζωτικῆς δυνάμεως τῆς ἀρετῆς, ἀκάθαρτος γίνεται. Ὁ δὲ ὁλόλεπρος τὴν μὲν χροιὰν τοῦ λεπροῦ ἔχει, τὸ δὲ ζωτικὸν αἷμα δι' ὅλου τοῦ σώματος ἔχει ἐν τῇ ἐπιφανείᾳ ἐνεσπαρμένον. Τοῦτο οὖν σημαίνει ὅτι ὁ εἰς τὸ ἔσχατον πέρας τῆς κακίας ἐλθών, εἶτα μεταμεληθείς, ἐπαναλαμβάνει τὴν ζωτικὴν τῆς ἀρετῆς δύναμιν, μόνον δὲ τὴν συνείδησιν ἔχει κεχρωσμένην ταῖς προτέραις προλήψεσιν· οὐ δύναται γὰρ ἅπερ ἔπραξε μὴ λογίζεσθαι ὡς μὴ πράξας· διὰ τοῦτο οὖν ὁ νόμος τὸν τοιοῦτον καθαρὸν ἀποφαίνει.

ΕΡΩΤΗΣΙΣ Α,80 (17)

ΕΡΩΤΗΣΙΣ Α,81

Τί δήποτε ὁ Χὰμ ἔπταισε καὶ ὁ Χαναὰν κατηράθη; καὶ εἰ κατὰ τὸ γράμμα τις τὴν τῆς Γραφῆς ἔννοιαν ἐκλάβοι, ἄδικος ἐν τούτῳ φανήσεται ὁ δίκαιος Νῶε, ἄλλου πταίσαντος ἐπ' ἄλλῳ τὴν κατάραν φέρων· ἄλλως τε δέ, καὶ εἰ ὁ Χαναὰν κατηράθη, ἔδει

84. Λευιτ. 13,10–13.

ἀκάθαρτος γιὰ τὸ νόμο, ἐνῶ αὐτὸς ποὺ εἶναι ὅλος λεπρὸς εἶναι καθαρός[84];

ΑΠΟΚΡΙΣΗ

Ἐκεῖνος ποὺ ἔχει μερικὴ λέπρα ἔχει νεκρὸ τὸ σημεῖο ὅπου ὑπάρχει ἡ λέπρα· καθὼς δηλαδὴ ὑπορρέει τὸ ζωτικὸ αἷμα, τὸ μέρος ἐκεῖνο βαθουλώνει κι ὅταν μὲ τὸ ἄγγισμα τοῦ ἱερέα βούλιαζε τὸ βαθούλωμα τῆς λέπρας, μόλυνε τὸν ἱερέα. Ἔτσι κι ὅποιος ἔχει λέπρα σ' ἕνα μέρος τῆς ψυχῆς, ἐπειδὴ βαθούλωσε ἡ ψυχή, δηλαδὴ ἐπειδὴ ταπεινώθηκε ἀπὸ τὴν ὑποχώρηση τῆς ζωτικῆς δύναμης τῆς ἀρετῆς, γίνεται ἀκάθαρτος. Ἐνῶ ἐκεῖνος ποὺ εἶναι ὁλόκληρος λεπρός, ἔχει βέβαια τὸ χρῶμα τοῦ λεπροῦ, ἔχει ὅμως διάχυτο στὴν ἐπιφάνεια ὅλου τοῦ σώματός του τὸ ζωτικὸ αἷμα. Αὐτὸ λοιπὸν σημαίνει ὅτι ὅποιος ἔφτασε στὸ ἔσχατο ἄκρο τῆς κακίας καὶ ἔπειτα μεταμελήθηκε, ξαναποχτᾶ τὴ ζωτικὴ δύναμη τῆς ἀρετῆς καὶ ἡ συνείδησή του ἀπομένει χρωματισμένη μόνο ἀπὸ τὶς προηγούμενες παραβάσεις του. Γιατὶ δὲν μπορεῖ νὰ θεωρεῖται ὅτι δὲν ἔπραξε ὅσα ἔπραξε. Γι' αὐτὸ λοιπὸν ὁ νόμος ἀποφαίνεται ὅτι ὁ ἄνθρωπος αὐτὸς εἶναι καθαρός.

ΕΡΩΤΗΣΗ Α,80 (17)

ΕΡΩΤΗΣΗ Α,81

Γιὰ ποιό λόγο ἐνῶ ἔφταιξε ὁ Χάμ, δέχτηκε τὴν κατάρα ὁ Χαναάν[85]; Κι ἂν πάρει κανένας τὸ νόημα τῆς Γραφῆς κατὰ γράμμα, θὰ φανεῖ μ' αὐτὸ ἄδικος ὁ δίκαιος Νῶε, ἄλλος νὰ φταίει κι ἄλλος νὰ δέχεται τὴν κατάρα. Ἐξάλλου ἐφόσον ὁ Χαναὰν δέχτηκε τὴν

85. Γεν. 9,22–23.

πάντως καὶ τὸ ἐξ αὐτοῦ γένος κατηραμένον εἶναι, εὑρίσκομεν δὲ τὸ γένος αὐτοῦ μᾶλλον τῶν ἄλλων τῇ τοῦ Χριστοῦ προσδραμὸν πίστει.

ΑΠΟΚΡΙΣΙΣ

Εὑρίσκομεν πανταχοῦ τὸν Θεὸν καὶ πάντας τοὺς ἁγίους κατὰ τῆς κακίας ἀγωνιζομένους καὶ ταύτῃ καταρωμένους. Ἐπειδὴ οὖν αὐτὴ πρώτως κατὰ τὴν ἕξιν ἐν τῷ ἀνθρώπῳ λαμβάνει τὴν γένεσιν, ἐκ ταύτης δὲ ἡ κατ' ἐνέργειαν προέρχεται ἁμαρτία, εἰκότως ὁ Χαναάν, ὡς τὴν κατ' ἐνέργειαν χαρακτηρίζων ἁμαρτίαν, τῆς κατάρας τετύχηκεν. Εἰ δὲ καὶ κατὰ μόνην τὴν κίνησιν τῆς ψυχῆς τοῦτο σκοπῆσαι θέλεις, ὅπερ ἐστὶν ἐν τῷ συναμφοτέρῳ, σώματός φημι καὶ ψυχῆς, ἕξις εἰς τέλος μὴ προελθοῦσα, τοῦτο ἐνέργεια ἐν τῇ ψυχῇ.

ΕΡΩΤΗΣΙΣ Α,82

ΑΠΟΚΡΙΣΙΣ

Πρόνοια τοίνυν ἐστὶν ἐκ Θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια· πρόνοιά ἐστιν βούλησις Θεοῦ, δι' ἣν πάντα τὰ ὄντα τὴν πρόσφορον διεξαγωγὴν λαμβάνει.

---

86. Εἶναι γνωστὴ ἡ πίστη τῆς Χαναναίας τοῦ Εὐαγγελίου καὶ τὸ ἐγκώμιο τοῦ Κυρίου πρὸς αὐτήν· «ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις». Ματθ. 15,28.

87. Προφανῶς ἡ ἐρώτηση θὰ ἦταν, τί εἶναι πρόνοια Θεοῦ. Ἡ ἀπάντηση ποὺ ἀκολουθεῖ ἀπαντᾶ περιληπτικὰ στὸ ἐρώτημα. Ὑπενθυμίζοντας τὸ Χρυ-

κατάρα, ἔπρεπε ὁπωσδήποτε καὶ ἡ γενιά του νὰ εἶναι καταραμένη, ἐνῶ βρίσκομε τὴ γενιά του νὰ ἔχει προστρέξει περισσότερο ἀπὸ τοὺς ἄλλους στὴν πίστη τοῦ Χριστοῦ[86].

ΑΠΟΚΡΙΣΗ

Παντοῦ βρίσκομε τὸ Θεὸ καὶ ὅλους τοὺς ἁγίους νὰ ἀγωνίζονται κατὰ τῆς κακίας καὶ νὰ τὴν καταριοῦνται. Ἐπειδὴ λοιπὸν πρῶτα αὐτὴ γεννιέται μέσα στὸν ἄνθρωπο ἀπὸ τὴ διάθεσή του κι ἀπὸ αὐτὴν προέρχεται ἡ ἔμπρακτη ἁμαρτία, εὔλογα ὁ Χαναὰν δέχτηκε τὴν κατάρα ὡς φορέας τῆς ἔμπρακτης ἁμαρτίας. Ἂν ὅμως θέλεις νὰ τὸ ἐξετάσεις αὐτὸ καὶ μόνο ἀπὸ τὴν κίνηση τῆς ψυχῆς, ποὺ ὑπάρχει καὶ στὰ δύο, τὸ σῶμα ἐννοῶ καὶ τὴν ψυχή, καὶ ποὺ δὲν ἔγινε τελικὰ ἕξη, αὐτὸ εἶναι ἐνέργεια τῆς ψυχῆς.

ΕΡΩΤΗΣΗ Α,82........[87]

ΑΠΟΚΡΙΣΗ

Πρόνοια λοιπὸν εἶναι ἡ φροντίδα τοῦ Θεοῦ γιὰ τὰ ὄντα. Πρόνοια εἶναι ἡ βούληση τοῦ Θεοῦ, ποὺ κάνει τὰ ὄντα νὰ βροῦν τὴν κατάλληλη διοίκησή τους[88].

σοστομικὸ πνεῦμα περὶ τῆς προνοίας τοῦ Θεοῦ θὰ λέγαμε ὅτι πρόνοια εἶναι ἡ ποικίλη καὶ σοφὴ κηδεμονία τοῦ Θεοῦ πρὸς ὅλα τὰ δημιουργήματά του καὶ κατ' ἐξοχὴν πρὸς τὴν κορωνίδα τῆς δημιουργίας του, τὸν ἄνθρωπο, πρὸς τὸν ὁποῖο ἀπὸ τοὺς ἀνεξάντλητους οὐράνιους κρουνοὺς χορηγοῦνται μὲ τόση ἀφθονία οἱ δωρεές του, ὑλικὲς καὶ πνευματικές, ἔχοντας ὡς τελικὸ σκοπὸ τὴ σωτηρία του.

88. Μαξίμου τοῦ Ὁμολογητοῦ, *Διονυσίου καὶ Γρηγορίου πρὸς Θωμᾶν τὸν ἡγιασμένον περὶ διαφόρων ἀποριῶν* (PG 91, 1189 A15–B4), Νεμεσίου Ἐμέσσης, *Ὁμιλία 43* (PG 40, 792B10–13).

ΕΡΩΤΗΣΙΣ Α,83

ΑΠΟΚΡΙΣΙΣ

Ὤφθη τῷ Ἀβραὰμ δι' ἀγγέλου, τῷ Μωυσῇ διὰ πυρὸς ἐν βάτῳ, Ἠσαΐᾳ διὰ τῶν σεραφίμ, Ἰεζεκιὴλ διὰ τῶν χερουβίμ· διαφόροις τρόποις ἑωρακέναι μεμαρτυρήκασιν οὗτοι πάντες.

ΕΡΩΤΗΣΗ Α,83 ....[89]

ΑΠΟΚΡΙΣΗ

Στὸν Ἀβραὰμ φανερώθηκε μέσω τοῦ ἀγγέλου[90], στὸ Μωυσῆ μὲ τὴ φωτιὰ στὴ βάτο[91], στὸν Ἠσαΐα μὲ τὰ σεραφίμ, [90]στὸν Ἰεζεκιὴλ μὲ τὰ χερουβίμ[92]. Ὅλοι αὐτοὶ μαρτυροῦν πὼς τὸν εἶδαν μὲ διαφορετικοὺς τρόπους[93].

---

89. Καὶ ἡ ἐρώτηση αὐτὴ θὰ ἦταν, πῶς ὁ Θεὸς φανερώθηκε στὸν ἄνθρωπο.

90. Γεν. 22,14–15.

91. Ἐξ. 3,2.

92. Ἠσ. 6,1–6.

93. Ἰεζ. 10,1–5.

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

1 – 27

ΠΑΡΑΛΛΑΓΗ Β'

ΠΑΡΑΛΛΑΓΗ Β'

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

ΕΡΩΤΗΣΙΣ Β,1 (186)

ΕΡΩΤΗΣΙΣ Β,2 (157)

ΕΡΩΤΗΣΙΣ Β,3 (Α,3)

ΕΡΩΤΗΣΙΣ Β,4 (86 Α,22 Γ,17)

ΕΡΩΤΗΣΙΣ Β,5 (Α,28)

ΕΡΩΤΗΣΙΣ Β,6

Τί ἐστι τὸ «ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό»;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὸν πρόχειρον νοῦν ὅτ' ἂν ὁμόπιστοι ὦσιν, «ἰδοὺ τὸ καλόν»· ὅτ' ἂν δὲ σύμφωνοι καὶ τοῖς ἔργοις, «ἰδοὺ τὸ τερπνόν». «Ἀδελφοὺς δὲ ἐπὶ τὸ αὐτὸ κατοικοῦντας» νόησον τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις ἢ τὴν ψυχὴν καὶ τὸ σῶμα, ὅτ' ἂν σύμφωνα ὦσι περὶ τὴν τῶν θείων γνῶσιν καὶ περὶ τὰς ἀγαθὰς πράξεις· ὅτ' ἂν γὰρ εὖ πράττωσιν, «ἰδοὺ τὸ καλόν»· ὅτ' ἂν δὲ καὶ ἡ γνῶσις συμφωνεῖ, «ἰδοὺ τὸ τερπνόν».

ΠΑΡΑΛΛΑΓΗ Β΄

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

ΕΡΩΤΗΣΗ Β,1 (186)

ΕΡΩΤΗΣΗ Β,2 (157)

ΕΡΩΤΗΣΗ Β,3 (Α,3)

ΕΡΩΤΗΣΗ Β,4 (86 Α,22 Γ,17)

ΕΡΩΤΗΣΗ Β,5 (Α,28)

ΕΡΩΤΗΣΗ Β,6

Τί θέλει νὰ πεῖ ὁ ψαλμός, «τί πιὸ ὡραῖο καὶ πιὸ εὐχάριστο ἀπὸ τὸ νὰ συγκατοικοῦν οἱ ἀδελφοὶ ὅλοι μαζί»[1];

ΑΠΟΚΡΙΣΗ

Κατὰ μιὰ πρόχειρη ἑρμηνεία, ὅταν ἔχουν τὴν ἴδια πίστη, νὰ τὸ καλό. Ὅταν πάλι εἶναι σύμφωνοι καὶ στὰ ἔργα, νὰ τὸ εὐχάριστο. Ἀδελφοὺς ποὺ συγκατοικοῦν ὅλοι μαζὶ θεώρησε τὶς τρεῖς δυνάμεις τῆς ψυχῆς ἢ τὴν ψυχὴ καὶ τὸ σῶμα, ὅταν συμφωνοῦν γύρω ἀπὸ τὴ γνώση τῶν θείων καὶ τὶς ἀγαθὲς πράξεις. Ὅταν λοιπὸν ἐνεργοῦν σωστά, αὐτὸ εἶναι τὸ καλό· κι ὅταν συμφωνεῖ καὶ ἡ γνώση, αὐτὸ εἶναι τὸ εὐχάριστο.

---

1. Ψαλμ. 132,1.

ΕΡΩΤΗΣΙΣ Β,7

«Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ».

ΑΠΟΚΡΙΣΙΣ

Μύρον ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, κεφαλὴ δὲ ὁ νοῦς, πώγων δὲ ὁ λόγος· ἐμπεριέχει γὰρ τὴν καρδίαν ὁ λόγος. Πώγων δὲ Ἀαρὼν ὁ κατασφάττων ἐστὶ τὰ πάθη λόγος καὶ ἱερουργῶν τὰς ἀρετὰς τῷ Θεῷ. Καταβαίνει δὲ ἡ τοῦ Πνεύματος χάρις καὶ ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος, τουτέστι διαδίδοται διὰ τῆς πρακτικῆς καὶ ἐπὶ τὴν ἠθικὴν φιλοσοφίαν· «ἡ» γὰρ «ᾤα τοῦ ἐνδύματος» τὸ πέρας ἐστίν.

ΕΡΩΤΗΣΙΣ Β,8

Ὡς «δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών».

ΑΠΟΚΡΙΣΙΣ

Ὄρη Σιών εἰσιν οἱ τὰ ὑψηλὰ σκοπεύοντες ἅγιοι· ἐπὶ τούτους καταβαίνει ἡ δρόσος τοῦ Ἀερμών. Ἀερμὼν δὲ 'θηρίων' ἑρμηνεύεται 'ἀποστροφή'. Φασὶ δὲ καὶ τὸν Ἰορδάνην ἐκεῖ γεννᾶσθαι ποταμόν· σημαίνει δὲ διὰ τούτων τὴν τοῦ ἁγίου βαπτίσματος χάριν· αὕτη γὰρ ἀεὶ καταβαίνει ἐπὶ τοὺς ἁγίους καὶ δι' αὐτῆς γίνεται ἡ τῶν νοητῶν θηρίων ἀποστροφή.

ΕΡΩΤΗΣΗ Β,7

«Εἶναι ὅπως τὸ μύρο ποὺ χύθηκε στὸ κεφάλι καὶ κατεβαίνει στὴ γενειάδα, τὴ γενειάδα τοῦ ἀρχιερέα Ἀαρών, ποὺ κατεβαίνει στὴν μπορντούρα τοῦ φορέματός του»[2].

ΑΠΟΚΡΙΣΗ

Μύρο εἶναι τὸ ἅγιο Πνεῦμα, κεφάλι εἶναι ὁ νοῦς, καὶ γενειάδα ὁ λόγος. Γενειάδα τοῦ Ἀαρὼν εἶναι ὁ λόγος ποὺ κατασφάζει τὰ πάθη καὶ προσφέρει τὶς ἀρετὲς θυσία στὸ Θεό. Ἡ χάρη τοῦ Πνεύματος κατεβαίνει καὶ πάνω στὴ μπορντούρα τοῦ φορέματος, διαδίδεται δηλαδὴ μὲ τὶς πράξεις καὶ στὴν ἠθικὴ φιλοσοφία, γιατὶ ἡ μπορντούρα τοῦ φορέματος εἶναι τὸ ἄκρο αὐτοῦ.

ΕΡΩΤΗΣΗ Β,8

«Σὰν τὸ δροσερὸ ἀεράκι ποὺ κατεβαίνει ἀπὸ τὸ Ἀερμὼν στὰ ὄρη τῆς Σιών»[3].

ΑΠΟΚΡΙΣΗ

Ὄρη τῆς Σιὼν εἶναι οἱ ἅγιοι ποὺ στοχεύουν τὰ ὑψηλὰ καὶ σ' αὐτοὺς κατεβαίνει τὸ δροσερὸ ἀεράκι τοῦ Ἀερμών. Ἀερμὼν ἑρμηνεύεται 'ἀποστροφὴ (ἀπέχθεια) θηρίων'. Λένε ὅτι καὶ ὁ Ἰορδάνης ποταμὸς πηγάζει ἀπὸ ἐκεῖ. Μὲ αὐτὰ σημαίνει τὴ χάρη τοῦ ἁγίου βαπτίσματος. Γιατὶ αὐτὴ κατεβαίνει ἀδιάκοπα πάνω στοὺς ἁγίους καὶ εἶναι αὐτὴ ποὺ πραγματοποιεῖ τὴν ἀποστροφὴ τῶν θηρίων.

---

2. Ψαλμ. 132, 2.
3. Ψαλμ. 132, 3α.

ΕΡΩΤΗΣΙΣ Β,9

Ὅτι «ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος».

ΑΠΟΚΡΙΣΙΣ

Ἀρραβὼν γὰρ καὶ τῶν ἀγαθῶν πάντων καὶ τῆς ἀϊδίου ζωῆς ἐστιν ἡ διὰ τοῦ ἁγίου βαπτίσματος διδομένη χάρις, ἧς μέτοχοι γενοίμεθα χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΡΩΤΗΣΙΣ Β,10 (159 Α,74)

ΕΡΩΤΗΣΙΣ Β,11 (Α,72)

ΕΡΩΤΗΣΙΣ Β,12 (Α,4)

ΕΡΩΤΗΣΙΣ Β,13 (Α,37)

ΕΡΩΤΗΣΙΣ Β,14

Πῶς νοήσομεν τὸ ἐν τῷ ἁγίῳ Διονυσίῳ γεγραμμένον, ὅτι «καὶ τὸ μὴ ὂν ἐφίεται» τοῦ Θεοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ οὐδὲν τῶν ὄντων ἐστὶν ὁ Θεός, ἀλλ' ὑπὲρ πάντα τὰ ὄντα, κατὰ τοῦτο καὶ τὸ μὴ ὂν θέσιν λαμβάνει· κυρίως γὰρ ἐπ' αὐτοῦ λέγεται τὸ μὴ ὄν, ἐπειδὴ οὐδέν ἐστι τῶν ὄντων.

ΕΡΩΤΗΣΙΣ Β,15 (133)

---

4. Ψαλμ. 132, 3α–γ.

ΕΡΩΤΗΣΗ Β,9

«Γιατὶ ἐκεῖ ὁ Κύριος ὑποσχέθηκε τὴ σωτηρία, ὑποσχέθηκε νὰ δώσει ζωὴ ὡς τὴν αἰωνιότητα»[4].

ΑΠΟΚΡΙΣΗ

Γιατὶ ἀρραβώνας καὶ ὅλων τῶν ἀγαθῶν καὶ τῆς αἰώνιας ζωῆς εἶναι ἡ χάρη ποὺ μᾶς δίνεται μέσω τοῦ ἁγίου βαπτίσματος, τῆς ὁποίας εἴθε νὰ γίνομε μέτοχοι μὲ τὴ χάρη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

ΕΡΩΤΗΣΗ Β,10 (159 Α,74)

ΕΡΩΤΗΣΗ Β,11 (Α,72)

ΕΡΩΤΗΣΗ Β,12 (Α,4)

ΕΡΩΤΗΣΗ Β,13 (Α,37)

ΕΡΩΤΗΣΗ Β,14

Πῶς θὰ ἐννοήσομε αὐτὸ ποὺ γράφει ὁ ἅγιος Διονύσιος ὅτι «καὶ τὸ μὴ ὂν ἐπιθυμεῖ τὸ Θεό»[5];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ Θεὸς δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα, ἀλλὰ εἶναι πέρα ἀπὸ ὅλα τὰ ὄντα, σύμφωνα μ' αὐτὸ λαμβάνει θέση καὶ τὸ μὴ ὄν. Κατὰ κυριολεξία τὸ μὴ ὂν λέγεται γιὰ τὸ Θεό, ἐπειδὴ δὲν εἶναι κανένα ἀπὸ τὰ ὄντα.

ΕΡΩΤΗΣΗ Β,15 (133)

---

5. Διονυσίου Ἀρεοπαγίτου, *Περὶ θείων ὀνομάτων*, IV, 18(PG 3, 713D10–716A1) καὶ Πατερικαὶ Ἐκδόσεις Γρηγόριος ὁ Παλαμᾶς, Σειρὰ Φιλοκαλία, τόμ. 3, σελ. 120,2.

ΕΡΩΤΗΣΙΣ Β,16 (40 Α,14)

ΕΡΩΤΗΣΙΣ Β,17 (Α,25)

ΕΡΩΤΗΣΙΣ Β,18

Τί ἐστιν, «εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»;

ΑΠΟΚΡΙΣΙΣ

Εὐκολώτερόν ἐστι, φησί, τὸ σκολιὸν τῶν ἐθνῶν –τοῦτο γὰρ ἡ κάμηλος– εἰσελθεῖν διὰ τῆς στενῆς καὶ τεθλιμμένης, ὅπερ ἐστὶν ἡ τρυμαλιά, εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, ἢ τῶν Ἰουδαίων τὸν λαὸν ἔχοντα νόμον καὶ προφήτας· ὥσπερ δὲ ἡ ῥαφὶς πίπτει εἰς δύο σχίσματα καὶ ἀποτελεῖ ἕν, οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅς ἐστιν ἡ ῥαφίς, συνῆψε τοὺς δύο λαούς, κατὰ τὸν Ἀπόστολον, ποιήσας τὰ ἀμφότερα ἕν. Ἀλλὰ καὶ ὁ δι' ἐγκρατείας λεπτύνας ἑαυτὸν καὶ κλώσας εὐκολώτερον εἰσέρχεται διὰ τῆς στενῆς πύλης εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἢ πλούσιος ὁ τραπέζῃ καὶ ἀνθρωπίνῃ δόξῃ ἑαυτὸν ἐμπλατύνων ἀεί.

ΕΡΩΤΗΣΙΣ Β,19 (43)

ΕΡΩΤΗΣΙΣ Β,20 (140)

ΕΡΩΤΗΣΙΣ Β,21 (142 Α,62)

---

6. Μάρκ. 10,25. Ματθ. 19,24.

ΕΡΩΤΗΣΗ Β,16 (40 Α,14)

ΕΡΩΤΗΣΗ Β,17 (Α,25)

ΕΡΩΤΗΣΗ Β,18

Τί σημαίνει ὁ λόγος, «εἶναι πιὸ εὔκολο νὰ περάσει καμήλα ἀπὸ τὴν τρύπα τῆς βελόνας, παρὰ νὰ εἰσέλθει πλούσιος στὴ βασιλεία τῶν οὐρανῶν»[6];

ΑΠΟΚΡΙΣΗ

Πιὸ εὔκολο, λέει, εἶναι οἱ δύστροποι ἐθνικοὶ –γιατὶ αὐτὸ εἶναι ἡ καμήλα– νὰ εἰσέλθουν ἀπὸ τὴ στενὴ καὶ θλιμμένη πύλη[7] –πράγμα ποὺ εἶναι ἡ τρύπα τῆς βελόνας– στὴ βασιλεία τῶν οὐρανῶν, παρὰ ὁ ἰουδαϊκὸς λαός, ἂν καὶ ἔχει τὸ νόμο καὶ τοὺς προφῆτες. Κι ὅπως ἡ βελόνα περνάει ἀνάμεσα ἀπὸ δυὸ κομμάτια καὶ τὰ ἑνώνει σὲ ἕνα, ἔτσι καὶ ὁ Κύριός μας Ἰησοῦς Χριστός, ποὺ εἶναι ἡ βελόνα, ἕνωσε τοὺς δύο λαούς, κάνοντας, κατὰ τὸν Ἀπόστολο, τὰ δύο ἕνα[8]. Ἀλλὰ κι αὐτὸς ποὺ μὲ τὴν ἐγκράτειά του ἔκανε λεπτὸ τὸν ἑαυτό του καὶ τὸν ἔστριψε σὰν τὴν κλωστὴ μπαίνει εὐκολότερα ἀπὸ τὴ στενὴ πύλη στὴ βασιλεία τῶν οὐρανῶν, παρὰ ὁ πλούσιος ποὺ παχαίνει ἀδιάκοπα ἀπὸ φαγητὰ καὶ ἀπὸ ἀνθρώπινη δόξα.

ΕΡΩΤΗΣΗ Β,19 (43)

ΕΡΩΤΗΣΗ Β,20 (140)

ΕΡΩΤΗΣΗ Β,21 (142 Α,62)

---

7. Ματθ. 7,14.
8. Ἐφεσ. 2,14.

ΕΡΩΤΗΣΙΣ Β,22 (44)

ΕΡΩΤΗΣΙΣ Β,23 (Γ,2)

Διατί οἱ πρῴην ἄνθρωποι ἔζων πολλὰ ἔτη, οἱ δὲ τελευταῖοι ὀλίγα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ πάντῃ ἀθεΐαν ἐνόσουν οἱ πρῴην, ᾠκονόμησεν ὁ Θεὸς πολὺν αὐτοὺς χρόνον παρακατέχεσθαι ἐν τῇ ζωῇ ταύτῃ, ὅπως διὰ τῶν ἀλλεπαλλήλων συμβάσεων εἰς αἴσθησιν αὐτοὺς ἀγάγῃ, ὅτι ἔστι τις πρόνοια ἡ τὴν ποικίλην τῶν γινομένων διεξάγουσα κίνησιν. Ἡ δὲ τελευταία γενεά, ἐπειδὴ γνῶσιν ἔλαβε τοῦ τε γραπτοῦ νόμου καὶ τοῦ πνευματικοῦ, διὰ τοῦτο οὐ παρακατέχεται τῇ πολυχρονίῳ ζωῇ.

ΕΡΩΤΗΣΙΣ Β,24 (135)

ΕΡΩΤΗΣΙΣ Β,25 (149 Α,63)

ΕΡΩΤΗΣΙΣ Β,26 (24)

ΕΡΩΤΗΣΙΣ Β,27 (Α,68)

ΕΡΩΤΗΣΗ Β,22 (44)

ΕΡΩΤΗΣΗ Β,23

Γιατί οἱ πρῶτοι ἄνθρωποι ζοῦσαν πολλὰ χρόνια ἐνῶ οἱ σημερινοὶ λίγα;

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ οἱ πρῶτοι ἦταν βουτηγμένοι στὴ νόσο τῆς ἀθεΐας, οἰκονόμησε ὁ Θεὸς νὰ μένουν γιὰ πολὺ χρόνο στὴ ζωὴ αὐτή, γιὰ νὰ τοὺς φέρει σὲ συναίσθηση μὲ ἀλλεπάλληλα γεγονότα, ὅτι ὑπάρχει κάποια πρόνοια ποὺ διευθύνει τὴν ποικιλότροπη κίνηση ὅσων γίνονται. Ἡ τελευταία ὅμως γενιά, μιὰ κι ἔλαβε γνώση καὶ τοῦ γραπτοῦ νόμου καὶ τοῦ πνευματικοῦ, γι' αὐτὸ δὲν κρατεῖται σὲ πολλῶν χρόνων ζωή.

ΕΡΩΤΗΣΗ Β,24 (135)

ΕΡΩΤΗΣΗ Β,25 (149 Α,63)

ΕΡΩΤΗΣΗ Β,26 (24)

ΕΡΩΤΗΣΗ Β,27 (Α,68)

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

1 – 26

ΠΑΡΑΛΛΑΓΗ Γ′

ΠΑΡΑΛΛΑΓΗ Γ'

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

ΕΡΩΤΗΣΙΣ Γ,1

Τί ἐστι τὸ «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν», καὶ ὑποκαταβὰς λέγει «καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν» καὶ παρέλειπεν τὸ «καθ' ὁμοίωσιν»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ πρῶτος τοῦ Θεοῦ σκοπὸς ἦν τὸ ἄνθρωπον γενέσθαι «κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν», ἔστι δὲ τὸ κατ' εἰκόνα ἡ ἀφθαρσία, ἡ ἀθανασία, τὸ ἀόρατον, ἅπερ εἰκονίζει τὸ θεῖον, ταῦτα δέδωκεν ἔχειν τῇ ψυχῇ, δεδωκὼς αὐτῇ μετὰ τούτων καὶ τὸ αὐτοδέσποτον καὶ αὐτεξούσιον, ἅπερ πάντα τῆς οὐσίας τοῦ Θεοῦ εἰσιν εἰκονίσματα. Τὸ δὲ «καθ' ὁμοίωσίν» ἐστιν ἡ ἀπάθεια, τὸ πρᾷον, τὸ μακρόθυμον καὶ τὰ λοιπὰ τῆς ἀγαθότητος τοῦ Θεοῦ γνωρίσματα, ἅπερ πάντα ἐνεργείας Θεοῦ εἰσιν παραστατικά. Τὰ οὖν τῆς οὐσίας αὐτοῦ, ἅπερ τὸ κατ' εἰκόνα δηλοῦσιν, δέδωκε φυσικῶς τῇ ψυχῇ· ἃ

1. Γεν. 1,26.
2. Γεν. 1,27.

ΠΑΡΑΛΛΑΓΗ Γ'

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

ΕΡΩΤΗΣΗ Γ,1

Τί σημαίνει τὸ «ἂς κάνομε τὸν ἄνθρωπο σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Θεοῦ καὶ τὴν ὁμοίωσή του»[1] καὶ γιατὶ λίγο πιὸ κάτω λέει «καὶ ἔπλασε ὁ Θεὸς τὸν ἄνθρωπο, τὸν ἔπλασε σύμφωνα μὲ τὴν εἰκόνα τοῦ Θεοῦ»[2] παραλείποντας νὰ πεῖ «καὶ τὴν ὁμοίωσή του»[3];

ΑΠΟΚΡΙΣΗ

Ἐπειδὴ ὁ ἀρχικὸς σκοπὸς τοῦ Θεοῦ ἦταν νὰ γίνει ὁ ἄνθρωπος «εἰκόνα καὶ ὁμοίωση τοῦ Θεοῦ» καὶ τὸ «κατ' εἰκόνα» εἶναι ἡ ἀφθαρσία, ἡ ἀθανασία, τὸ ἀόρατο, πράγματα ποὺ εἰκονίζουν τὴ θεότητα, αὐτὰ ἔδωσε κτήματα τῆς ψυχῆς. Μαζὶ μ' αὐτὰ τῆς ἔδωσε νὰ εἶναι καὶ αὐτοκυβέρνητη καὶ αὐτεξούσια, πράγματα ποὺ ὅλα εἶναι ἀπεικονίσεις τῆς οὐσίας τοῦ Θεοῦ. Τὸ «κατὰ τὴν ὁμοίωσή του» εἶναι ἡ ἀπάθεια, ἡ πραότητα, ἡ μακροθυμία καὶ τὰ λοιπὰ γνωρίσματα τῆς ἀγαθότητας τοῦ Θεοῦ, ποὺ ὅλα τους παραστάνουν τὴν ἐνέργεια τοῦ Θεοῦ. Τὰ γνωρίσματα λοιπὸν τῆς οὐσίας, ποὺ δηλώνουν τὸ «κατ' εἰκόνα»[4] τὰ ἔδωσε στὴν ψυχὴ ὡς φυσικὲς ἰδιότη-

3. Γεν. 1,26.
4. Γεν. 1,26 καὶ 27.

δὲ τῆς ἐνεργείας εἰσὶν τοῦ Θεοῦ, τὸ «καθ' ὁμοίωσιν» χαρακτηρίζοντα, ταῦτα τῇ ἡμετέρᾳ αὐτεξουσίῳ ἀφῆκε γνώμῃ, ἀναμένων τοῦ ἀνθρώπου τὸ τέλος, εἴ πως ἑαυτὸν διὰ τῆς μιμήσεως τῶν θεοπρεπῶν τῆς ἀρετῆς γνωρισμάτων τῷ Θεῷ ὅμοιον καταστήσῃ· διὰ τοῦτο οὖν παρέλειπεν ἡ θεία Γραφὴ ἐν τοῖς μετὰ ταῦτα λεχθεῖσιν τὸ «καθ' ὁμοίωσιν».

ΕΡΩΤΗΣΙΣ Γ,2(Β,23)

ΕΡΩΤΗΣΙΣ Γ,3 (8)

ΕΡΩΤΗΣΙΣ Γ,4 (12)

ΕΡΩΤΗΣΙΣ Γ,5 (14 Α,42)

ΕΡΩΤΗΣΙΣ Γ,6 (21)

ΕΡΩΤΗΣΙΣ Γ,7 (28)

ΕΡΩΤΗΣΙΣ Γ,8 (36 Α,47)

ΕΡΩΤΗΣΙΣ Γ,9 (38)

ΕΡΩΤΗΣΙΣ Γ,10 (39)

ΕΡΩΤΗΣΙΣ Γ,11 (50, Α,15)

ΕΡΩΤΗΣΙΣ Γ,12 (59, Α,59)

ΕΡΩΤΗΣΙΣ Γ,13 (72, Α,17)

ΕΡΩΤΗΣΙΣ Γ,14 (78, Α,19)

ΕΡΩΤΗΣΙΣ Γ,15 (81)

ΕΡΩΤΗΣΙΣ Γ,16 (83, Α,20)

ΕΡΩΤΗΣΙΣ Γ,17 (86, Α,22 Β,4)

ΕΡΩΤΗΣΙΣ Γ,18 (87)

ΕΡΩΤΗΣΙΣ Γ,19 (91, Α,23)

ΕΡΩΤΗΣΙΣ Γ,20 (96)

ΕΡΩΤΗΣΙΣ Γ,21 (97)

ΕΡΩΤΗΣΙΣ Γ,22 (100)

ΕΡΩΤΗΣΙΣ Γ,23 (108)

ΕΡΩΤΗΣΙΣ Γ,24 (112)

ΕΡΩΤΗΣΙΣ Γ,25 (123· Α,59)

ΕΡΩΤΗΣΙΣ Γ,26 (126, Α,60)

τες, ἐκεῖνα ὅμως ποὺ εἶναι γνωρίσματα τῆς ἐνέργειας τοῦ Θεοῦ καὶ χαρακτηρίζουν τὸ «κατὰ τὴν ὁμοίωσή του»[5], αὐτὰ τὰ ἄφησε στὴ δική μας αὐτεξούσια γνώμη, περιμένοντας τὸ τέλος τοῦ ἀνθρώπου νὰ δεῖ ἐὰν θὰ κάνει τὸν ἑαυτό του ὅμοιο μὲ τὸ Θεὸ μὲ τὴ μίμηση τῶν θεοπρεπῶν γνωρισμάτων τῆς ἀρετῆς. Γι' αὐτὸ λοιπὸν παρέλειψε ἡ θεία Γραφὴ στὴ συνέχεια τὸ «κατὰ τὴν ὁμοίωσή του».

ΕΡΩΤΗΣΗ Γ,2 (Β,23)

ΕΡΩΤΗΣΙΣ Γ,3 (8)

ΕΡΩΤΗΣΙΣ Γ,4 (12)

ΕΡΩΤΗΣΙΣ Γ,5 (14 Α,42)

ΕΡΩΤΗΣΙΣ Γ,6 (21)

ΕΡΩΤΗΣΙΣ Γ,7 (28)

ΕΡΩΤΗΣΙΣ Γ,8 (36 Α,47)

ΕΡΩΤΗΣΙΣ Γ,9 (38)

ΕΡΩΤΗΣΙΣ Γ,10 (39)

ΕΡΩΤΗΣΙΣ Γ,11 (50, Α,15)

ΕΡΩΤΗΣΙΣ Γ,12 (59, Α,59)

ΕΡΩΤΗΣΙΣ Γ,13 (72, Α,17)

ΕΡΩΤΗΣΙΣ Γ,14 (78, Α,19)

ΕΡΩΤΗΣΙΣ Γ,15 (81)

ΕΡΩΤΗΣΙΣ Γ,16 (83, Α,20)

ΕΡΩΤΗΣΙΣ Γ,17 (86, Α,22 Β,4)

ΕΡΩΤΗΣΙΣ Γ,18 (87)

ΕΡΩΤΗΣΙΣ Γ,19 (91, Α,23)

ΕΡΩΤΗΣΙΣ Γ,20 (96)

ΕΡΩΤΗΣΙΣ Γ,21 (97)

ΕΡΩΤΗΣΙΣ Γ,22 (100)

ΕΡΩΤΗΣΙΣ Γ,23 (108)

ΕΡΩΤΗΣΙΣ Γ,24 (112)

ΕΡΩΤΗΣΙΣ Γ,25 (123 Α,59)

ΕΡΩΤΗΣΙΣ Γ,26 (126, Α,60)

ΠΡΟΣ ΘΕΟΠΕΜΠΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ

ΠΡΟΣ ΘΕΟΠΕΜΠΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ

Ἐρωτήσαντα περὶ τοῦ κριτοῦ τῆς ἀδικίας καὶ τοῦ «ἐάν τις σε ραπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα», καὶ τοῦ «μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα».

Οἷς Λόγος ὑπάρχει τὸ προσκυνούμενον, τούτοις καὶ βίος ἐκφάντωρ Λόγου τὸ κατορθούμενον, ἵνα, σφραγῖδα γνώσεως ἀληθοῦς τὴν πεῖραν λαβόντες τῆς πράξεως, μάθωσιν ἀφ' ὧν, ὡς θέμις, πεπόνθασιν, ὅσον τοῦ τί εἰδέναι, μεῖζον τὸ γίνεσθαι, καὶ τούτου μᾶλλον, τὸ ἀεὶ καὶ μᾶλλον, ἕως ἂν αὐτοῖς ἡ πρὸς τὸν αἴτιον ἀδίστακτος οἰκείωσις κατορθωθείη, στάσει τὴν κίνησιν περιγράφουσα καὶ ἀτρεψίᾳ γνώμης τὴν ἔφεσιν, οἷς καὶ ἡ κατὰ χάριν ἐκθέωσις, ἱερᾶς τῆς κατὰ τόνδε τὸν βίον καὶ θεοειδοῦς ἀγωγῆς ἔπαθλον ἀντιδίδοται. Πρὸς οὓς μάλα σοφῶς καὐτὸς ἀπευθύνων τὸν βίον, θεοφύλακτε δέσποτα, ζητεῖν ἐπείγῃ τὸ πᾶσι προκείμενον δι' ἀγαθότητα καὶ πάντας δι' ἀπειρίαν διαδιδράσκον· τὸ μέν, ἵν' ἑλκύσῃ πρὸς ἑαυτό, τῷ ἀμηχάνῳ τῆς ὡραιότητος κεντρίζων τὴν ἔφεσιν, τὸ δέ, ἵνα στομώσῃ, τῇ τῆς ὑπεραπείρου καταπλήξει καὶ θείας ὑπεροχῆς περιστέλλον τὸν κόρον, ὕβρεως ὄντα πατέρα καὶ διαχύσεως γέννημα, τοῖς τὴν φλογίνην ρομφαίαν οὐ προθεωροῦσι σὺν τοῖς Χερουβὶμ τεταγμένην καὶ στρεφομένην, οὐκ ἄλλοις, ἢ τοῖς δίχα φόβον πρὸς

1. Λουκᾶ 18,6.
2. Λουκᾶ 6,29.

ΠΡΟΣ ΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟ ΘΕΟΠΕΜΠΤΟ

Ποὺ ρώτησε γιὰ τὸν κριτὴ τῆς ἀδικίας[1] καὶ γιὰ τὸ «ἂν σὲ χτυπήσει κάποιος στὸ δεξὶ μάγουλο»[2] καὶ ἐπίσης γιὰ τὸ «μὴ μὲ ἀγγίζεις, γιατὶ δὲν ἔχω ἀκόμα ἀνεβεῖ στὸν Πατέρα μου»[3].

Γιὰ ὅποιους προσκυνοῦν τὸ Λόγο, γι' αὐτοὺς καὶ τὸ κατόρθωμά τους εἶναι ὁ βίος ποὺ ἀντικατοπτρίζει τὸ Λόγο, ὥστε, ἔχοντας τὴν πείρα τῆς πράξης ὡς σφραγίδα τῆς ἀληθινῆς γνώσης, νὰ μάθουν, ὅπως εἶναι φυσικό, ἀπὸ ὅσα ἔπαθαν, πόσο σημαντικότερο εἶναι ἀπὸ τὸ νὰ γνωρίζουν κάτι τὸ νὰ γίνουν κάτι. Καὶ περισσότερο ἀπὸ αὐτό, τὸ νὰ γίνονται ἀνώτεροι ὅλο καὶ περισσότερο, ὥσπου νὰ κατορθωθεῖ ἡ ἀναμφίβολη οἰκείωσή τους μὲ τὸν Αἴτιο, ποὺ θὰ περιορίσει τὴν κίνηση μὲ τὴ στάση καὶ τὴν ἔφεση μὲ τὴ σταθερότητα τῆς γνώμης. Σ' αὐτοὺς καὶ ἡ κατὰ χάρη θέωση ἀντιδωρίζεται ὡς ἔπαθλο τῆς ἅγιας καὶ θεϊκῆς συμπεριφορᾶς κατὰ τὴ ζωὴ αὐτή. Πρὸς αὐτοὺς καὶ ἐσὺ μὲ πολλὴ σοφία στοιχίζοντας τὴ ζωή σου, θεοφύλακτε δέσποτα, βιάζεσαι νὰ ζητήσεις αὐτὸ ποὺ εἶναι ἀπὸ ἀγαθότητα μπροστὰ στὰ μάτια ὅλων κι ὡστόσο ξεφεύγει ἀπὸ ὅλους ἐξαιτίας τῆς ἀπεραντοσύνης του, ἀπὸ τὴ μιὰ γιὰ νὰ ἑλκύσει πρὸς τὸν ἑαυτό του κεντρίζοντας τὴν ἐπιθυμία μὲ τὸ ἀμήχανο κάλλος του, καὶ ἀπὸ τὴν ἄλλη, γιὰ νὰ περιορίσει καὶ νὰ στομώσει μὲ τὴν κατάπληξη τῆς ὑπεράπειρης καὶ θείας ὑπεροχῆς τὸν κόρο, ποὺ εἶναι πατέρας τῆς ὕβρης καὶ γέννημα τῆς διάχυσης, γιὰ ὅσους δὲ βλέπουν μπροστά τους τὴ φλόγινη ρομφαία ποὺ περιστρέφεται στὰ χέρια τῶν Χερουβίμ, ὄχι γιὰ ἄλλους βέβαια, ἀλλὰ γι' αὐ-

3. Ἰω. 20,27.

ἀρετὴν ἐπιστρέφουσιν· ἔνθεν τῷ μεγέθει τῆς ἐπὶ τὰ καλὰ προκοπῆς συνεπεκτείνων τὸ μέτρον, ᾧ καὶ μᾶλλον ἐπαύξεις σὺν ἀσφαλείᾳ τὴν πρόοδον, ἠξίωσας, ἀγνώτην ὄντα με καὶ ταπεινόν, ἐπιγνῶναι, δι' οὗ τοῖς κατ' αὐτὴν ἡ φύσις τρόπου παρείχετο· φημὶ δὲ τοῦ γράμματος, ὃ λόγος συνδετικὸς τῶν ἀπόντων ἐστὶ καὶ τῶν οὐ βλεπομένων ἐμφανιστικός· τοσοῦτον νοήσει παραδιδοὺς καὶ συνάπτων τὸν τέως αἰσθήσει μὴ γνωριζόμενον, ὅσον διὰ ταύτης αὐτὸς χαραττόμενος παχύνεται σωματούμενος, ᾧ καὶ τὴν ἐμὴν οὐδένειαν εἰς πόθον ἤγαγες τὸν ὑμέτερον πλέον, ἢ θέαν τὴν οἰκείαν ἀσωμάτως κεκίνηκας· προδείξας αὐτὸν ἐπ' ἀμφοῖν τούτοιν ἔχειν μᾶλλον τὸ ἴσον περὶ τὸν λόγον, ἢ ὅσον ἕτεροι περὶ σὲ τὴν τοῦ λόγου χάριν παρὰ τοὺς ἄλλους προτερήματα, οἷς διὰ βίου κοσμούμενος, πῶς ποτε τὴν ἐμὴν ἀμβλυωπίαν πρὸς θεωρίαν ἐνάγειν ἐσπούδασας, ἱερῶν καὶ ταῦτα λόγων, καὶ ὧν ἡ ἐπίβασις, κρεῖττον ἢ κατὰ ἄνθρωπον, τὸν οὔπω τελείως ὑπεραναβάντα τὴν τῶν ἀστάτων καὶ διαστατῶν φύσιν καὶ γένεσιν· μὴ ὅτι γ' ἐμοὶ τῷ φορυτῷ τούτων ἑκουσίως συμφυρομένῳ καὶ σκώληκος δίκην τῇ σήψει τῶν ἀκαθάρτων καλινδουμένῳ καὶ ἡδομένῳ παθῶν. Πλὴν τῆς εὐπειθείας χάριν καὶ τῆς ὑμετέρας ἀγάπης τιμήν, τῶν ὑπὲρ ἀξίαν κατατολμῶν, ἐκεῖνά φημι περὶ ὧν ἐκελεύσατε, σχολαστικῶς, ἀλλ' οὐκ ἀποφαντικῶς.

Κριτὴν ἀδικίας ἐν τῷ Εὐαγγελίῳ παραβολικῶς ὑπάρχειν καὶ λέγεσθαι τὸν ἡμέτερον λογισμόν, ἀρχῆθεν ἐκ παραβάσεως ἄδικον πεποιημένον τὴν κρίσιν, ὡς τὴν τοῦ Κτίσαντος μὲν οὐ δεξάμενον ἐντολήν, τὴν δὲ τοῦ φθείροντος ἑλόμενον συμβουλήν, ἐξ οὗ καὶ τὸ χοϊκὸς εἶναι, τοῦ εἶναι, καὶ τοῦ θεὸς γενέσθαι πάμπολυ προετίμησε. Πόλιν δὲ εἶναι τούτου τὴν αἴσθησιν ἢ τὸν ὁρώμενον κόσμον, οἷς παραλόγως κατὰ σχέσιν ἐπαναπαυόμε-

τοὺς ποὺ δίχως φόβο βαδίζουν πρὸς τὴν ἀρετή[4]. Ἔτσι, μαζὶ μὲ τὸ μέγεθος τῆς προκοπῆς σου στὰ καλὰ συνεπεκτείνοντας τὴ μετριοπάθειά σου, μὲ τὴν ὁποία αὐξάνεις μὲ ἀσφάλεια ἀκόμα περισσότερο καὶ τὴν προόδό σου, ἔκρινες ἄξιο ἐμένα τὸν ἀμαθὴ καὶ ταπεινὸ νὰ κατανοήσω μὲ ποιόν τρόπο ἡ φύση προσφερόταν μὲ τὶς δικές της δυνάμεις, κι ἐννοῶ μὲ τὴ γραφὴ ἐπιστολῆς, ποὺ εἶναι λόγος ποὺ μᾶς συνδέει μὲ ὅσους ἀπουσιάζουν καὶ φέρνει μπροστά μας ὅσους δὲ φαίνονται, παραδίνοντας στὴ σκέψη καὶ συνάπτοντας μαζί της αὐτὸν ποὺ δὲν ἦταν γνωστὸς στὴν αἴσθηση τόσο σαφῶς, ὅσο αὐτὸς χαραγμένος ἀπὸ τὴ γραφὴ παίρνει σῶμα χειροπιαστό. Μὲ αὐτὸ ὤθησες καὶ τὴ δική μου μηδαμινότητα νὰ ποθήσω περισσότερο ἐσένα, κάνοντάς με νὰ δῶ ἀσώματη τὴν παρουσία σου, καὶ ἔδειξες ὅτι καὶ στὰ δύο αὐτὰ εἶσαι ἴσος στὴ δύναμη τοῦ λόγου πιὸ πολὺ ἀπὸ ὅσο ἄλλοι στὴ χάρη τοῦ λόγου σὲ σχέση μ' ἐσένα. Μὲ αὐτὰ μ' ἀνέβασες στὴ θεωρία καὶ μάλιστα θεωρία λόγων ἱερῶν καὶ ποὺ ἡ προσέγγισή τους εἶναι πάνω ἀπὸ τὴ δύναμη ἀνθρώπου ποὺ δὲν ἔχει ξεπεράσει ἀκόμα ὁλότελα τὴ φύση καὶ τὴ γένεση τῶν ἄστατων καὶ ἔκτατων πραγμάτων, χωρὶς βέβαια αὐτὸ νὰ σημαίνει πὼς ἐγὼ ἀνακατώνομαι θέλοντας μέσα σ' αὐτὸν τὸ βοῦρκο καὶ σέρνομαι σὰν τὸ σκουλήκι μέσα στὴ σαπίλα καὶ τὴν ἀκαθαρσία κι εὐχαριστιέμαι μὲ τὰ πάθη. Ὡστόσο γιὰ χάρη τῆς ὑπακοῆς καὶ γιὰ νὰ τιμήσω τὴ δική σου ἀγάπη τολμώντας σὲ θέματα ποὺ ξεπερνοῦν τὴν ἀξία μου θὰ μιλήσω γι' αὐτὰ ποὺ μὲ παρακαλεῖς.

Κριτὴς τῆς ἀδικίας μέσα στὸ Εὐαγγέλιο ὑπάρχει καὶ λέγεται παραβολικὰ ὁ λογισμός μας ποὺ ἀπὸ τὴν ἀρχὴ ἐξαιτίας τῆς παράβασης ἔκανε ἄδικη τὴν κρίση του, ἀφοῦ δὲν δέχτηκε τὴν ἐντολὴ τοῦ κτίστη του καὶ προτίμησε τὴ συμβουλὴ τοῦ καταστροφέα του, ἐξαιτίας τοῦ ὁποίου προτίμησε κατὰ πολὺ περισσότερο τὸ νὰ εἶναι χοϊκός, ἀπὸ τὸ νὰ εἶναι καὶ νὰ γίνει θεῖος. Πόλη γι' αὐτὸν εἶναι ἡ αἴσθηση ἢ ὁ ὁρατὸς κόσμος, καὶ σ' αὐτὸν νιώθοντας ἀνάπαυση μὲ μιὰ παράλογη σχέση ἄλλαξε τὴν

---

4. Γεν. 3,24.

νος, τῆς κατοικίας τὴν παροικίαν ἠλλάξατο, μήτε Θεὸν φοβούμενος, μήτε μὴν ἄνθρωπον τὸν αὐτὸν γεγενημένον δι' ἡμᾶς ἐντρεπόμενος· τὸ μὲν διὰ τὴν ἄνοιαν, τὸ δὲ διὰ τὴν καταφρόνησιν· ἐκείνην τε μὴ προορωμένην τῶν κριμάτων τὸ μέγεθος καὶ ταύτην οὐκ εἰργομένην, ἣν τέως ἡ χρηστότης προσμένουσα τὴν μεταβολὴν ἀναστέλλει, τὴν βάσανον· αἷς ἑαυτὸν αὐθαδῶς περιέσπειρε, τῇ δεομένῃ παρὰ τοῦ Κτίσαντος εἰς ἐξάνυσιν τῶν καθηκόντων αὐτεξουσίῳ τιμῇ παρὰ τὸ δέον ἀποχρησάμενος, καὶ τοῦ νοουμένου τὸ φανὲν ἀγαθὸν κρίνας, ὃ μὴ θέμις ἦν, αἱρετώτερον.

Χήραν δὲ διοχλοῦσαν, τὴν λογικὴν ψυχήν, ἅτε δὴ πρὸς καρπογονίαν ἱερῶν καὶ ὁσίων ἔργων οὐκ ἔχουσαν τὸν τὰ καλὰ κατὰ φύσιν σπείροντα λόγον. Μόνῃ τῇ πρὸς αὐτὴν ὁλικῇ ταύτῃ στοργῇ καὶ διαθέσει κρατούμενον, ἀλλ' οὐ προσμένοντας διὰ τὴν ἀπόνευσιν καὶ τὴν αὐθαίρετον πρὸς τὰ τῇδε ῥοπήν.

Ἀντίδικὸν δὲ ταύτης, φημὶ τῆς ψυχῆς, τὸ τῆς δυστήνου σαρκὸς ἔνυλον κίνημά τε καὶ φρόνημα, δι' οὗ τῆς ἐν ἡμῖν θείας εἰκόνος καὶ τοῦ κατ' αὐτὴν ἀξιώματος, τό τε κάλλος καταμολύνειν σπουδάζουσι, καὶ τὸ διαυγὲς ἀμαυροῦν οἱ ἀκάθαρτοι δαίμονες, ὁπηνίκα, δι' ἡδονῆς ὑποπίπτουσιν, ἐπεισφρήσουσι δεινῶς ἡμῖν τὰ τῆς ἀτιμίας αἴσχη καὶ πάθη, δι' ἃ καὶ ὁ θάνατος κατεκρίθη τῆς φύσεως, οὐχ ἑλομένης τὸ ἀπαρχῆς τῆς ὄντως κατατρυφῆσαι ζωῆς.

Ὑπωπιασμοὺς δὲ τοὺς ἐκ τῆς συνειδήσεως μεθ' ὑποφωνήσεώς τινος παρακλητικοὺς αἰκισμούς, οἷς προτινομένοις ἐκ τῆς ψυχῆς, ἠρέμα πως εἴωθεν κάμπτεσθαι τὸ αὐστηρὸν τοῦ λογισμοῦ καὶ πρὸς τὰ καλὰ διὰ τὴν χρονιωτέραν ἕξιν ἀνύπεικτον, οὐ φέροντος ἐνδομυχοῦσαν, καὶ οἷον αἰκίζουσάν τε συνεχῶς καὶ διοχλοῦσαν τὴν βάσανον, ἕως λυμήνηται τὰ τὴν ψυχὴν λυμαινόμενα πάθη, δι' ἐγκρατείας καὶ τῆς πρὸς τὰ μέλη τῆς σαρκὸς

κατοικία μὲ παροικία καὶ οὔτε τὸ Θεὸ φοβόταν οὔτε καὶ αὐτὸν τὸν ἴδιο τὸν ντρεπόταν, ὅταν ἔγινε γιὰ χάρη μας ἄνθρωπος. Καὶ τὰ ἔκανε αὐτὰ τὸ πρῶτο ἐξαιτίας τῆς ἀνοησίας του, καὶ τὸ δεύτερο λόγω τῆς περιφρόνησής του. Ἡ ἀνοησία του δὲν μποροῦσε νὰ προβλέψει τὸ μέγεθος τῶν κριμάτων του, καὶ ἡ περιφρόνηση δὲν ἐμποδίζει τὴν τιμωρία, ποὺ ὣς τότε ἡ ἀγαθότητά του, ἀναμένοντας τὴ μεταβολή, τὴν ἀναστέλλει. Κυριευμένος λοιπὸν ἀπὸ αὐτὲς ἔκαμνε μὲ αὐθάδεια διαφορετικὴ ἀπὸ ὅ,τι ἔπρεπε χρήση τῆς αὐτεξούσιας τιμῆς, μὲ τὴν ὁποία τὸν τίμησε ὁ Κτίστης γιὰ τὴν ἐκτέλεση τῶν καθηκόντων του, κι ἔκρινε προτιμότερο, πράγμα ποὺ δὲν ἦταν ἐπιτρεπτό, τὸ φαινόμενο ἀγαθὸ ἀπὸ τὸ νοητό.

«Χήρα ποὺ ἐνοχλοῦσε» εἶναι ἡ λογικὴ ψυχή, ἐπειδὴ δὲν διαθέτει τὸ λόγο ποὺ σπέρνει τὰ κατὰ φύση καλὰ γιὰ τὴν καρπογονία ἱερῶν καὶ ὅσιων ἔργων· αὐτὸς συγκρατεῖται μὲ μόνη τὴν ὁλικὴ πρὸς αὐτὴν στοργὴ καὶ διάθεση, ἀλλὰ δὲν παραμένει, ἐξαιτίας τῆς ἀπόκλισης καὶ τῆς αὐθαίρετης ροπῆς πρὸς τὰ γήινα.

Ἀντίδικος τῆς χήρας, ἐννοῶ τῆς ψυχῆς, εἶναι τὸ ἔνυλο κίνημα καὶ φρόνημα τῆς δύστυχης σάρκας, μὲ τὸ ὁποῖο ἐπιχειροῦν οἱ ἀκάθαρτοι δαίμονες νὰ καταμολύνουν τὸ κάλλος τῆς θείας εἰκόνας μέσα μας καὶ τῆς ἀξίας της καὶ ν' ἀμαυρώσουν τὴ διαύγειά της, ὅταν, παρασυρμένοι ἀπὸ τὴν ἡδονή, δεχτοῦμε νὰ εἰσδύσουν μέσα μας φοβερὰ τὰ αἴσχη καὶ τὰ πάθη τῆς ἀτιμίας. Γι' αὐτὸ καὶ ἡ ἀνθρώπινη φύση κατακρίθηκε σὲ θάνατο, ἐπειδὴ δὲν προτίμησε ἀπὸ τὴν ἀρχὴ τὴν ἀπόλαυση τῆς ἀληθινῆς ζωῆς.

Ὑπωπιασμοὺς θεωρῶ τὶς τύψεις τῆς συνείδησης ποὺ προτρέπουν χαμηλόφωνα, μὲ τὶς ὁποῖες, καθὼς τὶς προβάλλει ἡ ψυχή, συνήθως λυγίζει ἤρεμα ἡ αὐστηρότητα τοῦ λογισμοῦ καὶ ἡ ἀνυπακοή του πρὸς τὰ καλὰ ἐξαιτίας τῆς πολύχρονης συνήθειας, ποὺ δὲν ὑπομένει νὰ συνεχίζεται στὰ βάθη μας τὸ βασάνισμα αὐτὸ καὶ κατὰ κάποιο τρόπο νὰ μᾶς κακοποιεῖ καὶ νὰ μᾶς ἐνοχλεῖ, ὥσπου νὰ καταστρέψει μὲ τὴν ἐγκράτεια καὶ τὴν ἑκούσια νέκρωση τῶν μελῶν τοῦ σώματος τὰ πάθη ποὺ λυμαίνονται

ἑκουσίου νεκρώσεως. Εἶτα καὶ πρὸς ἀγχιστείαν αὐτοῦ τοῦ λόγου δι' εὐσεβείας καὶ τῆς περὶ τὰ κρείττω τελεωτέρας ἀγάγοι σπουδῆς, οἷς φυσικῶς ἐνεργουμένοις, τὰ οἰκεῖα καὶ πατρικὰ παραβάλλων, ὁ ὑπὲρ οὐσίαν καὶ φύσιν Θεὸς Κύριος ἡμῶν Ἰησοῦς Χριστός, «ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ», φησί, «τὴν ἐκδίκησιν ὑμῶν», δι' ἐμοῦ σαρκωθέντος καὶ τὴν τοῦ καθαιρέτου τῆς φύσεως ποιουμένου τὴν καθαίρεσιν.

Οὕτω μὲν οὖν τὰ περὶ τούτου διεξῆλθον ἐπιτόμως ἐγώ, καθ' ὅσον τὸ ἐγχωροῦν τῆς διανοίας μέτρον ἐπήρκησεν, εἰ καὶ ἄλλως ἄλλοι τὸν τόπον κατανοήσαντες· οἱ μὲν εἰς Χριστόν, οἱ δὲ τοὔμπαλιν, εἰς τὸν Ἀντίχριστον ἐξειλήφασι. Δέος δέ μοι νοεῖν ἢ λέγειν ἑκάτερα· τὸ μὲν ὡς ἀσύγκριτον· οὐ γὰρ μείων μὲν Υἱοῦ, μείζων δὲ Πατρὸς ἡ ἐκδίκησις, ἢ δι' ἄλλου καὶ ἄλλη τὸ σύνολον, πλὴν τοῦ Υἱοῦ. Καὶ πῶς ἐπὶ τῆς αὐτῆς συγκριτικῶς φησι, τὸ «ὁ δὲ Θεός», φησίν, «οὐ ποιήσει τὴν ἐκδίκησιν ὑμῶν»; Οὐ γὰρ ἔχει χώραν· ἢ διάφορος πάντως δειχθήσεται καὶ μετὰ τῆς φύσεως μὴ δυναμένης τὸ ἶσον δρᾶν καὶ διὰ τοῦτο λοιπὸν οὐ συνταssομένης, εἰκονιζούσης δὲ μόνον, ὡς ὑπερκειμένην, τὴν ὑπερέχουσαν. Τὸ δέ, ὡς ἀνέκδεκτον καὶ ἀμήχανον, τὸ καλὸν ποιεῖν τὸν κακίας εὑρετὴν καὶ διδάσκαλον· «οὐ γὰρ δύναται», φησί, «δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν»· καλὸν δὲ ἡ ἐκδίκησις καὶ τὸν τὴν ὄχλησιν ἀφοσιοῦσθαι δεόντως τοῦ προσπελάζοντος· ἢ τούτῳ παραβάλλεσθαι τυχόν, ὃ μὴ θέμις, τὸν Πατέρα, καὶ πάσης ἀρετῆς καὶ ζωῆς χορηγὸν ἐξ Υἱοῦ, καὶ ταῦτα μονογενοῦς, καὶ ἴσου τὴν φύσιν καὶ τὴν ἀγαθότητα. Οὐ γὰρ τὰ καλὰ διὰ τῶν κακῶν μηνύεσθαι πέφυκεν, ὥσπερ οὐδὲ διὰ σκότους τὸ φῶς ἢ θανάτου ζωή, καὶ τοῦ μηδαμὸς ὄντος, τὸ ὄν. Καὶ οὐ λέγω ταῦτα πρὸς τὴν ἐκείνων ἀθέτησιν –ἔχο-

---

5. Λουκᾶ 18,7.

τὴν ψυχή. Ἐπίσης γιὰ νὰ μᾶς ὁδηγήσει σὲ προσέγγιση τοῦ ἴδιου τοῦ Λόγου μ' εὐσέβεια καὶ στὴν τελειότερη μελέτη τῶν ἀνωτέρων. Σ' αὐτά, ποὺ ἐνεργοῦνται φυσικά, ἀντιπαραβάλλει ὅσα εἶναι τοῦ Πατέρα του καὶ δικά του, ὁ πάνω ἀπὸ τὴν οὐσία καὶ τὴ φύση Θεός, ὁ Κύριός μας Ἰησοῦς Χριστός, καὶ λέει, «ὁ Θεὸς θ' ἀναβάλει τὴν τιμωρία σας»[5] μὲ τὴ δική μου σάρκωση καὶ τὴν καθαίρεση ποὺ ἔκανε τοῦ καθαιρέτη τῆς φύσης.

Τόσο σύντομα λοιπὸν ἐξέθεσα ἐγὼ τὰ σχετικὰ μὲ τὸ θέμα αὐτό, ὅσο μοῦ τὸ ἐπέτρεπε ἡ δύναμη τῆς διάνοιάς μου, ἂν καὶ βέβαια κάποιοι ἄλλοι κατανόησαν διαφορετικὰ τὸ σημεῖο αὐτό. Ἄλλοι νόμισαν ὅτι ἀναφέρεται στὸ Χριστό, ἐνῶ ἄλλοι ἀντίθετα στὸν Ἀντίχριστο. Κυριεύομαι ἀπὸ δέος νὰ σκεφτῶ ἢ νὰ πῶ τὸ ἕνα καὶ τὸ ἄλλο. Τὸ πρῶτο ἐπειδὴ εἶναι ἀσύγκριτο, γιατὶ τὸ δικαίωμα τιμωρίας δὲν εἶναι λιγότερο στὸν Υἱὸ καὶ περισσότερο στὸν Πατέρα. Οὔτε γίνεται ἀπὸ κάποιον ἄλλον καὶ εἶναι τελείως διαφορετικὴ ἀπὸ ὅ,τι εἶναι τοῦ Υἱοῦ. Καὶ πῶς λέει γιὰ τὴν τιμωρία συγκριτικῶς κατὰ κάποιο τρόπο, «ὁ Θεὸς ὅμως δὲ θὰ σᾶς τιμωρήσει»; Εἶναι λοιπὸν ἄτοπο· ἢ θὰ φανεῖ (ὁ Χριστὸς) τελείως διάφορος καὶ μὲ φύση ποὺ δὲν μπορεῖ νὰ πράξει τὸ ἴσο. Καὶ γι' αὐτὸ δὲν μπαίνει στὴν ἴδια μοίρα ἀλλὰ μόνο εἰκονίζει τὴν ὑπερέχουσα φύση, ἐπειδὴ εἶναι ἀνώτερή της. Τὸ δεύτερο, γιατὶ εἶναι ἀπαράδεκτο καὶ ἀνεξήγητο νὰ πράττει τὸ καλὸ ὁ ἐφευρέτης καὶ δάσκαλος τῆς κακίας. «Γιατὶ δὲν μπορεῖ», λέει, «ἕνα σάπιο δέντρο νὰ κάνει καλοὺς καρπούς»[6]. Ἡ τιμωρία δηλαδὴ εἶναι καλὸ καὶ τὸ νὰ ἐξαγνίζεται ὅπως πρέπει ἡ κακία ὅποιου πλησιάζει. Ἢ τυχὸν νὰ παραβάλλεται μ' αὐτόν, πράγμα ποὺ δὲν ἐπιτρέπεται, ὁ Πατέρας καὶ χορηγὸς μέσω τοῦ Υἱοῦ κάθε ἀρετῆς καὶ ζωῆς καὶ μάλιστα Υἱοῦ μονογενῆ καὶ ἴσου στὴ φύση καὶ στὴν ἀγαθότητα. Γιατὶ δὲν εἶναι φυσικὸ νὰ δηλώνονται τὰ καλὰ ἀπὸ τὰ κακά, ὅπως οὔτε τὸ φῶς ἀπὸ τὸ σκοτάδι ἢ μὲ τὸ θάνατο ἡ ζωὴ καὶ τὸ ὂν ἀπὸ τὸ ἐντελῶς ἀνύπαρκτο. Καὶ αὐτὸ δὲν τὸ λέγω γιὰ ν' ἀθετήσω ἐκείνους, γιατὶ θεωρῶ κατὰ

6. Ματθ. 7,18.

μαι γὰρ καὶ ἀντέχομαι ζωῆς πλέον, τῆς τῶν φαμένων διδασκαλίας–, ἀλλὰ τὸ οἰκεῖον μέτριον δι' ἄκραν δειλίαν ἀσφαλιζόμενος. Τὴν δὲ ἀνάγνωσιν τοῦ ὑπωπιάζειν κανονίζειν οὐ πρέπον ἐμοί, διὰ τὴν ἐν τούτοις ἀμαθίαν, ἢ τοῖς ἠσκημένοις καὶ σπουδῇ προελομένοις τὴν παίδευσιν· οἵ ταύτην ὀφείλειν φασὶ κανονίζεσθαι βαρυτόνως μᾶλλον, ἢ περισπωμένως, ὅτι τε φασι τῶν ρημάτων οὐδὲν περισπᾶται, πλὴν εἰ μὴ ἐκ συναιρέσεως βαρυτόνου καθέστηκεν, ὡς τὸ νοῶ καὶ ποιῶ καὶ χρυσῶ καὶ ὅσα τοιαῦτα, φυλάσσοντα καὶ μετὰ προθέσεως ἐπὶ τῆς αὐτῆς τὸν τόνον.

Τὴν δεξιὰν σιαγόνα, τὴν δεξιὰν πρᾶξίν φημι καὶ ὅσην ἔνθεος ἡμῖν διὰ τῶν ἐντολῶν συνιστάμενος βίος χαρακτηρίζει, ραπιζομένην ὑπὸ τοῦ πονηροῦ τῇ προλήψει τῆς ἐνεργουμένης καλοκαγαθίας· καὶ τῇ πληγῇ τῆς ἐντεῦθεν οἰήσεως, φλεγμαίνουσάν πως διὰ κενοδοξίας καὶ ἐπαιρομένην κατὰ τῶν μηδεμίαν, ἃ μὴ τὴν ἴσην τυχὸν κεκτημένων, δι' ἣν ὥσπερ ἄλλην καὶ οἷον ἀριστερὰν στρέφειν προσήκει, τὸν ἤδη πρότερον ἡμᾶς κατὰ τὴν ἀπάτην τοῦ αἰῶνος τούτου καταμολύναντα βίον, τούτῳ τε πλήττεσθαι συνεχῶς διὰ τῆς μνήμης καὶ ὡς ἁμαρτωλοὺς μᾶλλον συστέλλεσθαι καὶ μετριάζειν, ἢ ὡς ἁγίους μετεωρίζεσθαι καὶ δι' ἔπαρσιν καταπίπτειν, οὐκ ἔχοντας πῆξιν ἱερὰν τὴν ταπείνωσιν. Τιμάσθω δὲ μετὰ τῶν κατὰ θεωρίαν λαμβανομένων, μᾶλλον δὲ καὶ πρὸ τούτων, εἰς ἑτοιμασίαν ἱερὰν καὶ προκάθαρσιν καὶ σωματικῶς ταῦτα τελούμενα διὰ τὸν ἐντειλάμενον Κύριον, προσπαθείας ἐντεῦθεν ἕξιν τοῖς κατορθοῦσι δορούμενον καὶ τῆς τοῦ πλήττοντος περιγραφὴν ἀπιστίας, τῷ ἑτοίμῳ τῆς παραδοχῆς τὸ πρόθυμον τῆς πληγῆς ἀναστέλλοντα, αἰδομένου τυχόν, εἰ μή τι ἄλλο, τὸ ὑπερβάλλον τῆς ὑποπτώσεως, καὶ τὸ μηδαμῶς ἀντιτείνειν τὸν δυνάμενον τοῦτο ποιεῖν, εἰργόμενον δὲ διὰ τὴν πρόσαξιν·

Τὸ δέ, «μή μου ἅπτου», πρὸς τὴν Μαγδαληνὴν λέλεκται

7. Ἂν ἦταν ὄχι ὑποπιάζω, ἀλλὰ ὑποπιάω–ῶ.

πολὺ περισσότερο ἀνώτερη ἀπὸ τὴ ζωή μου τὴ διδασκαλία ἐκείνων, ἀλλὰ θέλω νὰ κατοχυρώσω ἀπὸ ἄκρα δειλία τὴ μετριότητά μου. Νὰ ορίσω τώρα ἐγὼ τὸν τονισμὸ τῆς λέξης «ὑπωπιάζω» δὲν ἁρμόζει σ' ἐμένα, ἐπειδὴ ἔχω τέλεια ἄγνοια σ' αὐτά, ἀλλὰ σὲ ὅσους ἔχουν ἀσκηθεῖ κι ἐπιδοθεῖ σοβαρὰ στὴν ἐπιστήμη· ἐκεῖνοι λένε ὅτι ἡ λέξη πρέπει νὰ ἐκφέρεται σὰν βαρύτονη μᾶλλον παρὰ σὰν περισπώμενη, γιατὶ λένε κανένα ρῆμα δὲν περισπᾶται, παρὰ μόνο ἂν προῆλθε ἀπὸ συναίρεση βαρύτονου, ὅπως τὸ νοῶ (νοέω), ποιῶ (ποιέω), χρυσῶ (χρυσόω) καὶ ὅσα ὅμοια μ' αὐτὰ ποὺ φυλάγουν τὸν τόνο στὴν ἴδια συλλαβὴ κι ὅταν εἶναι σύνθετα μὲ πρόθεση[7].

Ὡς δεξιὰ σιαγόνα ἐννοῶ τὴν πράξη τὴ δεξιά, κι ὅση τὴ χαρακτηρίζει ὁ ἔνθεος βίος μας ποὺ συγκροτοῦμε μὲ τὴ φύλαξη τῶν ἐντολῶν, ὅταν τὴ ραπίζει ὁ πονηρὸς προλαβαίνοντας τὴν ἐκδήλωση τῆς καλοσύνης καὶ τὸ χτύπημα αὐτὸ τῆς οἴησης κατὰ κάποιο τρόπο τὴν κακοφορμίζει ἀπὸ κενοδοξία καὶ ἐπαίρεται εἰς βάρος ἐκείνων ποὺ δὲν ἔχουν καμμιὰ καλοσύνη ἢ ἴση τυχὸν ἀρετή. Ἐξαιτίας της πρέπει νὰ στρέφομε σὰν μιὰ ἄλλη καὶ σὰν ἀριστερὴ σιαγόνα τὸ βίο ποὺ ἤδη μᾶς καταμόλυνε μέσα στὴν ἀπάτη αὐτοῦ τοῦ αἰώνα καὶ αὐτὸς νὰ χτυπᾶ συνεχῶς τὴ μνήμη μας, καὶ σὰν ἁμαρτωλοὶ νὰ συστελλόμαστε μᾶλλον καὶ νὰ ταπεινοφρονοῦμε, παρὰ ὡς ἅγιοι νὰ μετεωριζόμαστε κι ἔπειτα ἀπὸ τὴν ἔπαρση νὰ γκρεμιζόμαστε μὴ ἔχοντας ἱερὸ θεμέλιο τὴν ταπείνωση. Ἂς τιμοῦνται ὅμως μαζὶ μὲ ὅσα συλλαμβάνομε μὲ τὴ θεωρία, ἢ μᾶλλον καὶ πρὶν ἀπὸ αὐτά, γιὰ ἱερὴ προετοιμασία καὶ προκάθαρση, καὶ ὅσα τελοῦνται σωματικὰ σύμφωνα μὲ τὴν ἐντολὴ ποὺ μᾶς ἔδωσε ὁ Κύριος, δωρίζοντας σὲ ὅσους πετυχαίνουν τὴν ἕξη τῆς πραότητας ἀπὸ δῶ καὶ περιγράφοντας τὴν ἀπιστία ἐκείνου ποὺ μᾶς χτυπᾶ, ἀναστέλλοντας μὲ τὴν ἄμεση παραδοχὴ τὴν ταχύτητα τοῦ χτυπήματος, ἐπειδὴ ἴσως ντρέπεται ἂν ὄχι τίποτε ἄλλο τὴν ὑπερβολικὴ μείωσή του καὶ γιὰ τὸ ὅτι δὲν ἀντιστέκεται καθόλου αὐτὸς ποὺ μπορεῖ ν' ἀντισταθεῖ, ἀλλὰ ἐμποδίζεται ἀπὸ τὸ πλησίασμα.

Τὸ «μή μου ἅπτου» λέχθηκε ἀπὸ τὸν Κύριο πρὸς τὴ Μαρία

Μαρίαν παρὰ τοῦ Κυρίου, κηπουρὸν αὐτὸν εἶναι νομίσασαν, δηλοῦντος τοῦ μυστηρίου καὶ ὑπεκφαίνοντος, ὡς ψυχὴ πᾶσα νοερά, μήπω τὸ συμφυὲς σκῆνος ὑπεραναβᾶσα καὶ διὰ τοῦτο τῶν ἐν γενέσει καὶ φθορᾷ μόνον, οὐδὲν οὐδαμῶς διαφερόντων λαχάνων κηπευομένων· ἴση γὰρ ἐπ' ἀμφοῖν ἥ τε ροὴ καὶ ἀπορροή, καὶ ἡ τοῦ χρόνου περιγραφὴ καὶ περίοδος· δημιουργὸν εἶναι τὸν Λόγον ὑπολαμβάνουσα, διὰ τὴν περὶ ταῦτα καὶ ἕως τούτων πρόοδον αὐτοῦ καὶ συγκατάβασιν, οὐκ ἀξία τῆς τούτου κατὰ πνεῦμα καθέστηκεν ἐπαφῆς, καὶ ταῦτα τοῖς φαινομένοις αὐτὸν ἐπιζητοῦσα· καὶ σάρκα δι' ἡμᾶς γεγενημένον γινώσκουσα μόνον αὐτόν, ἀλλ' οὐχὶ πρεπόντως καὶ Θεὸν ἐκ Θεοῦ τοῦ Πατρὸς γεγενημένον γινώσκουσα. Τοῦτο γὰρ κατὰ τὸ εἰκὸς νοεῖν ὑποβάλλει τὸ «οὔπω ἀναβέβηκα πρὸς τὸν Πατέρα μου», τὸ μὴ δι' ἄκρας θεολογίας καὶ πίστεως, οἷς ἡ τῶν ὁρωμένων περιγράφεται φύσις, ὑψωθῆναι πρὸς τῆς οὕτω διακειμένης ψυχῆς, ἀλλ' ἔτι παδαγωγικῶς δεομένης εἰς ἐντελεστέραν τούτου κατάληψιν, ἐπὶ τὴν ἀποκαλυπτικὴν ἕξιν τῶν θείων ὡσεί τινα Γαλιλαίαν διὰ θεωρίας ἀναδραμεῖν, καὶ σὺν τοῖς ὑπ' αὐτοῦ προτετυπωμένοις καὶ προβεβλημένοις λόγοις, ὅλον ὡς θέμις περιληφθῆναι καὶ γενέσθαι τοσοῦτον, ὅπερ αὐτὸς ἦν ὁ γενόμενος ὅπερ ἡμεῖς, ὅσον ἐδείχθη τοῦτο γενόμενος πλὴν μόνης τῆς ἁμαρτίας, ὡς καὶ ἡμεῖς ἐκείνῳ, δίχα μόνης τῆς φύσεως, ἡνίκα τῆς δωρεᾶς τῆς ἐπιτύχοιμεν, ἣν δι' ἐλπίδος νῦν προσδεχόμενος καὶ προσήκουσι τῶν ἐντολῶν ἔργοις δεόντως ἀποσεμνύνων, ἀπολαύσαις ὅσον ἐπίστευσας καὶ τρυφήσαις ὅσον ἐπόνησας, μᾶλλον δὲ πλέον καὶ ἀπειράκις, καθ' ὅσον καὶ ὁ ταύτης δοτὴρ ὑπερουσίως ὑπερανέστηκε καὶ φύσεως κίνησιν καὶ παντὸς αἰῶνος περίληψιν.

τὴν Μαγδαληνή, ποὺ νόμισε πὼς ἦταν ὁ κηπουρός. Καὶ τὸ μυστήριο αὐτὸ φανερώνει καὶ ὑποδηλώνει, ὅτι κάθε νοερὴ ψυχή, ποὺ δὲν ἔχει ὑψωθεῖ πάνω ἀπὸ τὸ σύμφυτό της σκήνωμα, ἀνήκει μόνο σ' αὐτὰ ποὺ κινοῦνται μέσα στὴ γένεση καὶ τὴ φθορὰ καὶ σὲ τίποτε δὲ διαφέρουν τὰ λαχανικὰ καὶ κηπευτικὰ ἀπὸ αὐτήν. Γιατὶ καὶ γιὰ αὐτὰ καὶ γιὰ ἐκεῖνα εἶναι ἴση ἡ αὔξηση καὶ ἡ παρακμὴ καὶ ὁ χρονικὸς περιορισμὸς καὶ ἡ χρονικὴ περίοδος. Νομίζει πὼς ὁ Λόγος εἶναι δημιουργὸς γιὰ τὴ γύρω ἀπὸ αὐτὰ καὶ ὅτι μέχρις αὐτὰ ἔφθασε ἡ πρόοδός του καὶ συγκατάβασή του. Δὲν ἔγινε ἄξια γιὰ τὸ πνευματικὸ ἄγγιγμά του, ἀκριβῶς γιατὶ τὸν ἀναζητοῦσε μέσα στὰ φαινόμενα κι ἔχοντας ὑπόψη μόνο ὅτι εἶχε γίνει σάρκα γιὰ χάρη μας χωρὶς ν' ἀναγνωρίζει, πὼς ἦταν Θεὸς καὶ εἶχε γεννηθεῖ ἀπὸ τὸ Θεὸ Πατέρα. Γιατὶ αὐτὸ μᾶς συμβουλεύει νὰ ἐννοήσομε ἐκεῖνο τὸ «δὲν ἔχω ἀκόμα ἀνεβεῖ στὸν Πατέρα μου», τὸ ὅτι δὲν εἶχε ὑψωθεῖ δηλαδὴ ἡ ψυχή, ποὺ βρίσκεται σ' αὐτὴ τὴν κατάσταση, μέσω ἄκρας θεολογίας καὶ πίστης ποὺ περιορίζουν τὴ φύση τῶν φαινομένων, ἀλλ' ἀκόμα χρειάζεται παιδαγωγία γιὰ νὰ τὸν κατανοήσει πληρέστερα, καὶ νὰ ἀνατρέξει μὲ τὴ θεωρία σὰν σὲ μιὰ Γαλιλαία στὴν ἀποκαλυπτικὴ κατοχὴ τῶν θείων. Καὶ μαζὶ μὲ τοὺς λόγους ποὺ προτύπωσε καὶ πρόβαλε νὰ περιληφθεῖ ὁλόκληρος ὅπως πρέπει καὶ νὰ γίνει τόσος, ὅσος ἦταν αὐτὸς ποὺ ἔγινε ὅ,τι εἴμαστε ἐμεῖς, ὅσο δηλαδὴ φανερώθηκε πὼς τὸ εἶχε αὐτὸ πραγματοποιήσει ἐκτὸς ἀπὸ τὴν ἁμαρτία μόνο, ὥστε καὶ ἐμεῖς νὰ γίνομε ὅπως ἐκεῖνος, ἐκτὸς μόνο ἀπὸ τὴ θεία φύση του, ὅταν ἐπιτύχομε αὐτὴ τὴ δωρεά. Αὐτήν, ποὺ τὴν ἐλπίζεις καὶ τὴν περιμένεις καὶ τιμᾶς μὲ ἔργα ποὺ ταιριάζουν στὶς ἐντολές, εἴθε νὰ τὴν ἀπολαύσεις ὅσο πίστεψες καὶ νὰ τὴ χαρεῖς ὅσο κοπίασες. Ἢ μᾶλλον πολὺ περισσότερο ἄπειρες φορές, καθόσον καὶ ὁ δοτήρας της ἀνέβηκε ὑπερούσια πάνω ἀπὸ κάθε κίνηση τῆς φύσης καὶ ἀπὸ τὴν περίληψη ὅλης τῆς αἰωνιότητας.

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟΝ 59ον ΨΑΛΜΟΝ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΝΘ' ΨΑΛΜΟΝ

«Είς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις· εἰς στηλογραφίαν τῷ Δαβίδ· εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν καὶ τὴν Συρίαν Σωβᾶ, καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τὴν φάραγγα τῶν Ἁλῶν δώδεκα χιιάδας».

«Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις» ὁ παρὼν ἐπιγράφεται (ἐπιγέγραπται) ψαλμός, διά τε τὴν ἐπὶ τέλει τῶν χρόνων διὰ τῆς ἐξ ἀπιστίας εἰς πίστιν, καὶ ἀπὸ κακίας εἰς ἀρετήν, καὶ ἀγνοίας εἰς γνῶσιν Θεοῦ γνωμικήν τε καὶ προαιρετικὴν μεταβολὴν καὶ ἀλλοίωσιν· διά τε τὴν εἰς ὕστερον ἐπὶ τέλει τῶν αἰώνων γενησομένην δι' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ καθολικὴν τοῦ παντὸς γένους τῶν ἀνθρώπων ἐν χάριτι φυσικὴν ἐκ θανάτου καὶ φθορᾶς εἰς ζωὴν ἀθάνατον καὶ ἀφθαρσίαν, διὰ τῆς προσδοκωμένης ἀναστάσεως, ἀλλοίωσίν τε καὶ ἀνανέωσιν. «Εἰς στηλογραφίαν δὲ τῷ Δαβίδ»· τουτέστιν, αὐτῷ τῷ Χριστῷ, διά τε τὴν γενομένην ἤδη κατὰ τὴν θείαν αὐτοῦ σάρκωσιν στήλης δίκην, ἐν αὐτῷ μὲν ὡς ἀρχηγῷ καὶ Σωτῆρι, καὶ μετ' αὐτὸν ἐν τοῖς κατ' αὐτὸν εὐσεβῶς βιοῦσι, τῆς κακίας ἀναίρεσιν· διά τε τὸν ἔτι δι' αὐτοῦ γενησόμενον παντελῆ τοῦ τε θανάτου καὶ τῆς φθορᾶς ἀφανισμόν. «Εἰς διδαχὴν δὲ ὁπόταν ἐνεπύρισε τὴν Μεσοποταμίαν καὶ τὴν Συρίαν Σωβᾶ». Εἰς διδαχὴν ἡμῖν, τοῖς ἀλλοιουμένοις καὶ ἀλλοιωθησομένοις, δηλονότι τὴν ἐπαινετὴν καὶ θείαν ἀλλοίωσιν, ὁ ψαλμὸς ἐπιγέγραπται παρὰ τοῦ

Στὸ τέλος, σ' αὐτοὺς ποὺ θὰ μεταβληθοῦν· πρὸς ἀναγραφὴ σὲ στήλη γιὰ τὸ Δαβίδ· ἐπίσης γιὰ διδασκαλία, ὅταν κατέκαψε τὴ Μεσοποταμία καὶ τὴ Συρία Σωβᾶ καὶ ἐπέστρεψε ὁ Ἰωὰβ καὶ συνέτριψε στὴ φάραγγα Ἁλῶν δέδωκα χιλιάδες[1].

Αὐτὸς ὁ ψαλμὸς ἔχει τὴν ἐπιγραφὴ «Στὸ τέλος, σ' αὐτοὺς ποὺ θὰ μεταβληθοῦν, καὶ αὐτό, ἐπειδὴ στὸ τέλος τῶν χρόνων ἔγινε μὲ τὴν ἐπιδημία τοῦ Χριστοῦ στοὺς ἀνθρώπους ἡ αὐτοπροαίρετη καὶ ἑκούσια μεταβολὴ καὶ ἀλλαγὴ ἀπὸ τὴν ἀπιστία στὴν πίστη, ἀπὸ τὴν κακία στὴν ἀρετή, ἀπὸ τὴν ἄγνοια στὴ γνώση τοῦ Θεοῦ. Καὶ ἐπίσης, ἐξαιτίας τῆς ἀλλαγῆς καὶ ἀνανέωσης ποὺ θὰ γίνει ἀργότερα στὸ τέλος τῶν αἰώνων ἀπὸ τὸν ἴδιο τὸν Σωτήρα μας Θεό, τὴν καθολική, ὅλου τοῦ ἀνθρώπινου γένους μὲ τὴ μεσολάβηση τῆς χάριτος, καὶ τὴ φυσική, ἀπὸ τὸ θάνατο καὶ τὴ φθορὰ στὴν ἀθάνατη ζωὴ καὶ ἀφθαρσία, μὲ τὴν ἀνάσταση ποὺ προσδοκοῦμε. «Πρὸς ἀναγραφὴ σὲ στήλη γιὰ χάρη τοῦ Δαβίδ», δηλαδὴ τοῦ ἴδιου τοῦ Χριστοῦ, καὶ πρὸς ἀναίρεση τῆς κακίας ποὺ ἤδη πραγματοποιήθηκε κατὰ τὴ θεία σάρκωσή του, ὡσὰν σὲ στήλη, γιὰ τὸν ἴδιο ὡς ἀρχηγὸ καὶ Σωτήρα καὶ ἔπειτα ἀπὸ αὐτὸν καὶ γιὰ ὅσους ἔπειτα ἀπὸ αὐτὸν ζοῦνε μὲ εὐσέβεια. Καὶ ἀκόμα γιὰ τὸν ὁλοκληρωτικὸ ἀφανισμὸ τοῦ θανάτου καὶ τῆς φθορᾶς ποὺ θὰ πραγματοποιήσει ὁ ἴδιος, καὶ «γιὰ διδασκαλία, ὅταν κατέκαψε τὴ Μεσοποταμία καὶ τὴ Συρία Σωβᾶ». Γιὰ διδασκαλία δική μας, ἐμᾶς ποὺ ἀλλάξαμε καὶ ποὺ θὰ ἀλλάξομε, ἀλλαγὴ ἐπαινετὴ καὶ θεία, γι' αὐτὸ ὁ ψαλμὸς

1. Β' Βασ. 8,1. 10,7. Α' Παραλ. 18,1.

Δαβὶδ τοῦ νοητοῦ, λέγω δὲ Χριστοῦ τοῦ Θεοῦ. Μόνος γὰρ αὐτὸς ἀληθινὸς βασιλεὺς ὑπάρχων τοῦ Ἰσραὴλ καὶ ὁρῶντος Θεόν, ὡς πάσης ἀναιρέτης κακίας καὶ ἀγνωσίας καὶ νικητὴς παντὸς χρόνου καὶ φύσεως, δι' ὧν ἐν ἡμῖν κακία συνίστασθαι πέφυκεν· ἐνεπύρισε τὴν Μεσοποταμίαν, διὰ σαρκὸς ἡμῖν ὁμιλήσας· τουτέστι, τὴν ἐπικλυζομένην τοῖς παρὰ φύσιν πάθεσι τῆς σαρκὸς ἕξιν τῆς κακίας. «Καὶ τὴν Συρίαν Σωβᾶ». Τουτέστι τὴν δεδουλωμένην τῷ χρόνῳ, ἤγουν ἠπατημένην τῷ αἰῶνι τούτῳ διάθεσιν. 'Ἑπτὰ' γὰρ ἡ Σωβᾶ ἑρμηνεύεται· σαφῶς δὲ τοῦτο δηλοῖ τὴν χρονικὴν ἰδιότητα. Ἑβδοματικὸς γὰρ ὁ χρόνος. Φύσιν γὰρ καὶ χρόνον εἴωθεν ὁ διάβολος συνεπικινεῖν ἑαυτῷ κατὰ τῆς ἀρετῆς καὶ τῆς γνώσεως, τοὺς ἀφανεῖς συμπλέκων πολέμους, ὡς τὰς δύο Συρίας κατὰ τοῦ Δαβὶδ ὁ Ἀδρααζάρ. Ἀδρααζὰρ γὰρ εἰς τὴν Ἑλλάδα φωνὴν μεταφραζόμενος, 'λύων ἰσχὺν' ἢ 'κατασκάπτων δύναμιν' ἑρμηνεύεται, ὅστις ἐστὶν ὁ διάβολος, ὁ δι' ἀπάτης τὴν πνευματικὴν ἰσχὺν τῆς ἡμετέρας φύσεως κατ' ἀρχὰς τῇ παραβάσει τῆς θείας ἐντολῆς διαλύσας, καὶ τῷ χρόνῳ καὶ τῇ φύσει δουλώσας τὸν ἄνθρωπον. Ἄνευ γὰρ τῶν ὑπὸ φύσιν καὶ χρόνον μάχεσθαι τοῖς ἀνθρώποις παντελῶς οὐ δύναται.

«Καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τὴν φάραγγα τῶν τῶν Ἀλῶν δώδεκα χιλιάδας».

Πᾶς γὰρ ὁ τῷ νοητῷ βασιλεῖ Δαβὶδ στρατηγῶν, τουτέστι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ, κατὰ τῶν ἐναντίων δυνάμεων, πατάσσει δώδεκα χιλιάδας ἐν τῇ φάραγγι τῶν Ἀλῶν. Φάραγξ δέ ἐστιν Ἀλῶν ἡ σάρξ, ὡς χωρίον παθῶν ἀτιμίας διὰ τῆς παρακοῆς γενομένη, ἐν ᾗ, καθάπερ φάραγγι, διὰ λόγου καὶ θεωρίας, πᾶς εὐσεβὴς καὶ φιλόθεος πατάσσει φύσιν καὶ χρόνον, ἤγουν τὴν ἐπ' αὐτοῖς τῆς ψυχῆς παράλογον πρόληψιν, μηδαμῶς ἐμμέ-

ἔλαβε τὴν ἐπιγραφὴ ἀπὸ τὸν νοητὸ Δαβίδ, ἐννοῶ τὸν Χριστὸ καὶ Θεό. Γιατὶ αὐτὸς μόνο εἶναι ἀληθινὸς βασιλιὰς τοῦ Ἰσραὴλ καὶ ποὺ βλέπει τὸ Θεό, ὡς ἀναιρέτης κάθε κακίας καὶ ἄγνοιας καὶ νικητὴς παντὸς χρόνου καὶ φύσεως, ἀπὸ τὰ ὁποῖα δίνεται ὑπόσταση ὡς ἀπὸ τὴ φύση τους στὴν κακία. Κατέκαψε τὴ Μεσοποταμία, ἀφοῦ μᾶς συναστράφηκε μὲ σάρκα, δηλαδὴ τὴν ἕξη τῆς κακίας ποὺ κατακλίζεται ἀπὸ τὰ παρὰ φύση πάθη τῆς σάρκας. «Καὶ τὴ Συρία Σωβά», τὴν ὑποδουλωμένη δηλαδὴ στὸ χρόνο, ἤτοι τὴν πρόθεσή μας ποὺ ἐξαπατήθηκε ἀπὸ τὸν αἰώνα. Γιατὶ Σωβὰ ἑρμηνεύεται 'ἑπτὰ' καὶ τοῦτο δηλώνει σαφῶς τὴ χρονικὴ ἰδιότητα. Γιατὶ ὁ χρόνος εἶναι ἑβδοματικός. Ὁ διάβολος δηλαδὴ συνήθως παίρνει βοηθοὺς μαζί του τὴ φύση καὶ τὸ χρόνο κατὰ τῆς ἀρετῆς καὶ τῆς γνώσης, συγκροτώντας τοὺς ἀόρατους πολέμους, ὅπως ἔστρεψε κατὰ τοῦ Δαβὶδ ὁ Ἀδρααζὰρ τὶς δύο Συρίες[2]. Γιατὶ Ἀδρααζάρ, μεταφραζόμενος στὴν ἑλληνικὴ γλώσσα, θὰ πεῖ 'αὐτὸς ποὺ διαλύει τὴν ἰσχὺ' ἢ 'ποὺ κατασκάπτει δύναμη', κι αὐτὸς εἶναι ὁ διάβολος ποὺ στὴν ἀρχὴ μὲ τὴν παράβαση τῆς θείας ἐντολῆς διάλυσε μὲ ἀπάτη τὴν πνευματικὴ ἰσχὺ τῆς φύσης μας καὶ ὑποδούλωσε τὸν ἄνθρωπο στὸ χρόνο καὶ τὴ φύση. Γιατὶ τὸ νὰ μάχεται τοὺς ἀνθρώπους χωρὶς τοὺς παράγοντες φύση καὶ χρόνο τοῦ εἶναι τελείως ἀδύνατο.

«Καὶ ἐπέστρεψε ὁ Ἰωὰβ καὶ συνέτριψε στὸ φαράγγι τῶν Ἁλῶν δώδεκα χιλιάδες».

Κάθε στρατηγὸς τοῦ νοητοῦ βασιλέα Δαβίδ, δηλαδὴ τοῦ Κυρίου μας Ἰησοῦ, ἐνάντια στὶς ἀντίπαλες δυνάμεις, συντρίβει δώδεκα χιλιάδες στὸ φαράγγι τῶν Ἁλῶν. Φαράγγι τῶν Ἁλῶν εἶναι ἡ σάρκα, ἐπειδὴ ἔγινε μὲ τὴν παρακοὴ πεδίο τῶν παθῶν τῆς ἀτιμίας. Σ' αὐτὴν ὡσὰν σὲ φαράγγι μὲ λόγο καὶ θεωρία κάθε εὐσεβὴς καὶ φιλόθεος χτυπάει τὴ φύση καὶ τὸ χρόνο, τὴν παράλογη δηλαδὴ προσκόλληση σ' αὐτὰ τῆς ψυχῆς, χωρὶς νὰ

2. Α' Βασ. 10,19.

νων, διὰ τὸ ὕψος τῆς ἀρετῆς καὶ τῆς γνώσεως, τοῖς ὑπὸ φύσιν καὶ χρόνον νόμοις. Ὁ γὰρ δώδεκα ἀριθμὸς τὴν φύσιν δηλοῖ καὶ τὸν χρόνον· εἴπερ πενταδικὴ μὲν ἡ φύσις διὰ τὰς αἰσθήσεις, ἑβδοματικὸς δὲ χρόνος, ὡς πᾶσι καθέστηκεν εὔδηλον. Πέντε δὲ τοῖς ἑπτὰ συνθείς, τὸν δώδεκα πληρώσαις ἂν σαφῶς ἀριθμόν.

